ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ
ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1878

ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ

ΦΙΛΟΛΟΓΙΚΗ

ΕΙΣ ΤΕΣΣΑΡΑΣ ΤΟΜΟΥΣ ΔΙΗΡΗΜΕΝΗ,

Συναρμοθεῖσα μεν ποτε παρὰ τοῦ Ἐλλογιμωτάτε

ΙΩΑΝΝΟΥ ΠΑΤΟΥΣΑ

ΤΟΥ ΕΞ ΑΘΗΝΩΝ

Νῦν δὲ ἐπιμελέστερον μετατυπωθεῖσα, πλείονος ὄνεκα τῆς τῆς Ἑλληνικῆς Γλώττης φιλομαθῶν ὠφελείας,

Ἐπισασία Σπυρίδωνος Βλαντῆ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΕΝ ΒΕΝΕΤΙΑ.

ΠΑΡΑ ΝΙΚΟΛΑΩ ΓΛΥΚΕΙ ΤΩ ΕΞ ΙΩΑΝΝΙΝΩΝ.

1819.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Ἄμεινον καὶ συμφερώτερον ἰδιώτας καὶ ὀλιγομαθεῖς ὑπάρχειν, καὶ διὰ τῆς ἀγάπης πλησίον γενέσθαι τοῦ Θεοῦ, ἢ πολυμαθεῖς καὶ ἐμπείρους δοκοῦντας εἶναι, βλασφήμους εἰς τὸν ἑαυτῶν δεσπότην.

Βασίλειος.

ΟΙ ΕΝ ΤΩ ΔΕ ΤΩ Β΄. ΤΟΜΩ ΣΥΓΓΡΑΦΕΙΣ.

ΧΡΥΣΟΣΤΟΜΟΣ.

ΒΑΣΙΛΕΙΟΣ ΣΕΛΕΥΚΕΙΑΣ.

ΒΑΣΙΛΕΙΟΣ Ο ΜΕΓΑΣ.

ΑΘΑΝΑΣΙΟΣ Ο ΜΕΓΑΣ.

ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ.

ΠΡΟΚΛΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛ.

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ.

ΑΣΤΕΡΙΟΣ ΑΜΑΣΕΙΑΣ.

ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

ΓΕΡΜΑΝΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛ.

ΑΝΑΣΤΑΣΙΟΣ ΑΝΤΙΟΧΕΙΑΣ.

ΑΝΔΡΕΑΣ ΚΡΗΤΗΣ.

ΙΩΑΝΝΗΣ ΔΑΜΑΣΚΗΝΟΣ.

ΘΕΟΔΟΤΟΣ ΑΓΚΥΡΑΣ.

ΣΥΜΕΩΝ Ο ΜΕΤΑΦΡΑΣΤΗΣ.

ΑΚΑΚΙΟΣ ΜΕΛΙΤΗΝΗΣ.

ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ.

ΙΩΑΝΝΟΥ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

ΛΟΓΟΣ ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ.

Ἀμφοτέρων ἕνεκα προσήκει τὴν τῷ Θεῷ θεράποντας μακαρίζειν καὶ θαυμάζειν, ὅτι τὴν ἐλπίδα τῆς σωτηρίας ἐν ταῖς ἁγίαις εἶχον δὐχαῖς, καὶ ὅτι γραφῇ φυλάξαντες τὰς ὕμνους καὶ τὰς λατρείας, ἃς τῷ Θεῷ σὺν χαρᾷ καὶ φόβῳ προσέφερον, καὶ εἰς ἡμᾶς διέδωκαν τὸν ἑαυτῷ θησαυρὸν, ἵνα πρὸς τὸν οἰκεῖον ζῆλον πᾶν τὸ ἐπιγνώμενον ἐπισπάσασθαι δυνηθῶσι. Διαβαίνειν γὰρ προσήκει τὸν τῷ διδασκάλων ἐπὶ τοὺς ὁμιλοῦντας ζόπον, καὶ τοὺς τῷ Προφητῷ μαθητὰς, μιμητὰς προσήκει φαίνεσθαι τῆς ἐκείνων δικαιοσύνης, ἵνα πάντα τὸν χρόνον ταῖς προσευχαῖς, καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ, καὶ μελέτῃ συζῶμεν, τοῦτο ζωὴν, τοῦτο ὑγιείαν καὶ πλοῦτον, τοῦτο πέρας ἀγαθῶν εἶναι νομίζοντες, τὸ προσεύχεσθαι τῷ Θεῷ μὴ καθαρᾶς καὶ ἀδιαφθόρε ψυχῆς· ὥσπερ γὰρ τῷ σώματι φῶς, ἥλιος, ἕτω ψυχῇ, προσευχή. Εἰ ἐν τυφλῷ ζημία τὸ μὴ ὁρᾶν τὸν ἥλιον, πόση ζημία Χριστιανῷ τὸ μὴ προσεύχεσθαι συνεχῶς, καὶ διὰ τῆς εὐχῆς τοῦ τοῦ Χριστοῦ φῶς εἰς τὸν ψυχὸν εἰσάγειν; Καί τις ἂν ἐκπλαγείη καὶ θαυμάσειε τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὧν εἰς ἡμᾶς ἐπιδείκνυται, τοσαύτην τιμὴν ἀνθρώποις χαριζόμενος, ὡς καὶ προσευχῆς ἀξιῶσαι, καὶ ὁμιλίας τῆς ἑαυτοῦ; Θεῷ γὰρ ὡς ἀληθῶς λαλοῦμεν τῷ καιρῷ τῆς προσευχῆς, δι' ἧς καὶ τοῖς Ἀγγέλοις συναπτόμεθα, καὶ τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες. Ἀγγέλων γὰρ ἔργον ἡ προσευχὴ,

ὑπεραίρουσα καὶ τὴν ἐκείνων ἀξίαν, εἴπερ κρεῖττόν ἐστι τῆς Ἀγγέλων ἀξίας τῷ Θεῷ διαλέγεσθαι. Ἀλλ' ὅμως ὅτι γε κρεῖττόν ἐστιν, αὐτοὶ διδάσκουσιν ἡμᾶς, σὺν πολλῷ μὲν φόβῳ τὰς δεήσεις προσφέροντες, παρέχοντες δὲ ἡμῖν εἰδέναι καὶ μανθάνειν, ὅτι προσήκει τῷ Θεῷ προσιόντας σὺν χαρᾷ καὶ φόβῳ τοῦτο ποιεῖν. Φόβῳ μὲν, δεδοικότας μὴ τῆς προσευχῆς ἀνάξιοι φανῶμεν· χαρᾶς δὲ, μεσὴς γινομένης ἐπὶ τῷ μεγέθει τῆς τιμῆς, ὅτι τοσαύτης καὶ τοιαύτης φρονοίας τὸ θνητὸν ἠξιώθη γένος, ὡς καὶ θείας ἀπολαύειν ὁμιλίας συνεχῶς, δι' ἧς καὶ τὸ θνητοὶ εἶναι καὶ πρόσκαιροι διαφεύγομεν, φύσει μὲν ὄντες θνητοὶ, τῇ δὲ πρὸς Θεὸν ὁμιλίᾳ, πρὸς ἀθανάτου ζωὴν μεταβαίνοντες. Ἀνάγκη γὰρ τὸν ὁμιλοῦντα Θεῷ, καὶ κρείττονα γενέσθαι θανάτου, καὶ πάσης διαφθορᾶς. Καὶ ὥσπερ ἀνάγκη πᾶσα, τῆς ἡλιακῆς ἀκτῖνος ἀπολαύοντα διαφεύγειν τὸ σκότος, οὕτως ἀνάγκη πᾶσα, τὸν θείας ὁμιλίας ἀπολαύοντα, μηκέτι εἶναι θνητόν· αὐτὸ γὰρ τὸ τῆς τιμῆς μέγεθος, πρὸς ἀθανασίαν ἡμᾶς μεθίστησιν. Εἰ γὰρ τοὺς βασιλεῖ διαλεγομένους, καὶ τῆς παρ' ἐκείνου τιμῆς ἀπολαύοντας, ἀμήχανον εἶναι πενήτας, πολλῷ μᾶλλον ἀδύνατον τοὺς τῷ Θεῷ προσευχομένους καὶ λαλοῦντας, θνητὰς ἔχειν ψυχάς. Θανάτου γὰρ ψυχῆς, ἀσέβεια, καὶ βίος παράνομος. Οὐκοῦν καὶ ζωὴ ψυχῆς ἡ τοῦ Θεοῦ λατρεία, καὶ βίος ὁ ταύτῃ πρέπων. Βίον δὲ ὅσιον, καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ πρέποντα, προσευχὴ συνάγει, καὶ θησαυρίζει θαυμασίως ταῖς ἡμετέραις ψυχαῖς. Εἴτε γὰρ παρθενίας τις ἐρασὴς, εἴτε τὴν ἐν γάμῳ σωφροσύνην τιμᾷν ἐπιδέξιος, εἴτε κρατεῖν ὀργῆς, καὶ πραότητι συζῆν, εἴτε φθόνου καθαρεύειν, εἴτε ἄλλο τι τῶν προσηκόντων ποιεῖν, προσευχῆς ἡγεμόνης καὶ προλεαινούσης τὴν τοιαύτην ὁδὸν τοῦ βίου, εὐχερῆ τε καὶ ῥάδιον ἕξει τὸν τῆς εὐσεβείας δρόμον. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τοὺς αἰτοῦντας παρὰ τοῦ Θεοῦ σωφροσύνην καὶ δικαιοσύνην καὶ πραότητα καὶ χρηστότητα, μὴ τυγχάνειν τῆς εὐχῆς. Αἰτεῖτε γάρ φησι, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε,

καὶ

καὶ διήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Καὶ ἀλλαχοῦ πάλιν. Τίς ἐστὶ φησιν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ ἐὰν ἰχθῦν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐξ οὐρανίος δώσει Πνεῦμα Ἅγιον τοῖς αἰτοῦσιν αὐτόν; Τοιούτοις μὲν λόγοις καὶ τοιαύταις ἐλπίσιν ἐπὶ προσευχὴν παρεκάλεσεν ἡμᾶς ὁ τῶν ὅλων Κύριος. Ἡμᾶς δὲ προσήκει τῷ Θεῷ πειθομένους ἀεὶ ζῆν ἐν ὕμνοις καὶ προσευχαῖς, ἀκριβέστερον τῆς τοῦ Θεοῦ λατρείας ἐχομένους, ἢ τῆς ἑαυτῶν ψυχῆς· ἔστω γὰρ ἡμῖν ὑπάρξειε ζῆν ἀεὶ τὸν πρέπουσαν ἀνθρώποις ζωήν. Ὅς τις γὰρ ἀ προσεύχεται τῷ Θεῷ, ἀδὲ θείας ὁμιλίας ἀπολαύειν ἐπιθυμεῖ συνεχῶς, νεκρός ἐστι καὶ ἄψυχος, καὶ ἀ μετέχει τοῦ φρονεῖν. Αὐτὸ γὰρ τοῦτο μέγιστον ἀφροσύνης σημεῖον, τὸ μὴ ἐπίστασθαι τὸ μέγεθος τῆς τιμῆς, μηδὲ ἐρᾶν προσευχῆς, μηδὲ θανάτου ἡγεῖσθαι ψυχῆς τὸ μὴ προσκυνεῖν τῷ Θεῷ. Ὥσπερ γὰρ οἶμαι τὸ σῶμα τοῦτο τὸ ἡμέτερον, ψυχῆς μὴ παρούσης, νεκρόν ἐστι, καὶ δυσῶδες, ὅπου ψυχὴ μὴ κινοῦσα ἑαυτὴν εἰς προσευχήν, νεκρά ἐστι, καὶ ἀθλία, καὶ δυσώδης. Ἀλλὰ μὴν, ὅτι γε θανάτου παντὸς πικρότερον ἡγεῖσθαι προσήκει, σεμνῦναι προσευχῆς, διδάσκει καλῶς ἡμᾶς Δανιὴλ ὁ μέγας Προφήτης, μᾶλλον ἑλόμενος ἀποθανεῖν, ἢ τρεῖς ἡμέρας μόνας σεμνῦναι προσευχῆς· οὐ γὰρ ἀσεβῆσαι τούτῳ προσέταξεν ὁ τῶν Περσῶν βασιλεύς, ἀλλὰ πᾶς τρεῖς ταύτας μόνον ἡμέρας ἐσκοπήσατο δίρειν. Ἀνθ' ὧν γὰρ τῆς θείας ῥοπῆς οὐκ ἄντι τῶν ἀγαθῶν εἰς τὰς ἡμετέρας ἔλθοι ψυχάς. Θεοῦ δὲ ῥοπὴ συνεφάπτεται τῶν πόνων ἡμῖν, καὶ τόπος ἐπικουφίζει καλῶς, ἂν ἴδῃ προσευχὴν ἀγαπῶντας καὶ συνεχῶς τὸν Θεὸν δεομένους, καὶ πάντα ἐκεῖθεν τὰ ἀγαθὰ καταβήσεσθαι προσδοκῶντας. Ὅτ' ἂν ἔν ἴδω τινὰ μὴ φιλοῦντα προσευχὴν, μηδὲ θερμὸν ἔ-

ρωπα ταύτης ἔχοντας καὶ σφοδρὸν, ἤδη μοι ἔτος δῆλός ἐστιν ὡς ὀδυνὴ γενναῖον ἐν τῇ ψυχῇ κέκτηται· ὅτ' αὖ δὲ ἴδω τινὰ τῆς τῦ Θεῦ λαμπρότητος ἀπορέσως ἐχόμενον, καὶ τὸ μὴ προσεύχεσθαι συνεχῶς, ἐν ταῖς μεγίσταις ἀριθμῦντα ζημίαις, τεκμαίρομαι τὸν τοιῦτον πάσης ἀρετῆς ἀσκητὴν εἶναι βέβαιον, καὶ τῦ Θεῦ Ναόν. Εἰ γὰρ σολισμὸς ἀνδρὸς, καὶ βῆμα ποδὸς, καὶ γέλως ὀδόντων, ἀναγγέλλει τὰ περὶ αὐτοῦ, κατὰ τὸν σοφὸν Σολομῶντα, πολλῷ μᾶλλον εὐχὴ καὶ λαμπρότης Θεῦ σημεῖόν ἐστι δικαιοσύνης ἁπάσης, στολίτις οὖσα πνευματικὴ καὶ θεία, πολλὴν εὐμορφίαν καὶ κάλλος παρέχουσα ταῖς ἡμετέραις διανοίαις, τὸν ἑκάστου ῥυθμίζουσα βίον, καὶ ἐῶσα φαῦλον, οὐδὲ ἄπορον τῆς διανοίας κρατεῖν, αἰδεῖσθαι πείθουσα τὸν Θεὸν, καὶ τιμὴ παρ' αὐτῦ τιμιῳ, πᾶσαν τῦ πονηροῦ γοητείαν ἀποπέμπεσθαι παιδεύουσα, τὰς αἰσχρὰς καὶ ἀτόπους ἐξελαύνουσα λογισμὰς, ἐν ὑπεροψίᾳ τῆς ἡδονῆς καθιεῶσα τιμὴ ἑκάστου ψυχήν. Αὕτη γὰρ ἡ ὑπερηφανία μόνη πρέπει τοῖς τὸν Χριστὸν σεβομένοις, τὸ μηδενὶ δουλεύειν αἰσχρῷ, ἀλλὰ πρεῖν ἐν ἐλευθερίᾳ τὴν ψυχὴν, καὶ βίῳ κεκαθαρμένῳ. Ὅτι μὲν οὖν παντελῶς ἀμήχανον ἄνευ προσευχῆς ἀρετῇ συζῆν, καὶ μὴ ταύτης πορεύεσθαι τὸν βίον, οἶμαι δῆλον ἅπασιν εἶναι. Πῶς γὰρ ἄν τις ἀρετὴν ἀσκήσειε, μὴ προσιὼν καὶ προσπίπτων συνεχῶς τῇ ταύτης χορηγῷ καὶ δοτῆρι; πῶς δὲ ἄν τις ἐπιθυμήσειεν εἶναι σώφρων καὶ δίκαιος μὴ ὁμιλῶν ἡδέως τῇ ταῦτά τε καὶ πλείω τούτων ἅπαντι παρ' ἡμῶν;

Βούλομαι δὲ ἐπιδεῖξαι διὰ βραχέων, ὅτι κἂν ἁμαρτημάτων γέμοντας αἱ προσευχαὶ λάβωσιν ἡμᾶς, ταχέως ἀποκαθαίρουσι. Καίτοι τί μεῖζον γένοιτ' ἄν προσευχῆς, ἢ θειότερον, ὅτ' ἄν ἀλεξιφάρμακον φανῇ τι οὖσα τοῖς τὰς ψυχὰς νοσοῦσιν; Οὐκοῦν πρῶτοι Νινευῖται φαίνονται διὰ προσευχῆς ἀναλυσάμενοι τὰς πολλὰς πρὸς Θεὸν ἁμαρτίας· ἅμα τε γὰρ ἔλαβον αὐτὰς ἡ προσευχὴ, καὶ δικαίους ἐποίησε. Καὶ πόλιν εἰθισμένην ἀκολασίᾳ καὶ πονηρίᾳ καὶ παρανόμῳ βίῳ συζῆν, ἐπανώρθωσεν ὀξέως, παλαιᾶς

λαιᾶς συνηθείας μεῖζον ἰσχύσασα, τῷ ἐρανίων νόμων πλήρη πεποιηκυῖα τὴν πόλιν, συνεφελκομένη μεθ' ἑαυτῆς καὶ σωφροσύνην, καὶ φιλανθρωπίαν, καὶ πραότητα, καὶ πρόνοιαν πτωχῶν· ἃ δὴ ἀνέχεται χωρὶς τῶν ἐνδιαιτᾶσθαι ψυχῇ, ἀλλ' εἰς ἣν ἂν οἰκήσῃ διανοίαν, πλήρη ποιεῖ δικαιοσύνης πάσης, παιδοτριβοῦσα πρὸς ἀρετὴν, καὶ κακίαν ἐξορίζουσα. Καὶ δή καὶ τότε εἴτις εἰσῆλθεν εἰς Νινευῒ τὴν πόλιν, καὶ πρότερον αὐτὴν ἀκριβῶς ἐπισάμενος, ἐκ ἂν ἔπεγνω τὴν πόλιν· ὅπως ἐξαίφνης ἀπὸ τοῦ φαυλοτέρου βίου πρὸς εὐσέβειαν μετεπήδησεν. Ὥσπερ δὲ γυναῖκα πτωχὴν, ῥάκια φέρουσαν, μετὰ ταῦτά τις χρυσοῖς ἱματίοις κεκοσμημένην, ἰδὼν, οὐκ ἂν ἐπιγνοίη τὸ γυναῖον, ὅπως ὁ τὴν πόλιν ἐκείνην εἰδὼς πτωχεύουσαν πρότερον, καὶ τῷ πνευματικῶν ἔρημον ὄσαν θησαυρῶν, ἐγνόησεν ἂν ἥτις εἴη πόλις, ἣν τοσοῦτον ἴσχυσεν ἀρχὴ, μεταβαλοῦσα καὶ τρόπον καὶ βίον, πρὸς ἀρετὴν ἐπαναγαγεῖν. Καὶ γυνὴ δέ τις ἐν ἀκολασίᾳ καὶ πορνείᾳ πάντα βεβιωκυῖα τὸν χρόνον, ἅμαπε προσέπεσε πρὸς τὰς πόδας τοῦ Χριστοῦ, καὶ σωτηρίας ἔτυχεν. Οὐ τοίνυν ἀποκαθαίρει μόνον ἁμαρτίας, ἀλλὰ καὶ κινδύνους ἀποκρύπτεται μεγάλους. Ὁ γέτοι βασιλεὺς ὁμοῦ τε καὶ Προφήτης ὁ θαυμάσιος Δαβὶδ, τὰς πολλὰς, καὶ χαλεπὰς πολέμους τῇ προσευχῇ διέφυγε, τοῦτο μόνον τὸ ὅπλον τῆς στρατιᾶς προβαλλόμενος, καὶ παρέχων τοῖς ἑαυτοῦ στρατιώταις καθ' ἡσυχίαν καὶ ἄδειαν ἀπολαύειν τῆς νίκης. Ὡς οἱ μὲν ἄλλοι βασιλεῖς, ἐν τῇ τῶν στρατηγῶν ἐμπειρίᾳ καὶ τῇ τέχνῃ καὶ τοξόταις καὶ ὁπλίταις καὶ ἱππεῦσι τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον· ὁ δὲ μέγας Δαβὶδ ταῖς ἁγίαις εὐχαῖς τὸν στρατιὰν ἐτείχιζεν, οὐ βλέπων εἰς ὄφρυν στρατηγῶν καὶ ταξιάρχων καὶ ἱππάρχων, οὐδὲ χήματα συλλέγων, οὐδὲ ὅπλα κατασκευάζων, ἀλλὰ τὴν θείαν πανοπλίαν ἐξ Οὐρανοῦ καταφέρων. Πανοπλία γὰρ ὡς ἀληθῶς ἐρανίος, ἡ θεία προσευχὴ, καὶ μόνη δυνάται φυλάττειν βεβαίως τοὺς δεδωκότας ἑαυτοὺς τῷ Θεῷ. Τὴν μὲν δὴ τῷ ὁπλι-

τῷ

τῆ ἰχύϊτε κὴ ἐπισήμην, κὴ τοξοτῆ ἐμπειρίαν, κὴ ῥοδοσίαν πολλάκις ὑποφαίνει μάταιον, κὴ βλέμματα πολεμικὰ, κὴ αὐτιπάλων δύψυχία, κὴ ἄλλα πολλὰ ῥὸς τὸτοις. Προσευχὴ δὲ ἄμαχον ὅπλον κὴ ἀσφαλὲς φυλακτήριον, ὁμοίως μὲν στρατιώτην σῶα, ὁμοίως δὲ πολλὰς ἀποκρυομένη μυριάδας. Ἐπεὶ καὶ Δαβὶδ ὁ θαυμάσιος τὸν Γολιὰδ ἐκεῖνον, ὥσπερ δαίμονά τινα φοβερὸν ἐπερχόμενον, ὐκ ὅπλος ὐδὲ ξίφεσιν, ἀλλ' εὐχαῖς κατήνεγκεν. Οὕτως ἰσχυρὸν μὲν βασιλεῦσιν ἐν μάχαις ὅπλον ἡ ῥοσευχὴ, ἰσχυρὸν δὲ κὴ ἡμῖν ῥὸς δαίμονας. Οὕτω κὴ ὁ βασιλεὺς Ἐζεκίας περιγίνεται τῆ πολέμῳ τῆ Περσῶν, στρατιὰν μὲν ὐχ ὁπλίσας, εὐχὰς δὲ μόνας αὐτιστήσας τῆ πλήθει τῆ αὐτιπάλων· οὕτω καὶ θανάτον διέφυγε μετὰ τῆς ῥοσηκούσης εὐλαβείας τῷ Θεῷ ῥοσπεσών, καὶ ἡ ῥοσευχὴ μόνη δέδωκεν ἀναβιῶναι τῆ βασιλεῖ. Καὶ μέν γε ὅτι ψυχῶ ἡμαρτηκῦαν ἡ ῥοσευχὴ ῥαδίως ἀποκαθαίρει, διδάσκει ἡμᾶς ὁ Τελώνης, δεηθεὶς τὸ Θεοῦ τυχεῖν ἀφέσεως, καὶ τυχών. Διδάσκει δὲ κὴ ὁ λεπρὸς, ἅμα τε ῥοσπεσὼν τῆ Θεῷ, καὶ καθαρθεὶς εὐθέως. Εἰ δὲ σῶμα διεφθαρμένον ὁ Θεὸς ὀξέως ἰάσατο, πολλῷ μᾶλλον ψυχῶ νοσοσηκῦαν θεραπεύσει φιλανθρώπως. Ὅσῳ γὸ τιμιωτέρα τὸ σώματος ἡ ψυχὴ, τοσούτῳ μᾶλλον εἰκὸς περὶ ταύτῶ πλείονα σπουδῶ ἐπιδείκνυθαι τὸν Θεόν. Καὶ μυρία αὖ τις ἔχοι λέγειν κὴ παλαιὰ κὴ καινὰ, εἰ πάντας ὀξαριθμεῖθαι βούλοιτο τὰς διὰ ῥοσευχῆς σεσωσμένας. Ἴσως δέ τις τῆ ῥαθυμοτέρων, καὶ ὐκ ἐθελόντων ἐπιμελῶς ῥοσεύχεθαι καὶ σπουδαίως, ἐκεῖνα τὰ ῥήματα φήσειεν αὖ εἰρηκέναι τὸν Θεὸν, ὡς, ὁ πᾶς ὁ λέγων μοι· Κύριε, Κύριε, εἰσελεύσεται εἰς τῶ βασιλείαν τῆ Οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τὸ Πατρός μὸ τὸ ἐν Οὐρανοῖς. Ἐγὼ δὲ, εἰ μόνην ὀξαρκεῖν ῥὸς τὴν ἡμετέραν σωτηρίαν τῶ ῥοσευχὴν ἐνόμιζον, εἰκότως αὖ τις τύτοις ἐκέχρητο τοῖς λόγοις· ἐπεὶ δὲ κεφάλαιον εἶναι ἀγαθῶν τῶ ῥοσευχῶ φημι, καὶ κρη-

πίδα

πίδα καὶ ῥίζαν τὸ λυσιτελοῦντος βίου, μηδεὶς ἐπὶ προφάσει ῥᾳθυμίας, ἐκείνοις κεχρήσθω τοῖς λόγοις. Οὐδὲ γὰρ σωφροσύνη μόνη δύναται σώζειν ἄνευ τῆς ἄλλων ἀγαθῶν, οὐδὲ φρόνοια πτωχῶν, οὐδὲ χρηστότης, οὐδὲ ἄλλο τι τῶν παιδαίων, ἀλλὰ δεῖ πάντα συνδραμεῖν εἰς τὰς ἡμετέρας ψυχάς. Προσευχὴ δὲ ὥσπερ ῥίζα καὶ κρηπὶς ὑπόκειται. Καὶ ὥσπερ πλοῖον καὶ οἰκίαν τὰ κάτωθεν ἰσχυρὰ ποιεῖ καὶ σωέχει, ἕτω τὸν ἡμέτερον βίον αἱ προσευχαὶ συγκρατοῦσιν· ἄνευ δὲ ταύτης οὐδὲν ἂν ἡμῖν ἀγαθὸν, οὐδὲ σωτήριον γένοιτο. Διὰ τοῦτο ὁ Παῦλος ἔγκειται συνεχῶς ἡμῖν διαπελεύμενος, καὶ λέγων· τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. Καὶ ἀλλαχοῦ· ἀδιαλείπτως προσεύχεσθε, φησὶν, ἐν παντὶ εὐχαριστοῦντες. Τοῦτο γάρ ἐστι θέλημα Θεοῦ. Καὶ ἑτέρωθι πάλιν· προσεύχεσθε ἐν παντὶ καιρῷ, ἐν πνεύματι, εἰς αὐτὸ ἀγρυπνοῦντες, ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει. Οὕτω πολλαῖς καὶ θείαις φωναῖς ἐπὶ προσευχὴν ἡμᾶς ἐκάλει συνεχῶς ὁ τῶν Ἀποστόλων ἡγεμών. Προσήκει τοίνυν ὑπ' ἐκείνου παιδευομένους, μετὰ προσευχῆς πορεύεσθαι τὸν βίον καὶ ταύτῃ συνεχῶς τιθῶ διανοίαν ἄρδειν· Χρήζομεν γὰρ οἱ πάντες ἄνθρωποι ταύτης οὐχ ἧττον, ἢ τὰ δένδρα τοῦ ὑδάτων. Οὔτε γὰρ ἐκεῖνα δύνανται ἐνφέρειν τὰς καρπὰς, μὴ πίνοντα διὰ τῶν ῥιζῶν, ἔτε ἡμεῖς τοῖς πολυτιμήτοις καρποῖς τῆς εὐσεβείας δυνησόμεθα βρύειν, μὴ ταῖς προσευχαῖς ἀρδόμενοι. Διὸ ὅπερ χρὴ καὶ τῆς κλίνης ἀπανισαμένους φθάνειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ Θεοῦ λαμπρᾷ· καὶ ξαπέζης ἀπτομένους, καὶ καθεύδειν μέλλοντας· μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν, μίαν εὐχὴν τῷ Θεῷ προσφέροντας, ἴσον τῇ ἡμέρᾳ δρόμον ἔχοντας· ἐν δέ γε τῇ τοῦ χειμῶνος ὥρᾳ, καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας, καὶ τὰ γόνατα κάμπτοντας σὺν πολλῷ τῷ φόβῳ τῇ δεήσει προσέχοντας, μακαρίζοντας ἑαυτοὺς ἐπὶ τῇ τοῦ Θεοῦ λαμπρᾷ. Εἰπέ μοι, πῶς ὄψει τὸν ἥλιον, μὴ προσκυνήσας τὸν πέμποντα

τῆς

τοῖς σοῖς ὀφθαλμοῖς γλυκύπατον φῶς, πῶς ἀπολαύσεις ζαπέζης, μὴ προσκυνήσας τὸν τοσέπων ἀγαθῶν δοτῆρα καὶ χορηγόν; μετὰ ποίας ἐλπίδος ἐπὶ τὸν τῆς νυκτὸς ἥξεις καιρόν; ποίοις προσδοκᾶς ὀνείρασιν ὁμιλῆσαι, μὴ τειχίσας σαυτὸν προσευχαῖς, ἀλλ' ἀφύλακτος ἐπὶ τὸν ὕπνον ἐλθὼν, ἀκαταφρόνητος καὶ ἀάλωτος τοῖς πονηροτάτοις δαίμοσιν ἔσῃ, οἱ περιέρχονται συνεχῶς καιροφυλακτοῦντες ἡμᾶς, τίνα λαβόντες γυμνὸν προσευχῆς ἁρπάσωσιν ὀξέως. Ἂν μὲν οὖν ἴδωσιν ἡμᾶς πεφραγμένους ταῖς προσευχαῖς, ἀποπηδῶσιν ἀθέως, ὥσπερ λῃσταὶ καὶ κακοῦργοι, πρὸς τῇ κεφαλῇ τὸ στρατιώτου ξίφος ὁρῶντες κρεμάμενον· αὖ δ' ἄρα συμβῇ τινα γυμνὸν εἶναι προσευχῆς, ἕπος ἀνάσσας ὑπὸ τῶν δαιμόνων φέρεται, εἰς ἁμαρτίας ὠθούμενος, καὶ συμφορὰς καὶ κακά. Ταῦτα δεῖ πάντα φοβουμένους ἡμᾶς, προσευχαῖς καὶ ὕμνοις ἀεὶ τειχίζειν ἑαυτοὺς, ἵνα πάντας ὁ Θεὸς ἐλεήσας, ἀξίους ἀπεργάσηται τῆς τῶν Οὐρανῶν Βασιλείας, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟ-

ΛΟΓΟΣ ΕΙΣ ΕΥΤΡΟΠΙΟΝ ΕΥΝΟΥΧΟΝ

ΠΑΤΡΙΚΙΟΝ ΚΑΙ ΥΠΑΤΟΝ.

Ἀεὶ μὲν, μάλιστα δὲ νῦν, εὔκαιρον εἰπεῖν· ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης. Πῦ νῦν ἡ λαμπρὰ τῆς ὑπατείας περιβολή; πῦ δὲ αἱ φαιδραὶ λαμπάδες; πῦ δὲ οἱ πρότοι καὶ οἱ χοροὶ καὶ αἱ θαλίαι καὶ αἱ πανηγύρεις; πῦ οἱ στέφανοι καὶ τὰ παραπετάσματα; πῦ ὁ τῆς πόλεως θόρυβος, καὶ αἱ ἐν ἱπποδρομίαις δύφημίαι, καὶ τῷ θεατρῷ αἱ κολακεῖαι; πάντα ἐκεῖνα οἴχεται, καὶ ἄνεμος πνεύσας ἀθρόον τὰ μὲν φύλλα κατέβαλε, γυμνὸν δὲ ἡμῖν τὸ δενδρον ἔδειξε, καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς σαλευόμενον λοιπόν. Τοιαύτη γὰρ ἡ τοῦ πνεύματος γέγονε προσβολὴ, ὡς καὶ πρόῤῥιζον ἀπειλεῖν ἀναστῆναι, καὶ αὐτὰ διασαλεῦσαι τὰ δενδρα τὰ νεῦρα. Πῦ νῦν οἱ πεπλασμένοι φίλοι, πῦ τὰ συμπόσια, καὶ τὰ δεῖπνα; πῦ ὁ τῶν παρασίτων ἑσμὸς, καὶ ὁ δι' ὅλης ἡμέρας ἐγχεόμενος ἄκρατος, καὶ αἱ ποικίλαι τῶν μαγείρων τέχναι, καὶ οἱ τῆς δυνασείας θεραπευταὶ, οἱ πάντα πρὸς χάριν ποιοῦντες καὶ λέγοντες; Νυξ ἦν πάντα ἐκεῖνα, καὶ ὄναρ, καὶ ἡμέρας γινομένης, ἠφανίσθη. Ἄνθη ἦν ἐκεῖνα, καὶ παρελθόντος τοῦ ἔαρος, ἅπαντα κατεμαράνθη· σκιὰ ἦν, καὶ παρέδραμε καπνὸς ἦν, καὶ διελύθη· πομφόλυγες ἦσαν, καὶ διερράγησαν· ἀράχνη ἦν, καὶ διεσπάθη. Διὸ ταύτην τὴν πνευματικὴν ῥῆσιν ἐπάδωμεν συνεχῶς ἐπιλέγοντες· Ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης. Ταύτην δὴ τὴν ῥῆσιν καὶ ἐν τοίχοις, καὶ ἐν ἱματίοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ὁδοῖς, καὶ ἐν θύραις, καὶ ἐν εἰσόδοις, καὶ πρὸ πάντων ἐν τῇ ἑκάστου συνειδότι συνεχῶς ἐγγεγράφ-

χεάφθαι δεῖ, καὶ διαπαντὸς αὐτὴν μελετᾷν. Ἐπειδὴ ἡ τῶν φραγμάτων ἀπάτη, καὶ τὰ φροσωπεῖα, καὶ ἡ ὑπόκρισις ἀλήθεια παρὰ τοῖς πολλοῖς εἶναι δοκεῖ· ταύτην καθ' ἑκάστην ἡμέραν καὶ ἐν δείπνῳ, καὶ ἐν ἀγίσῳ, καὶ ἐν συλλόγοις ἐπιλέειν ἕκαστον τῶν πλησίον ἐχθρὸν, καὶ παρὰ τὸν πλησίον ἀκούειν, ὅτι Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Οὐκ ἔλεγόν σοι συνεχῶς, ὅτι δραπέτης ὁ πλοῦτός ἐστι καὶ οἰκέτης; σὺ δὲ οὐκ ἐβούλου πείθεσθαι· ἰδοὺ ἐκ τῶν φραγμάτων ἔδειξεν ἡ πεῖρα, ὅτι οὐ δραπέτης μόνον, οὐδὲ ἀγνώμων, ἀλλὰ καὶ ἀνδροφόνος· ἔπος γάρ σε ῥέμειν νῦν καὶ δεδοικέναι παρεσκεύασεν. Οὐκ ἔλεγόν σοι, λοιπὸν συνεχῶς ἐπετίμα μοι λέγοντι τὰ ἀληθῆ, ὅτι ἐγά σε φιλῶ μᾶλλον τῶν κολακευόντων; ἐγὼ ὁ ἐλέγχων πλέον κήδομαι τῶν χαριζομένων; οὐ προετίθην τοῖς ῥήμασι τούτοις, ὅτι ἀξιοπιστότερα ῥαύματα φίλων, ὑπὲρ ἑκούσια φιλήματα ἐχθρῶν. Εἰ τῶν ἐμῶν λοιπὸν ῥαυμάτων, οὐκ ἂν σοι τὰ φιλήματα ἐκείνων τὸν θανάτον τοῦτον ἔτεκον· τὰ μὲν ἐμὰ ῥαύματα ὑφείαν ἐργάζεται, τὰ δὲ ἐκείνων φιλήματα νόσον αἰώνιον κατεσκεύασε. Πῦ νῦν οἱ οἰνοχόοι, ποῦ δὲ οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς, καὶ μυρία παρὰ πᾶσιν ἐγκώμια λέγοντες; ἐδραπέτευσαν, ἠρνήσαντο τὴν φιλίαν, ἀσφάλειαν ἑαυτοῖς διὰ τῆς σῆς ἀγωνίας ποριζόμενοι. Ἀλλ' οὐχ ἡμεῖς ἔπος· ἀλλὰ καὶ τότε δυσχεραίνοντός σε οὐκ ἀπεπηδῶμεν, καὶ νῦν πεσόντα περιστέλλομεν καὶ θεραπεύομεν. Καὶ ἡ μὲν πολεμηθεῖσα Ἐκκλησία παρὰ σοῦ, τὰς κόλπους ἤπλωσε, καὶ ἐπεδέξατο· τὰ δὲ θεραπευθέντα θέαζα, ὑπὲρ ὧν πολλάκις προὸς ἡμᾶς ἠγανάκτεις, προῖδωκε καὶ ἀπώλεσεν. Ἀλλ' ὅμως οὐκ ἐπαυσάμεθα ἀεὶ λέγοντες· τί ταῦτα ποιεῖς; ἐκβακχεύεις τὴν Ἐκκλησίαν, καὶ κατ' κριμῶν σαυτὸν φέρεις, καὶ παρέξεχες ἅπαντα. Καὶ αἱ μὲν ἱπποδρομίαι, τὸν πλοῦτόν σε ἀναλώσασαι, τὸ ξίφος ἠκόνησαν· ἡ δὲ Ἐκκλησία, ἡ τῆς ὀργῆς τῆς σῆς ἀπολαύσασα τῆς ἀκαίρου, παντοχῦ παραβέχει, τῶν δικτύων σε ἁρπάσαι βουλο-

λομείη. Καὶ ταῦτα λέγω νῦν, ἵνα ἐπεμβαίνων τῷ πεμμένῳ, ἀλλὰ τὰς ἐσώτας ἀσφαλεστέρας ποιῆσαι βουλόμενος· ἵνα ἀναξαίνων τὰ ἕλκη τῶν τετρωμένων, ἀλλὰ τὰς μηδέπω τετρωμένας ἐν ὑγείᾳ διατηρῆσαι ἀσφαλεῖ· οὐ καταπονοῦντίζων τὸν κλοδωνιζόμενον, ἀλλὰ τὰς ἐξ ἀρχῆς πλέοντας παιδεύων, ὥστε μὴ γενέσθαι ὑποβρυχίους. Πῶς δ' ἂν τοῦτο γένοιτο; εἰ τὰς μεταβολὰς τῶν ἀνθρωπίνων πραγμάτων ἐννοώμεθα· καὶ γὰρ ὅτος εἰ ἔδει σε μεταβολὴν, ἵνα μὴ ὑπέμεινε μεταβολήν. Ἀλλ' ἐπείπερ οὗτος ἔτε οἴκοθεν, ἔτε παρ' ἑτέρων ἐγένετο βελτίων, ὑμεῖς γὰρ οἱ νομῶντες τῷ πλούτῳ, ἀπὸ τῆς τότε κερδαίνετε συμφορᾶς. Οὐδὲν γὰρ τῶν ἀνθρωπίνων πραγμάτων ἀσθενέστερον. Διό περ οἷον ἂν εἴποι τις ὄνομα τῆς ἀτελείας αὐτῶν, ἔλαττον τῆς ἀληθείας ἐρεῖ. Κἂν πανὸν αὐτὰ, κἂν χόρτον, κἂν ὄναρ, κἂν ἄνθη ἑαρινὰ, κἂν ὅ, τι ἂν ὀνομάσῃ. Οὕτω ἐστὶν ἐπίκηρα, καὶ τῷ ὄντι ὄντων ἐδαμινώτερα. Ὅτι δὲ μετὰ τῆς ἀσθενείας, καὶ πολὺ ἔχει τὸ ἀπόκρημνον, δῆλον ἐντεῦθεν· τίς γὰρ τότε γέγονεν ὑψηλότερος; οὐ πᾶσαν τὴν οἰκουμένην παρῆλθε τῷ πλούτῳ; οὐ πρὸς αὐτὰς τῶν ἀξιωμάτων ἀνέβη τὰς κορυφάς; ἀλλ' ἅπαντες αὐτὴν ἔζεμον, καὶ ἐδεδοίκεισαν; ἀλλ' ἰδὲ γέγονε καὶ δεσμωτῶν ἀθλιώτερος, καὶ οἰκετῶν ἐλεεινότερος, καὶ τῶν λιμῷ πτοουμένων πτωχῶν ἐνδεέστερος, καθ' ἑκάστην ἡμέραν ξίφη βλέπων ἠκονημένα, καὶ βάραθρον, καὶ δημίους, καὶ τὴν ἐπὶ θανάτου ἀπαγωγήν· καὶ οὐδὲ εἴποτε γέγονεν ἐπὶ τῆς ἡδονῆς οἶδεν ἐκείνης, οὐδὲ αὐτῆς αἰσθάνεται τῆς ἀκτῖνος. Ἀλλ' ἐν μεσημβρίᾳ μέσῃ, καθάπερ ἐν πυκνοπάτῃ νυκτὶ περιεσοιχισμένος, οὕτω τὰς ὄψεις πεπήρωται· μᾶλλον δὲ ὅσα ἂν φιλονεικήσωμεν, οὐ δυνησόμεθα τῷ λόγῳ παραστῆσαι τὸ πάθος, ὅπερ ὑπομένειν αὐτὸν εἰκὸς, καθ' ἑκάστην ὥραν ἀποκτείνεσθαι προσδοκῶντα. Ἀλλά γὰρ τί δεῖ τῶν λόγων τῶν παρ' ἡμῶν, αὐτοῦ ταῦτα καθάπερ ἐν εἰκόνι σαφῶς ὑπογράψαντος ἡμῖν; τῇ γὰρ προτεραίᾳ ὅτε ἐπ' αὐτὸν ἦλθον ἐκ τῶν βασιλικῶν αὐλῶν, πρὸς βίαν ἀφελκύ-

κύσαι βελόμενοι, καὶ τοῖς σκιάσι προσέδραμε τοῖς ἱεροῖς, ἦν τὸ μὲν πρόσωπον αὐτῆς ὠχρὸν, πελιδνὸν, καὶ παντὸν νεκρωθέντος εἶδος ἄμεινον διακείμενον· κτύπος δὲ τῶν ὀδόντων, καὶ πάταγος, καὶ βόμος παντὸς τοῦ σώματος, καὶ φωνὴ διακοπτομένη, καὶ γλῶττα διαλυομένη, καὶ σχῆμα τοιοῦτον, οἷον εἰκὸς τὴν λιθίνην ἔχειν ψυχήν. Καὶ ταῦτα λέγω, οὐκ ὀνειδίζων, οὐδὲ ἐπεμβαίνων αὐτῇ τῇ συμφορᾷ, ἀλλὰ τὴν ὑμετέραν διάνοιαν μαλάξαι βελόμενος, καὶ εἰς ἔλεον ἐπισπάσασθαι, καὶ πεῖσαι ἀρκεσθῆναι τῇ τιμωρίᾳ τῇ γεγενημένῃ.

Ἐπειδὴ γάρ εἰσι πολλοὶ παρ' ἡμῖν ἀπάνθρωποι, ὥς τε ὁμοίως καὶ ἡμῖν ἐγκαλεῖν, ὅτι αὐτὸν ἐδεξάμεθα τῷ βήματι, τὸ ἄσπορον αὐτῷ τοῖς διηγήμασι μαλάξαι βελόμενος, ἐκπομπεύω τὰ τότε πάθη. Τίνος γὰρ οὕνεκεν ἀγανακτεῖς, εἰπέ μοι, ἀγαπητέ; ὅτι, φησὶν, εἰς Ἐκκλησίαν κατέφυγεν ὁ πολεμήσας αὐτὴν διηνεκῶς. Διὰ τοῦτο μὲν ἂν μάλιστα δοξάζειν ἐχρῆν τὸν Θεὸν, ὅτι ἀφῆκεν αὐτὸν ἐν τοσαύτῃ κατασχεῖν ἀνάγκῃ, ὥστε καὶ τὴν δύναμιν τῆς Ἐκκλησίας καὶ τὴν φιλανθρωπίαν μαθεῖν. Τὴν δύναμιν μὲν, ἀφ' ὧν τοσαύτην ὑπέμεινε μεταβολὴν, ἐκ τῶν πρὸς ἐκείνην πολέμων· τὴν φιλανθρωπίαν δὲ, ἐξ ὧν πολεμηθεῖσα νῦν τὴν ἀσπίδα προβάλλεται, καὶ ὑπὸ τὰς πτέρυγας ἐδέξατο τὰς αὐτῆς, καὶ ἐν ἀσφαλείᾳ πάσῃ κατέστησεν, ἃ μνησικακήσασα ὑπὲρ τῶν ἔμπροσθεν ἀδικημάτων, ἀλλὰ τὰς κόλπους αὐτῷ μετὰ πολλῆς ἀπλώσασα τῆς φιλοσοργίας. Τοῦτο γὰρ βοπαίου παντὸς λαμπρότερον, τοῦτο νίκης περιφανὴς, τοῦτο Ἕλληνας ἐντρέπει, τοῦτο καὶ Ἰουδαίους καταισχύνει, τοῦτο φαιδρὸν αὐτῆς τὸ πρόσωπον δείκνυσιν· ὅτι τὸν πολέμιον αἰχμάλωτον λαβοῦσα, φείδεται· καὶ πάντων αὐτὸν ἐν ἐρημίᾳ παριδόντων, μόνη καθάπερ μήτηρ φιλόσοργος, ὑπὸ τὰ παραπετάσματα αὐτῆς ἔκρυψε, καὶ πρὸς βασιλικὴν ὀργὴν ἔστη, πρὸς δήμου θυμὸν, καὶ πρὸς μῖσος ἀφόρητον. Τοῦτο τῷ θυσιαστηρίῳ κόσμος. Ποῖος κόσμος, φησὶ, τὸ τὸν ἐναγῆ καὶ πλεονέκτην καὶ ἅρπαγα ἅπτεσθαι τοῦ θυσιαστη-

ρίου;

εἰς; Μὴ λέγε ταῦτα· ἐπειδὴ καὶ ἡ πόρνη ἥψατο τῶν ποδῶν τοῦ Χριστοῦ, ἡ σφόδρα ἐναγὴς καὶ ἀκάθαρτος· καὶ οὐκ ἦν ἔγκλημα τῷ Ἰησοῦ τὸ γενόμενον, ἀλλὰ θαῦμα καὶ ὕμνος μέγας. Οὐ γὰρ τὸν καθαρὸν ἔβλαπτεν ἡ ἀκάθαρτος, ἀλλὰ τὴν ἐναγῆ πόρνην ὁ καθαρὸς καὶ ἄμωμος διὰ τῆς ἁφῆς καθαρὰν εἰργάσατο. Μὴ δὴ μνησικακήσῃς ὦ ἄνθρωπε· ἐκείνης οἰκέται ἐσμὲν τοῦ ἐσταυρωμένου, καὶ λέγοντος· ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν. Ἀλλ' ἀπετείχισέ, φησι, τὸν ἐνταῦθα καταφυγὴν χράμμασι καὶ νόμοις διαφόροις· ἀλλ' ἰδὲ διὰ τῶν ἔργων ἔμαθεν, ὅπερ ἐποίησε, καὶ τὸν νόμον ἔλυσε φρῶτος αὐτὸς, δι' ὧν ἔπαθε, καὶ γέγονε τῆς οἰκουμένης θέαμα. Καὶ σιγῶν ἐντεῦθεν ἀφίησι φωνῇ ἅπασι παραινῶν· μὴ ποιεῖτε ταῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. διδάσκαλος ἀνεφάνη διὰ τῆς συμφορᾶς· καὶ λαμπηδόνα μεγάλην ἀφίησι τὸ θυσιαστήριον, νῦν φοβερὸν μᾶλλον καὶ ἐκ τούτου φαινόμενον, ὅτι τὸν λέοντα δεδεμένον ἔχει. Ἐπεὶ καὶ βασιλικῇ εἰκόνι μέγας κόσμος, οὐχ ὅταν ἐπὶ τοῦ θρόνου κάθηται πορφυρίδα περιβεβλημένος, καὶ διάδημα περικείμενος ὁ βασιλεὺς μόνον· ἀλλὰ καὶ ὅταν ὑπὸ τὸν ποδὶ τὸν βασιλικὸν βάρβαροι τῶν χειρῶν ὀπίσω δεδεμένοι, κάτω τὰς κεφαλὰς νεύουσι κείμενοι. Καὶ ὅτι ἐ πιθανότητι κέχρηται λόγων, ὑμεῖς μάρτυρες τῆς ὠδῆς καὶ τῆς συνδρομῆς· καὶ γὰρ λαμπρὸν ἡμῖν τὸ θέαμα σήμερον, καὶ φαιδρὸς ὁ σύλλογος, καὶ ὅσον ἐν τῇ Πάσχα τῷ ἱερῷ δῆμον εἶδον ξυναγόμενον, τοσοῦτον ὁρῶ καὶ ἐνταῦθα νυνί. Καὶ ἅπαξ σιγῶν πάντας ἐκάλεσε, σάλπιγγος λαμπροτέραν φωνὴν διὰ τῶν γραμμάτων ἀφείς. Καὶ παρθένοι θαλάμους, καὶ γυναῖκες γυναικῶνας, καὶ ἄνδρες τὴν ἀγορὰν κενώσαντες, πάντες ἐνταῦθα συνεδράμετε, ἵνα τὴν ἀνθρωπίνην φύσιν ἴδητε ἐλεγχομένην, καὶ τῶν βιωτικῶν πραγμάτων τὸ ἐπίκηρον ἀπογυμνούμενον, καὶ τὴν πορνικὴν ὄψιν τὴν χθὲς καὶ πρώην φαιδρὸν ἀπολάμπουσαν. Καὶ γὰρ τοιοῦτον ἡ δυσφημία ἡ ἀπὸ τῆς πλεονεξίας, πάντας γραϊδίε

δίκ ῥυτίδας ἔχοντος αἰσχροτέρα φαινομένη, καθάπερ σπογγιᾷ τινι τῇ μεταβολῇ τὰ ἐπιβλήματα καὶ τὰς ἀπιχραφὰς ἐκμάξασα. Τοιαύτη γὰρ τῆς δυσημερίας ταύτης ἡ ἰσχύς· τὸν φαιδρὸν καὶ πεφιφανῆ, πάντων ἐποίησεν ἀτελέστερον φαίνεσθαι νυνί. Κἂν πλούσιος εἰσέλθῃ, μεγάλα κερδαίνει· ὁρῶν γὰρ ἐκ τοσαύτης κορυφῆς κατενεχθέντα τὸν σείοντα τὴν οἰκουμένην ἅπασαν, καὶ συνεσταλμένον, καὶ λαγωὸς καὶ βαρβάκα δειλότερον γεγενημένον, καὶ χωρὶς δεσμῶν τῷ κίονι τούτῳ προσηλωμένον, καὶ αὐτὶ ἀλύσεως τῷ φόβῳ περισφιγγόμενον, καὶ δεδοικότα, καὶ τρέμοντα, κατασέλλει τινὰ φλεγμονὴν, καθαιροῖ τὸ φύσημα, καὶ φιλοσοφήσας ἃ χρὴ περὶ τῶν ἀνθρωπίνων φιλοσοφεῖν, ὅπως ἄπεισιν, ἃ διὰ ῥημάτων λέγουσιν αἱ γραφαὶ, ταῦτα διὰ τῶν πραγμάτων μανθάνων· ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· καὶ ὁ χόρτος ἐξηράνθη, καὶ τὸ ἄνθος ἐξέπεσεν· οἷον, ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται· ὅτι, ὡσεὶ καπνὸς αἱ ἡμέραι αὐτῶν, καὶ ὅσα τοιαῦτα. Πάλιν ὁ πένης εἰσελθὼν, καὶ πρὸς τινὰ ὄψιν ταύτην ἰδὼν, οὐκ ἐξυβρίζει ἑαυτὸν, οὐδὲ ὠθεῖται διὰ τινὰ πτωχείαν· ἀλλὰ καὶ χαίρειν οἶδε τῇ πενίᾳ, ὅτι χωρίον αὐτῷ γέγονεν ἄσυλον, καὶ λιμὴν ἀκύμαντος, καὶ τεῖχος ἀσφαλές. Καὶ πολλάκις ἂν ἕλοιτο ταῦτα ὁρῶν, μένειν ὅθα ἐστὶν, ἢ πρὸ βραχὺ τὰ πάντων λαβὼν, ὕστερον καὶ ὑπὲρ αἵματος κινδυνεύειν ἑαυτοῦ. Ὁρᾷς ὡς ἡ μικρὸν κέρδος γέγονε καὶ πλουσίοις, καὶ πένησι, καὶ ταπεινοῖς, καὶ ὑψηλοῖς, καὶ δούλοις, καὶ ἐλευθέροις ἀπὸ τῆς ἐνταῦθα τέχνης καταφυγῆς; ὁρᾷς πῶς ἅπασος φάρμακα λαβὼν ἐντεῦθεν ἄπεισιν, ἀπὸ τῆς ὄψεως ταύτης μόνης θεραπευόμενος; Ἆρα ἐμάλαξα ὑμῶν τὸ πάθος, καὶ ἐξέβαλον τινὰ ὀργήν; ἆρα ἔσβεσα τινὰ ἀπανθρωπίαν; ἆρα εἰς συμπάθειαν ἤγαγον; σφόδρα ἔγωγε οἶμαι, καὶ δηλοῖ τὰ πρόσωπα, καὶ αἱ τῶν δακρύων πηγαί.

Ἐπεὶ

Ἐπεὶ ἔν γε ὑμῖν ἡ πέτρα γέγονε βαθύγειος, καὶ λιπαρὰ χώρα, φέρε δὴ καὶ καρπὸν ἐλεημοσύνης βλαστήσαντες, καὶ τὸν σάκχυν νομῶντα τῆς συμπαθείας ἐπιδειξάμενοι, φροσπέσωμεν τῷ βασιλεῖ, μᾶλλον δὲ παρακαλέσωμεν τὸν φιλάνθρωπον Θεὸν, μαλάξαι τὸν θυμὸν τοῦ βασιλέως, καὶ ἁπαλὴν αὐτοῦ ποιῆσαι τὴν καρδίαν, ὥστε ὁλόκληρον ἡμῖν δοῦναι τὴν χάριν. Καὶ ἤδη μὲν γὰρ ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἧς ἔτος κατέφυγεν ἐνταῦθα, ἠμικρὰ γέγονεν ἡ μεταβολή. Ἐπειδὴ γὰρ ὁ βασιλεὺς ἔγνω, ὅτι εἰς τὸ ἄσυλον τοῦτο χωρίον κατέδραμε, τοῦ στρατοπέδου παρόντος, καὶ παροξυνομένου ὑπὲρ τῶν αὐτῷ πεπλημμεληκότων, καὶ εἰς σφαγὴν αὐτὸν αἰτούντων, μακρὸν ἀπέτεινε λόγον, τὸν στρατιωτικὸν καταστέλλων θυμὸν, ἀξιῶν μὴ τὰ ἁμαρτήματα μόνον, ἀλλὰ καὶ εἴτι αὐτῷ γέγονε κατόρθωμα, καὶ τοῦτο λογίζεσθαι· καὶ τοῖς μὲν εἰδέναι χάριν ὁμολογῶν, ὑπὲρ δὲ τῶν ἑτέρων ἐχόντων ὡς ἀνθρώπῳ συγγινώσκων. Ὡς δὲ ἐπέκειντο πάλιν εἰς ἐκδικίαν τοῦ ὑβρισμένου βασιλέως, βοῶντες, πιδῶντες, θανάτου μεμνημένοι, καὶ τὰ δόρατα σείοντες, πηγὰς λοιπὸν ἀφεὶς δακρύων ἀπὸ τῶν ἡμερωπῶν ὀφθαλμῶν, καὶ ἀναμνήσας τῆς ἱερᾶς ἑστίας, εἰς ἣν κατέφυγον, ἔπαυε τὴν ὀργήν. Πλὴν ἀλλὰ καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν προθῶμεν. Τίνος γὰρ ἂν ἦτε συγγνώμης ἄξιοι, εἰ τοῦ βασιλέως τοῦ ὑβρισμένου μὴ μνησικακοῦντος, ὑμεῖς οἱ μηδὲν τοιοῦτον παθόντες τοσαύτην ὀργὴν ἐπιδείξησθε, πῶς δὲ τοῦ θεάτρου τότε λυθέντος, ὑμεῖς μυσηρίων ἄφεσθε, καὶ τῇ ὀργῇ ἐρεῖτε ἐκείνην, δι' ἧς κελεύομεθα λέγειν, ἄφες ἡμῖν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, τὸν ὑμῶν ὀφειλέτην ἀπαιτοῦντες δίκην; ἠδίκησε μεγάλα καὶ ὕβρισεν· οὐδὲ ἡμεῖς αὐτερῦμεν. Ἀλλ' ὁ δικαστηρίου καιρὸς νῦν, ἀλλ' ἐλέους· οὐκ ὀργῆς, ἀλλὰ φιλανθρωπίας. Οὐκ ἐξετάσεως, ἀλλὰ συγχωρήσεως· ὁ ψήφου καὶ δίκης, ἀλλὰ οἴκτου καὶ χάριτος. Μὴ τοίνυν φλεγμαινέτω τις, μηδὲ δυσχεραινέτω, ἀλλὰ μᾶλλον δεηθῶμεν τοῦ φιλανθρώπου

Θεὸς, δοῦναι αὐτῷ προθεσμίαν ζωῆς, καὶ τῆς ἀπειλημμένης ἐξαρπάσαι σφαγῆς, ὥστε αὐτὸν ἀποδύσασθαι τὰ πεπλημμεληκότα. Καὶ κοινῇ προσέλθωμεν τῷ φιλανθρώπῳ βασιλεῖ, ὑπὲρ τῆς Ἐκκλησίας, ὑπὲρ τοῦ θυσιαστηρίου, ὑπὲρ ἀνδρὸς τῇ ἁγίᾳ τραπέζῃ τῇ ἱερᾷ χαριζομένου παρακαλοῦντες. Ἂν τοῦτο ποιήσωμεν, καὶ αὐτὸς ὁ βασιλεὺς ἀποδέξεται, καὶ ὁ Θεὸς τοῦ βασιλέως ἐπαινέσεται, καὶ μεγάλων ἡμῖν τῆς φιλανθρωπίας ἀποδώσει τὴν ἀμοιβήν. Ὥσπερ γὰρ τὸν ὠμὸν καὶ ἀπάνθρωπον ἀποστρέφεται καὶ μισεῖ, οὕτω τὸν ἐλεήμονα καὶ φιλάνθρωπον προσίεται καὶ φιλεῖ. Κἂν μὲν δίκαιος ὁ τοιοῦτος ᾖ, λαμπροτέρας αὐτῷ πλέκει τοὺς στεφάνους· ἂν δὲ ἁμαρτωλὸς, παραιρεῖται τὰ ἁμαρτήματα, τῆς πρὸς τὸν ὁμόδουλον συμπαθείας ἀμοιβὴν αὐτῷ ταύτην ἀποδιδούς. Ἔλεον γάρ, φησι, θέλω, καὶ οὐ θυσίαν. Καὶ πανταχοῦ τῆς γραφῆς ὁρᾷς αὐτὸν τοῦτο ἀεὶ ἐπιζητοῦντα, καὶ ταύτην λύσιν τῶν ἁμαρτημάτων εἶναι λέγοντα. Οὕτω τοίνυν αὐτὸν καὶ ἡμεῖς ἵλεων ἐργασόμεθα, ἵνα τὰ ἡμέτερα διαλύσωμεν πλημμελήματα, ἵνα τὴν Ἐκκλησίαν κοσμήσωμεν, ἵνα καὶ βασιλεὺς ἡμᾶς ὁ φιλάνθρωπος ἐπαινέσεται, καθάπερ ἔφθην εἰπὼν, καὶ ἅπας ὁ δῆμος προτήσει, καὶ τὰ πέρατα τῆς οἰκουμένης τὸ φιλάνθρωπον, καὶ ἥμερον τῆς πόλεως θαυμάσεται· καὶ μαθόντες οἱ πανταχοῦ τῆς γῆς τὰ γενόμενα, κηρύξουσιν ἡμᾶς. Ἵνα οὖν ἀπολαύσωμεν τῶν τοσούτων ἀγαθῶν, προσπέσωμεν, παρακαλέσωμεν, δεηθῶμεν, ἐξαρπάσωμεν τὸν κινδύνου τὸν αἰχμάλωτον, τὸν φυγάδα, τὸν ἱκέτην, ἵνα καὶ αὐτοὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΠΑΥΛΟΝ.

Τί ποτέ ἐσιν ἄνθρωπος, καὶ ὅση τῆς φύσεως τῆς ἡμετέρας ἡ δύναμις, καὶ ὅσης ἐσὶ δεκτικὸν ἀρετῆς τυτὶ τὸ ζῶον, ἔδειξε μάλισα πάντων ἀνθρώπων ὁ Παῦλος. Καὶ νυῦ ἔσικεν ὃ ἔ γέγονε, λαμπρᾷ τῇ φωνῇ πρὸς ἅπαντας τὰς ἐγκαλοῦντας ἡμῶν τῇ κατασκοπῇ ἀπολογούμενος ὑπὲρ τῦ Δεσπότυ, καὶ προβέπων ἐπ' ἀρετῇ καὶ τὰ αἰσχύντα τῆς βλασφήμων ἐμφράτων σόματα, καὶ δεικνὺς ὅτι Ἀγγέλων καὶ ἀνθρώπων ὁ πολὺ τὸ μέσον, ἐὰν ἐθέλωμεν προσέχειν ἑαυτοῖς. Οὐ γὰρ ἄλλην φύσιν λαχὼν, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ' ἐν τῇ αὐτῇ γῇ καὶ χώρᾳ καὶ νόμοις καὶ ἔθεσι βαφεὶς, πάντας ἀνθρώπυς ὑπερπόντισε, τὰς δὲ ἔ γεγόνασιν ἄνθρωποι γενομένυς. Πῦ τοίνυν οἱ λέγοντες ὅτι δύσκολον ἡ ἀρετὴ, καὶ εὔκολον ἡ κακία; ἔτος γὰρ ἀντιφθέγγεται τούτοις, λέγων· τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται. Εἰ δὲ αἱ τοιαῦται θλίψεις ἐλαφραὶ, πολλῷ μᾶλλον αἱ οἴκοθεν ἡδοναί· καὶ οὐ τοῦτο μόνον ἐσὶ αὐτῦ τὸ θαυμασὸν, ὅτι περιυσία τῆς προθυμίας ὐδὲ ἠθάνετο τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, ἀλλ' ὅτι ὐδὲ ἐπὶ μισθῷ ταύτην μετῄει. Ἡμεῖς μὲν γὰρ ὐδὲ μισθῶν προκειμένων, ἀνεχόμεθα τῶν ὑπὲρ αὐτῆς ἱδρώτων· ἐκεῖνος δὲ καὶ χωρὶς τῶν ἐπάθλων αὐτὴν ἠσπάζετο καὶ ἐφίλει, καὶ τὰ δοκοῦντα αὐτῆς εἶναι κωλύματα μετὰ πάσης ὑπερήλατο τῆς εὐκολίας. Καὶ ὅπε σώματος ἀσθένειαν, ὁ φραγμάτων περίσασιν, ὁ φύσεως τυραννίδα, ὁκ ἄλλο ὁθὲν ἠτιάσατο. Καίτοι καὶ στρατηγῶν καὶ βασιλέων ἁπάντων τῶν ὄντων ἐπὶ γῆς μείζονα φροντίδα ἐγχειριθεὶς· ἀλλ' ὅμως καθ' ἑκάσην ἥμαζε τὴν ἡμέραν, καὶ τῶν κινδυνῶν ἐπιτεινομένων αὐτῷ, μεαρὰν ἐκέκτητο

τὴν προθυμίαν. Καὶ τοῦτο δηλῶν ἔλεγε· τῷ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, καὶ θανάτου προσδοκωμένου, εἰς κοινωνίαν τῆς ἡδονῆς ταύτης ἐκάλει λέγων· χαίρετε καὶ συγχαίρετέ μοι. Καὶ κινδύνων ἐπικειμένων καὶ ὕβρεων, καὶ ἀτιμίας ἁπάσης, ἐσκίρτα πάλιν, καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε· διὸ καὶ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς· καὶ ὅπλα δὲ αὐτὰ δικαιοσύνης ἐκάλεσε, δεικνὺς, ὅτι καὶ ἐντεῦθεν τὰ μέγιστα ἐκαρπᾶτο, καὶ τοῖς ἐχθροῖς πάντοθεν ἀχείρωτος ἦν. Καὶ πανταχοῦ μαστιζόμενος, ὑβριζόμενος, λοιδορούμενος, ὥσπερ ἐν θριάμβοις ἐμπομπεύων, καὶ τὰ ἑξῆς συνεχῆ πανταχοῦ γῆς ἴσας, ὅπως ἐκαλλωπίζετο, καὶ χάριν ὡμολόγει τῷ Θεῷ λέγων· χάρις τῷ Θεῷ τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς· καὶ τὴν ἀχημοσύνην καὶ τὴν ὕβριν τὴν διὰ τὸ κήρυγμα μᾶλλον, ἢ ἡμεῖς τὴν τιμήν, ἐδίωκε, καὶ τὸν θάνατον ἢ ἡμεῖς τὴν ζωὴν, καὶ τὴν πενίαν, ἢ τὸν πλοῦτον ἡμεῖς, καὶ τοὺς πόνους μᾶλλον, ἢ τὰς ἀνέσεις ἕτεροι. Καὶ οὐχ ἁπλῶς μᾶλλον, ἀλλὰ πολλῷ μᾶλλον· καὶ τὸ λυπεῖσθαι πλέον, ἢ τὸ χαίρειν ἕτεροι. Τὸ ὑπερβάλλεσθαι τῷ ἐχθρῶν μᾶλλον, ἢ τὸ καταβάλλεσθαι ἕτεροι. Καὶ ἀντέστρεφε τῷ πραγμάτων τὴν τάξιν, μᾶλλον δὲ ἡμεῖς ἀντεστρέφαμεν· ἐκεῖνος δὲ, ὥσπερ ὁ Θεὸς ἐνομοθέτησεν, ὅπως αὐτῷ ἐφύλαττε. Ταῦτα μὲν γὰρ καὶ φύσιν ἅπαντα, ἐκεῖνα δὲ, τἀναντίον. Τίς τούτων ἀπόδειξις; Παῦλος, ἄνθρωπος ὤν, καὶ τούτοις ἐπιβέχων μᾶλλον, ἢ ἐκείνοις. Ἐν τούτῳ φοβερὸν ἦν μόνον καὶ φλυκτὸν, τὸ προσκρῦσαι Θεῷ, ἕτερον δὲ οὐδέν. Ὡς περ οὖν οὐδὲ ποθεινὸν ἄλλοτι, ὡς τὸ ἀρέσαι Θεῷ· καὶ οὐ λέγω τῷ παρόντων οὐδὲν, ἀλλ' οὐδὲ τῷ μελλόντων. Μὴ γάρ μοι πόλεις εἴπῃς, καὶ ἔθνη, καὶ βασιλεῖς, καὶ στρατόπεδα, καὶ ὅπλα, καὶ χρήματα, καὶ σαφηνείας, καὶ δυναστείας, (οὐδὲ γὰρ ἀράχνιον ταῦτα εἶναι ἐνόμισεν) ἀλλ' αὐτὰ τὰ ἐν τοῖς οὐρανοῖς τίθει, καὶ τότε αὐτῷ ὄψει τὸν σφοδρὸν ἔρωτα τὸν πρὸς τὸν Χριστόν. Οὗτος γὰρ πρὸς ἐκεῖ-

νο

γο τὸ φίλτρον, ἐκ Ἀγγέλων ἀξίαν ἐθαύμασεν, οὐκ Ἀρχαγγέλων, ἐκ ἄλλο τιῦτον ὠδεύ. Τὸ γὰρ ἀπάντων μεῖζον εἶχεν ἐν ἑαυτῷ, τὴν τῦ Χριςῦ ἔρωτα, κὴ μετὰ τύτου πάντων ἑαυτὸν μακαριώτερον εἶναι ἐνόμισε· κὴ τύτου χωρὶς, ὠδὲ τῆς κυριότητων, ὠδὲ τῆς ἀρχῶν, καὶ τῆς ἐξουσιῶν γενέσθαι ἠύχετο, ἀλλὰ μὴ τῆς ἀγάπης ταύτης ἐν ἑκάτοις εἶναι ἐβέλετο μᾶλλον, κὴ τῆς κολαζομένων, ἢ ταύτης χωρὶς, τῆς ἄκρων κὴ τῆς τιμωμένων. Κόλασις γὰρ ἐκείνῳ μία, τὸ τῆς ἀγάπης ταύτης ἀποτυχεῖν. Τοῦτο αὐτῷ γέεννα, τῦτο τιμωρία, τῦτο μυρία κακά. Ὥσπερ κὴ ἀπόλαυσις, τὸ ταύτης ἐπιτυχεῖν· τῦτο ζωὴ, τῦτο κόσμος, τῦτο Ἄγγελος, τῦτο παρόντα, τῦτο μέλλοντα, τῦτο βασιλεία, τῦτο ἐπαγγελία, τῦτο τὰ μυρία ἀγαθά. Ἕτερον δὲ ὠδὸν τῆς μὴ φερόντων ἐνταῦθα, ὠδὲ λυπηρὸν, οὐδὲ ἡδὺ εἶναι ἐνόμιζεν· ἀλλ' ὅτῳ κατεφρόνει τῆς ὁρωμένων πάντων, ὡς τῆς καταπομένης βοτάνης. Τύραννοι δὲ αὐτῷ κὴ δήμοι θυμῷ πνέοντες, κώνωπες εἶναι ἐδόκων. Θανάτος δὲ αὐτῷ κὴ τιμωρίαι κὴ μυρίαι κολάσεις, παίδων ἀθύρματα· πλὴν εἴποτε διὰ τὸν Χριστὸν ὑπέμενε· τότε γὰρ κὴ ταῦτα ἠπάζετο, κὴ εἰς τὴν ἄλυσιν οὕτως ἐκαλλωπίζετο, ὡς οὐδὲ τὸ διάδημα Νέρων ἐπὶ τῆς κεφαλῆς ἔχων· καὶ τὸ δεσμωτήριον δὲ ᾤκει, ὡς αὐτὸν τὸν ὐρανόν· κὴ ξαύματα καὶ μάσιγας ἐδέχετο ἥδιον τῆς τὰ βραβεῖα ἁρπαζόντων. Καὶ τὰς πόνους ἐφίλει τῆς ἐπάθλων ὐχ ἧττον, ἔπαθλον τὰς πόνας εἶναι νομίζων. Διὰ τῦτο κὴ χάριν αὐτὰς ἐκάλει. Σκόπει δέ· ἔπαθλον λὺ, τὸ ἀναλῦσαι, κὴ σὺν Χριςῷ εἶναι, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ὁ ἀγὼν ἦτος. Ἀλλ' ὅμως τῦτο μᾶλλον αἱρεῖται ἐκείνα, κὴ ἀναγκαιότερον αὐτῷ εἶναί φησι. Τὸ ἀνάθεμα ἀπὸ Χριςῦ γενέσθαι, ἀγὼν λὺ κὴ πόνος, μᾶλλον δὲ κὴ ὑπὲρ ἀγῶνα κὴ πόνων· τὸ εἶναι μετ' αὐτῦ, ἔπαθλον. ἀλλὰ τῦτο μᾶλλον αἱρεῖται ἐκείνου διὰ τὸν Χριστόν. Ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι ταῦτα πάντα διὰ τὸν Χριςὸν ἡδέα αὐτῷ λὺ. Τῦτο γὰρ καὶ ἐγώ φημι, ὅτι ἅπερ

ἀθυμίας ἡμῖν αἴτια, ταῦτα ἐκείνῳ μεγάλῳ ἔτικτεν ἡδονῇ. Καὶ τί λέγω κινδύνους καὶ τὰς ἄλλας ταλαιπωρίας; ἡ γὰρ ἐν ἀθυμίᾳ διηνεκεῖ ἦν. Διὸ καὶ ἔλεγε· τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι· πλὴν εἰ καὶ τὴν ἀθυμίαν ἡδονὴν ἔχειν εἴποι τις ἄν. Πολλοὶ γὰρ καὶ τῶν τέκνα ἀποβαλόντων συγχωρούμενοι μὲν θρηνεῖν, παραμυθίαν λαμβάνουσι, κωλυόμενοι δὲ, ἀλγοῦσι. Καθάπερ οὖν καὶ ὁ Παῦλος, νυκτὸς καὶ ἡμέρας δακρύων παραμυθίαν ἐλάμβανεν. Οὐδεὶς γὰρ οὕτω τὰ οἰκεῖα ἐπένθησε κακὰ, ὡς τὰ ἀλλότρια ἐκεῖνος. Πῶς γὰρ οἴει διακεῖσθαι αὐτὸν Ἰουδαίων οὐ σωζομένων, τὸν, ἵνα σωθῶσιν, ἀφορισθῆναι ἐκπεσεῖν τῆς ἄνω δόξης; ὅθεν δῆλον, ὅτι τὸ μὴ σώζεσθαι αὐτοὺς, πολλῷ χαλεπώτερον ἦν. Εἰ γὰρ μὴ χαλεπώτερον, οὐκ ἂν ἤξιοῦτο ἐκεῖνο. Ὡς γὰρ κηφότερον εἵλετο, καὶ μᾶλλον ἔχον παραμυθίαν, καὶ οὐχ ἁπλῶς ἐβούλετο, ἀλλὰ καὶ ἐβόα λέγων· ὅτι λύπη μοί ἐστι, καὶ ὀδύνη τῇ καρδίᾳ μου.

Τὸν οὖν καθ' ἑκάστην, ὡς εἰπεῖν, ὑπὲρ τῶν τὴν οἰκουμένην οἰκούντων ἀλγοῦντα, καὶ ὑπὲρ ἁπάντων κοινῇ, καὶ ἐθνῶν, καὶ πόλεων, καὶ ὑπὲρ ἑνὸς ἑκάστου, τίνι ἄντι δυνηθείη παραβαλεῖν; ποίῳ σιδήρῳ, ποίῳ ἀδάμαντι, τί ἄν τις ἐκείνην καλέσειεν τὴν ψυχήν; χρυσῷ; ἢ ἀδαμαντίνην; καὶ γὰρ ἀδάμαντος μὲν παντὸς στερροτέρα, καὶ χρυσοῦ καὶ λίθων τιμίων τιμιωτέρα. Καὶ ἐκείνης μὲν ἓν τῆς ὕλης τὴν δύτονίαν παρελάσει, ταύτης δὲ τὴν πολυτέλειαν. Τίνι ἂν οὖν τις αὐτὴν παραβάλοι; τῶν μὲν ὄντων ἐδεμιᾷ. Εἰ δὲ χρυσὸς ἀδάμας γένοιτο, καὶ ἀδάμας χρυσὸς, τότε ὁπωσοῦν αὐτῆς τεύξεται τῆς εἰκόνος. Ἀλλὰ τί μοι παραβάλλειν ἀδάμαντι καὶ χρυσῷ; τὸν κόσμον ἀντίδες ἅπαντα, καὶ τότε ὄψει καθέλκουσαν τὸ Παύλου τὴν ψυχήν. Εἰ δὲ περὶ τῶν ἐν μηλωταῖς, καὶ σπηλαίοις, καὶ ἐν μικρῷ μέρει τῆς οἰκουμένης διαφερόντων τοῦτό φησιν ἐκεῖνος, πολλῷ μᾶλλον περὶ αὐτοῦ ἂν εἴποιμεν ἡμεῖς, ὡς ὅτι πάντων ἀντά-

τάξιον ἦν. Εἰ τοίνυν ὁ κόσμος αὐτοῦ οὐκ ἄξιος, τίς ἄξιος; τάχα ὁ οὐρανός; ἀλλὰ κἂν οὗτος μικρόν. Εἰ γὰρ αὐτὸν ἐρανᾷ μετὰ τῆς ἐν τοῖς οὐρανοῖς προετίμησε τοῦ Δεσπότου τὴν ἀγάπην, πολλῷ μᾶλλον ὁ Δεσπότης, ὁ τοσοῦτον αὐτῆς ἀγαθώτερος, ὅσον πονηρίας ἀγαθότης, μυρίων αὐτὸν ἐρανῶν προτιμήσει. Οὐ γὰρ ὁμοίως ἡμᾶς φιλεῖ, καθάπερ ἡμεῖς αὐτὸν, ἀλλὰ τοσοῦτον πλέον, ὅσον ἐδὲ λόγῳ παρασῆσαι σὺν. Σκόπει γοῦν ἡλίκων αὐτὸν καὶ πρὸ τῆς μελλούσης ἠξίωσεν ἀπαλλάσεως. Εἰς παράδεισον ἥρπασεν, εἰς τρίτον ἀνήγαγεν οὐρανὸν, ἀπορρήτων ἐκοίνωσε κοινωνὸν τοιούτων, ἃ μηδενὶ τῆς τὴν ἀνθρωπίνην λαχόντων φύσιν θέμις εἰπεῖν· καὶ μάλα εἰκότως. Καὶ γὰρ ἐν γῇ βαδίζων, ὡς μετὰ Ἀγγέλων περιπολῶν, ὅπως ἅπαντα, καὶ σώματι παθητῷ συνδεδεμένος, τὴν ἐκείνων καθαρότητα ἐπεδείκνυτο. Καὶ ἀνάγκαις τοσαύταις ὑποκείμενος, ἐφιλονείκει τῶν ἄνω Δυνάμεων μηδὲν ἔλαττον φαίνειν· καὶ γὰρ ὡς πτηνὸς τὴν οἰκουμένην διέδραμε, καὶ ὡς ἀσώματος, πόνων ὑπερέωρα καὶ κινδύνων. Καὶ ὡς τὸν οὐρανὸν ἤδη λαχὼν, κατεφρόνει τῶν ἐπὶ γῆς, καὶ ὡς μετ' αὐτῶν ἀναστρεφόμενος τῆς ἀσωμάτων Δυνάμεως, ὅπως διηνεκῶς ἐγρηγορὼς ἦν. Καί τοι γε Ἄγγελοι πολλάκις ἐνεχειρίθησαν ἔθνη διάφορα· ἀλλ' οὐδὲ εἷς αὐτῶν τὸ ἔθνος, ὃ ἐνεπιστεύθη, ὅπως φυλάξειεν, ὡς Παῦλος τὴν οἰκουμένην ἅπασαν. Καὶ μή μοι λέγε, ὅτι Παῦλος οὐκ ἦν ὁ ταῦτα οἰκονομῶν· καὶ γὰρ καὶ αὐτὸς ὁμολογῶ. Εἰ γὰρ καὶ μὴ αὐτὸς ἦν ὁ ταῦτα αὐξων, ἀλλ' οὐδὲ οὕτως ἐκτὸς ἦν τῶν ἐπὶ τούτοις ἐπαίνων· ἐπειδὴ ἑαυτὸν ὅπως κατεσκεύασεν ἄξιον τῆς τοσαύτης χάριτος. Ὁ Μιχαὴλ τὸ τῶν Ἰουδαίων ἔθνος ἐνεχειρίθη. Παῦλος δὲ γῆν, καὶ θάλατταν, καὶ τὴν οἰκουμένην, καὶ τὸν ἀοίκητον. Καὶ ταῦτα οὐκ Ἀγγέλους ὑβρίζων λέγω, μὴ γένοιτο, ἀλλὰ δεικνὺς, ὅτι δυνατὸν ἄνθρωπον ὄντα μετ' ἐκείνων εἶναι, καὶ ἐγγὺς αὐτῶν ἱσάναι. Καὶ τίνος εἵνεκεν δὴ Ἄγγελοι ταῦτα ἐνεχειρίθησαν; ἵνα μηδεμίαν ἀπολογίαν ἔχῃς ῥᾳθυμῶν, μηδὲ

εἰς

εἰς τὴν διαφορὰν τῆς φύσεως καταφεύγης καθεύδων. Ἄλλως δὲ καὶ τὸ θαῦμα μεῖζον ἐγίνετο. Πῶς γὰρ ἐ θαυμαστὸν καὶ παράδοξον, ἀπὸ γλώττης πηλίνης ἐκπηδῶντα λόγον, θανάτου φυγαδεύειν, ἁμαρτήματα λύειν, πεπρωμένην διορθοῦν φύσιν, καὶ τὴν γῆν ἐργάζεσθαι οὐρανόν; Διὰ τοῦτο ἐκπλήττομαι τοῦ Θεοῦ τὴν δύναμιν, διὰ ταῦτα θαυμάζω τοῦ Παύλου τὴν προθυμίαν, ὅτι τοσαύτην ὑπεδέξατο χάριν, ὅτι τοιοῦτον παρεσκεύασεν ἑαυτόν. Καὶ ὑμᾶς παρακαλῶ μὴ θαυμάζειν μόνον, ἀλλὰ καὶ μιμεῖσθαι τὸ ἀρχέτυπον τοῦτο τῆς ἀρετῆς· ἕπω δὲ δυνησόμεθα τῆς αὐτῆς σεφανῶν κοινωνῆσαι ἐκείνῳ. Εἰ δὲ θαυμάζεις ἀκούων, ὅτι τὰ αὐτὰ κατορθώσας, τῆς αὐτῆς ἐπιτεύξη, ἄκουσον αὐτοῦ ταῦτα λέγοντος· τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης σέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Ὁρᾷς πῶς πάντας εἰς τὴν αὐτὴν κοινωνίαν καλεῖ; Ἐπεὶ ἐν ἅπασι κρόκειται τὰ αὐτὰ, πάντες σπεύδωμεν ἄξιοι γενέσθαι τῆς ἐπηγγελμένων ἀγαθῶν. Καὶ μὴ μόνον τὸ μέγεθος καὶ τὸν ὄγκον τῆς κατορθωμένων ἴδωμεν, ἀλλὰ καὶ τὸν τόνον τῆς προθυμίας, δι' ἧς τοσαύτην ἐπεσπάσατο χάριν, καὶ τὸ τῆς φύσεως συγγενὲς (τῶν γὰρ αὐτῆς ἡμῖν ἐκοινώνησεν ἁπάντων) καὶ ἕπω καὶ τὰ σφόδρα δυσκατόρθωτα, ῥᾴδια ἡμῖν φανεῖται καὶ κοῦφα. Καὶ τὸν βραχὺν τοῦτον καμόντες χρόνον, τὸν ἀγῆρω καὶ ἀθάνατον ἐκεῖνον στέφανον φορέσομεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΓ-

ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΠΑΝΤΑΣ

Τοὺς ἐν ὅλῳ τῷ Κόσμῳ μαρτυρήσαντας.

Ἐξ ἧς τὴν ἱερὰν πανήγυριν τῆς Πεντηκοστῆς ἐπετελέσαμεν, ἔπω παρῆλθεν ἡμερῶν ἑπτὰ ἀριθμὸς, καὶ πάλιν κατέλαβεν ἡμᾶς Μαρτύρων Χορὸς, μᾶλλον δὲ Μαρτύρων παρεμβολὴ, καὶ παράταξις, τῆς παρεμβολῆς τῆς Ἀγγέλων, ὧν ὁ παξιάρχης εἶδεν Ἰακὼβ, κατ' ὀδὸν ὄσα χείρων, ἀλλ' ἐφάμιλλος αὐτοῖς καὶ ἴσα. Μάρτυρες γὰρ καὶ Ἄγγελοι τοῖς ὀνόμασι διεσήκασι μόνον, τοῖς δὲ ἔργοις συνάπτονται. Τὸν οὐρανὸν οἰκοῦσιν Ἄγγελοι, ἀλλὰ καὶ οἱ Μάρτυρες· ἀγήρατοι καὶ ἀθάνατοί εἰσιν ἐκεῖνοι, τοῦτο καὶ οἱ Μάρτυρες ἔξουσιν· ἀλλὰ καὶ ἀσώματον ἔλαχον ἐκεῖνοι φύσιν. Τί τοῦτο; οἱ γὰρ Μάρτυρες εἰ καὶ σῶμα περίκεινται, ἀλλ' ἀθάνατον, μᾶλλον δὲ πρὸ τῆς ἀθανασίας ὁ τοῦ Χριστοῦ θανάτος τῆς ἀθανασίας μᾶλλον, καὶ ὅπω τῇ ἀθανασίᾳ αὐτοῖς καλλωπίζει τὸ σῶμα. Οὐχ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ χορῷ τῶν ἄστρων κοσμούμενος, ὡς τὰ σώματα τῶν Μαρτύρων λαμπρῷ τῷ χορῷ τῶν θαυμάτων κοσμούμενα. Ὥστε ἐπειδὴ ἀπέθανον, διὰ τοῦτο μάλιστα πλεονεκτοῦσι, καὶ πρὸς τῆς ἀθανασίας ἔλαβον τὰ βραβεῖα, ἀπὸ τοῦ θανάτου στεφανωθέντες. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Περὶ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων φησὶν ὁ Δαβίδ. Ἀλλὰ καὶ τὸ βραχὺ τοῦτο παραγενόμενος ὁ Χριστὸς ἀπέδωκε, θανάτῳ θάνατον καταδικάσας. Ἐγὼ δὲ οὐκ ἐντεῦθεν διϊσχυρίζομαι, ἀλλ' ὅτι καὶ τὸ ἐλάττωμα τοῦτο τοῦ θανάτου πλεονέκτημα γέγονεν. Εἰ γὰρ μὴ εἶεν θνητοὶ, οὐκ ἂν ἐγένοντο

νοντο Μάρτυρες· ὥστε εἰ μὴ θανατος ἰῶ, οὐδὲ στέφανος ἰῶ. Εἰ μὴ τελευτὴ ἰῶ, οὐκ ἰῶ μαρτύριον· εἰ μὴ θανάτος ἰῶ, οὐκ ἠδυνατο Παῦλος λέγειν· καθ' ἡμέραν ἀποθνήσκω νὴ τὴν ὑμετέραν καύχησιν, ἰῶ ἔχω ἐν Χριστῷ Ἰησοῦ· εἰ μὴ θανάτος καὶ φθορὰ ἦν, οὐκ ἠδυνατο λέγειν ὁ αὐτὸς, χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου· ὥστε μὴ ἀλγῶμαι, ὅτι ἐγενόμεθα θνητοὶ, ἀλλ' εὐχαριστῶμεν, ὅτι ἀπὸ τοῦ θανάτου ἀνεῴχθη ἡμῖν τὸ στάδιον τοῦ μαρτυρίου. Ἀπὸ τῆς φθορᾶς ἐλάβομεν ὑπόθεσιν τῶν βραβείων. Ἐντεῦθεν ἔχομεν ἀφορμὴν τῶν παλαισμάτων. Ὁρᾷς σοφίαν Θεοῦ; πῶς τὸ μέγιστον τῶν κακῶν, τὸ κεφάλαιον τῆς ἡμετέρας συμφορᾶς, ὅπερ εἰσήγαγεν ὁ διάβολος, τὸν θάνατον λέγω, τοῦτον εἰς τιμὴν καὶ δόξαν ἡμετέραν μετέβαλε, διὰ τούτου τοῦ μαρτυρίου βραβεῖα τοὺς ἀθλητὰς ἄγων; Τί οὖν; εὐχαριστήσομεν τῷ διαβόλῳ διὰ τὸν θάνατον; μὴ γένοιτο. ἀ γὰρ τῆς ἐκείνου γνώμης τὸ κατόρθωμα, ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας τὸ χάρισμα· ἐκεῖνος εἰσήγαγεν, ἵνα ἀπολέσῃ, καὶ πρὸς τὴν γῆν ἐπαναγαγὼν πᾶσαν ἐκκόψῃ σωτηρίας ἐλπίδα. Ὁ Χριστὸς δὲ αὐτὸ λαβὼν μετέστρεψε, καὶ εἰς τὸν οὐρανὸν ἡμᾶς δι' αὐτοῦ πάλιν εἰσήγαγε. Μηδεὶς οὖν ὑμῶν καταγινωσκέτω, εἰ χορὸν καὶ παράταξιν ἐκάλεσα τῶν Μαρτύρων τὸ πλήρωμα, δύο ἐναντία ὀνόματα ἐπὶ πράγματι τιθεὶς· χορὸς γὰρ καὶ παράταξις ἐναντία· ἀλλ' ἐνταῦθα συνῆλθον ἀμφότερα. Καὶ γὰρ ὥσπερ χορεύοντες ἐπὶ τὰς βασάνους ἦσαν μετ' ἡδονῆς· καὶ ὥσπερ πολεμοῦντες ἀνδρείαν πᾶσαν καὶ καρτερίαν ἐπεδείξαντο, καὶ τῶν ἐναντίων ἐκράτησαν. Ἂν μὲν τῶν γινομένων τὴν φύσιν ἴδῃς, μάχη καὶ πόλεμος καὶ παράταξις τὰ γινόμενα· ἂν δὲ τὴν γνώμην τῶν γινομένων ἐξετάσῃς, χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις, καὶ μετὰ ἡδονῆς τὰ τελούμενα.

Βούλει μαθεῖν ὡς πολέμου πάντα φορτικώτερα, τὰ τῶν Μαρτύρων λέγω; τί ποτέ ἐστιν ἐν τῷ πολέμῳ τὸ φο-

φρικτόν; στρατόπεδα ἔστηκεν ἑκατέρωθεν περιπεφραγμένα, ἀπολάμποντα τοῖς ὅπλοις, καὶ τὴν γῆν καταυγάζοντα, νέφη βελῶν ἀφίεται πανταχόθεν ἀποκρύπτοντα τὸν ἀέρα τῷ πλήθει, ῥύακες αἱμάτων ἐπὶ τῆς γῆς φέρονται, καὶ πολλὰ πανταχοῦ τὰ πτώματα, καθάπερ ἐν ἀμητῷ ἀσταχύων, ὅπου τῷ στρατιωτῷ ὑπ' ἀλλήλων καταφερομένων. Φέρε δή σε ἀπ' ἐκείνων ἐπὶ ταύτην ἀγάγω τὴν μάχην· καὶ ἐνταῦθα δύο παρατάξεις, ἡ μὲν τῶν Μαρτύρων, ἡ δὲ τῶν τυράννων. Ἀλλ' οἱ μὲν τύραννοι εἰσι καθωπλισμένοι, οἱ δὲ Μάρτυρες γυμνῷ τῷ σώματι μάχονται· καὶ ἡ νίκη τῶν γυμνῶν, οὐ τῶν καθωπλισμένων γίνεται. Τίς ἂν οὖν ἐκπλαγείη, ὅτι ὁ μαστιζόμενος περιγίνεται τοῦ μαστίζοντος, ὁ δεδεμένος τοῦ λελυμένου, ὁ καπαιόμενος τοῦ καίοντος, ὁ ἀποθνήσκων τοῦ αἱροῦντος; Εἶδες πῶς ταῦτα ἐκείνων φρικωδέστερα; ἐκεῖνα μὲν οὖν καὶ φοβερά, ἀλλὰ κατὰ φύσιν γίνεται· ταῦτα δὲ πᾶσαν ὑπερβαίνει φύσιν, καὶ πᾶσαν φραγμάτων ἀπολουθίαν, ἵνα μάθῃς ὅτι τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὰ κατορθούμενα. Καίτοι τί τῆς μάχης ταύτης ἀδικώτερον; τί τῶν παλαισμάτων παρανομώτερον; ἐν μὲν γὰρ τοῖς πολέμοις ἀμφότεροι φράττονται οἱ μαχόμενοι· ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ὁ μὲν γυμνός, ὁ δὲ καθώπλισται. Ἐν τοῖς ἀγῶσι πάλιν, ἀμφοτέροις ἔξεστι τὰς χεῖρας αἰταίρειν. Ἐνταῦθα δὲ ὁ μὲν δέδεται, ὁ δὲ μετ' ἐξουσίας ἐπάγει τὰς πληγάς. Καὶ καθάπερ ἐκ τυραννίδος τινὸς, ἑαυτοῖς μὲν τὸ κακῶς ποιεῖν ἀποκληρώσαντες οἱ δικάζοντες, τοῖς δικαίοις δὲ Μάρτυσι τὸ πάσχειν κακῶς ἀπονείμαντες, ὅπως συμπλέκονται τοῖς Ἁγίοις, καὶ οὐδὲ ὅπως αὐτῶν περιγίνονται· ἀλλὰ μετὰ τὴν αὐτόματον ταύτην μάχην ἡττηθέντες ἀναχωροῦσι· καὶ ταὐτὸν γίνεται, οἷον αἴ τις πολεμιστὴν ἄνθρωπον εἰς πόλεμον εἰσαγαγὼν, καὶ τὸ δόρατος τὴν αἰχμὴν ἀποκόψας, καὶ τὸν θώρακα ἀποδύσας, ὅπως κελεύῃ γυμνῷ τῷ σώματι μάχεσθαι· ὁ δὲ πλησσόμενος, καὶ παιόμενος, καὶ μυρία δεχόμενος τραύματα, τρόπαιον στήσειε·

καὶ

καὶ τὰς Μάρτυρας γυμνὰς ἄγοντες, καὶ τὰς χεῖρας ὀπίσω δήσαντες, καὶ πανταχόθεν παίοντες, ἕπως ἠτιῶντο· οἱ δὲ τὰ βάσανα δεχόμενοι, τὸ καὶ τὸ διαβόλου βόπαιον ἔσησαν. Καὶ καθάπερ ἀδάμας πληττόμενος, αὐτὸς μὲν οὐκ ἐνδίδωσιν, οὐδὲ μαλάσσεται, τὸν δὲ παίοντα διαλύει σίδηρον, ἕτω δὴ καὶ αἱ ψυχαὶ τῶν Ἁγίων, τοσούτων ἐπαγομένων βασάνων, αὐταὶ μὲν οὐδὲν ἔπαθον δεινὸν, τοὺς δὲ παίοντων τὴν δύναμιν καταλύσασι, αἰσχρῶς καὶ καταγελάστως ἡττηθέντας ἐκ τῶν ἀγώνων ἐξέπεμπον μετὰ πολλῆς καὶ ἀφορήτου πληγῆς. Καὶ δὴ προσέδησαν αὐτὰς τῷ ξύλῳ, καὶ τὰς πλευρὰς διώρυττον, ἐμβαθύνοντες αὔλακας, καθάπερ οἱ γῆν ἀροῦντες, ἀλλ' οὐ σώματα σχίζοντες. Καὶ ἦν ἰδεῖν λαγόνας ἀναπεπταμένας, πλευρὰ ἀνεῳγότα, σπήθη διερρηγμένα· καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἔσησαν οἱ αἱμοβόροι θῆρες ἐκεῖνοι, ἀλλὰ ἀπὸ τοῦ ξύλου καθελόντες, ἐπὶ τοὺς ἀνθράκων ἐπὶ σιδηρᾶς κλίμακος ἔτεινον. Καὶ ἦν ἰδεῖν πάλιν πικρότερα τῶν προτέρων θεάματα, διπλᾶς καταφερομένας σταγόνας ἐκ τῶν σωμάτων, τὰς μὲν τοῦ αἵματος ῥέοντος, τὰς δὲ τῶν σαρκῶν πηκομένων· οἱ δὲ Ἅγιοι καθάπερ ἐπὶ ῥόδων κείμενοι τοὺς ἀνθράκων, ἕπω μετ' ἡδονῆς τὰ γινόμενα ἐθεώρων. Σὺ δὲ ἀκούσας κλίμακα σιδηρᾶν, ἀνάμνησθητι κλίμακος νοητῆς, ἣν εἶδεν ὁ Πατριάρχης Ἰακὼβ ἀπὸ γῆς εἰς οὐρανὸν τεταμένην. Δι' ἐκείνης κατέβαινον Ἄγγελοι, διὰ ταύτης δὲ ἀναβαίνουσι Μάρτυρες· ἑκατέρα δὲ ὁ Κύριος ἐπεστήριπτο. Οὐκ ἂν ἔλεγκαν τὰς ὀδύνας οἱ Ἅγιοι ἔτοι, εἰ μὴ ταύτην ἐπηρείδοντο. Ἀλλὰ δι' ἐκείνης μὲν ἀναβαίνουσι, καὶ καταβαίνουσιν Ἄγγελοι, διὰ ταύτης δὲ ὅτι ἀναβαίνουσι καὶ Μάρτυρες παντάπασι δῆλον. Τί δήποτε; ὅτι ἐκεῖνοι μὲν πρὸς διακονίαν ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· οὗτοι δὲ καθάπερ ἀθληταὶ καὶ στεφανῖται, ἀπαλλαγέντες τῶν ἀγώνων, ἀπῆλθον λοιπὸν πρὸς τὸν ἀγωνοθέτην. Ἀλλὰ δὴ μὴ ἁπλῶς ἀκούωμεν τὰ λεγόμενα, ἀκούοντες, ὅτι ἄνθρακες ὑπέκειντο κατα-

ξαν-

ξανθεῖσι τοῖς σώμασιν· ἀλλ' ἐννοήσωμεν τίνες ἐσμὲν, πυρεπῦ κατασκήψαντος· ἀβίωτον εἶναι νομίζομεν τὸν βίον, ἀλύομεν, δυσαναχετῶμεν, καθάπερ παιδία μικρὰ δυχεραίνομεν, τῆς γεενύης ὠδὺ ἔλαττον νομίζοντες τὸ πῦρ. Οὗτοι δὲ ὁ πυρετὸς ἐπικειμένε, ἀλλὰ φλογὸς παντοθεν αὐτὸς πολιορκήσης, καὶ τῷ σιιθήρων τοῖς ἕλκεσιν ἐπιπηδώντων, καὶ θηρίε παντὸς δριμύτερον δακνόντων τὰ ξαύματα, καθάπερ ἀδαμαντίνοί τινες, καὶ ἐν ἀλλοτρίοις ὁρῶντες ταῦτα γινόμενα σώμασιν, ὅπω γενναίως καὶ μετὰ φροσηκήσης αὐτοῖς ὠδρίας ἐπὶ τῷ τῆς ὁμολογίας εἰσήκειαν ῥημάτων, ἀπερίῤῥεπτοι διὰ παντὸν τῷ δεινῶν μενόντε, καὶ τὴν ἑαυτῷ ὠδρίαν καὶ τιὼ τὸ Θεοῦ χάριν λαμπρῶς ἐπιδεικνύμενοι. Εἴδετε πολλάκις ὑπὸ τὴν ἕω τὸν ἥλιον ἀνίσχοντα, καὶ προκοειδεῖς ἀφισύτα ἀκτῖνας; τοιαῦτα ἦν τῷ Ἁγίων τὰ σώματα, ὥσπερ τινῶν ἀκτίνων προκοειδῶν, τῷ ῥυάκων τὸ αἵματος πανταχόθεν αὐτὸς περιῤῥεόντων, καὶ τὸ σῶμα αὐτῷ καταυγαζόντων πολλῷ μᾶλλον, ἢ τὸν ἡρανὸν ἥλιος. Τοῦτο τὸ αἷμα Ἄγγελοι μὲν ὁρῶντες ἐτέρποντο, δαίμονες ἔφριττον, καὶ αὐτὸς δὲ ὁ διάβολος ἔῤῥεμεν. Οὐ γὰρ αἷμα ἦν ἁπλῶς τὸ ὁρώμενον, ἀλλ' αἷμα σωτήριον, αἷμα ἅγιον, αἷμα τῷ ἡρανῶν ἄξιον, αἷμα διϊνεκῶς τὰ καλὰ τῆς Ἐκκλησίας ἄρδον φυτά. Εἶδε τὸ αἷμα, καὶ ἔφριξεν ὁ διάβολος· ἀνεμνήσθη γὰρ ἑτέρου αἵματος δεσποτικοῦ· δι' ἐκεῖνο τὸ αἷμα τοῦτο ἐῤῥύσεν. Ἐξ οὗ γὰρ ἐνύγη ἡ πλευρὰ τοῦ Δεσπότε, μυρίας ὁρᾷς λοιπὸν πλευρὰς νυττομένας. Τίς γὰρ ἂ μεθ' ἡδονῆς ἀποδύσαιτο πολλῆς φροὸς τὰς ἀγῶνας τούτες, μέλλων κοινωνεῖν Δεσποτικῶν Παθημάτων, καὶ συμμορφᾶσθαι τῷ θανάτῳ Χριστοῦ, ἀρκοῦσα γὰρ αὕτη ἡ ἀντίδοσις, καὶ πλειόν ἡ τιμὴ, καὶ ὑπερβαίνουσα τὰς ἆθλας ἡ ἀμοιβὴ, καὶ φροὸ τῆς βασιλείας τῷ οὐρανῶν. Μὴ τοίνυν φείττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα ἐμαρτύρησεν, ἀλλὰ φείττωμεν ἀκόντες, ὅτι ὁ δεῖνα κατεμαλακίσθη, καὶ ἔπεσε, τοιούτων φροκειμένων ἐπάθλων.

Εἰ

Εἰ δὲ βέλει καὶ τῷ μὴ ταῦτα ἀκοῦσαι, λόγος μὲν οὐδεὶς παρασῆσαι δυνάται. Οὔτε γὰρ ὀφθαλμὸς εἶδέ φησιν, οὔτε ἐς ἦκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Οὐδεὶς δὲ ἀνθρώπων ὅπως αὐτὸν ἠγάπησεν ὡς οἱ Μάρτυρες. Οὐ μὴν ἐπειδὴ καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει τῷ ἀποκειμένων ἀγαθῶν τὸ μέγεθος, διὰ τοῦτο σιγήσομεν, ἀλλ' ὡς οἷόν τε καὶ εἰπεῖν ἡμῖν καὶ ἀκοῦσαι, πειρασόμεθα ὑμῖν ἀμυδρῶς ἐνδείξασθαι τὴν ἐκεῖ διαδεξαμένων αὐτὸς Μακαριότητα. Σαφῶς γὰρ αὐτοὶ μόνοι εἴσονται οἱ διὰ τῆς πείρας ταύτης ἀπολαύοντες. Τὰ μὲν γὰρ δεινὰ ταῦτα καὶ ἀφόρητα ἐν βραχείᾳ καιρῷ ροπῇ πάσχουσιν οἱ Μάρτυρες· μετὰ δὲ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εἰς οὐρανὸς ἀναβαίνουσιν, Ἀγγέλων αὐτοῖς προηγουμένων, καὶ Ἀρχαγγέλων δορυφορούντων· οὐ γὰρ αἰσχύνονται τοὺς συνδούλους, ἀλλὰ πάντα ἂν ἕλοιντο δι' αὐτοὺς ποιῆσαι· ἐπειδὴ ἐκεῖνοι, πάντα εἵλοντο παθεῖν διὰ τὸν αὐτῶν δεσπότην Χριστόν. Ἐπειδὰν δὲ ἀναβῶσιν εἰς τὸν οὐρανὸν, πᾶσαι ἐκεῖναι αἱ ἅγιαι Δυνάμεις συνδέχονται. Εἰ γὰρ ἀθλητῶν ξένων ἐπιδημούντων τῇ πόλει, πᾶς ὁ δῆμος περιῤῥεῖ πανταχόθεν, καὶ κυκλώσαντες αὐτοὺς καταμανθάνουσι τῶν μελῶν τὴν διάταξιν· πολλῷ μᾶλλον τῶν ἀθλητῶν τῆς εὐσεβείας εἰς οὐρανοὺς ἀναβαίνων, συνδέχονται οἱ Ἄγγελοι, καὶ πᾶσαι αἱ ἄνω Δυνάμεις πάντοθεν περιῤῥέουσι, καταμανθάνουσαι τῶν τραυμάτων. Καὶ καθάπερ τινας ἀριστέας ἐκ πολέμου καὶ μάχης ἐπανελθόντας μετὰ πολλὰ τρόπαια καὶ νίκας, οὕτω μετ' ἡδονῆς δέχονται πάντας αὐτοὺς, καὶ ἀσπάζονται. Εἶτα ἄγουσιν αὐτοὺς μετὰ πολλῆς δορυφορίας πρὸς τὸν τῶν οὐρανῶν Βασιλέα ἐπὶ τὸν θρόνον ἐκεῖνον τὸν πολλῆς δόξης γέμοντα, ἔνθα τὰ Χερουβὶμ, καὶ τὰ Σεραφίμ. Ἐλθόντες δὲ ἐκεῖ, καὶ προσκυνήσαντες τὸν ἐπὶ θρόνου καθήμενον, πλείονος παρὰ τοῦ Δεσπότου μᾶλλον, ἢ παρὰ τῶν ὁμοδούλων ἀπολαύουσι φιλοφροσύνης. Οὐ γὰρ ὡς δούλους αὐτοὺς δέχεται, καίτοι

τοῦτο

τῶτο μεγίστη τιμὴ, καὶ ἧς ἴσον ὐκ ἔστιν εὑρεῖν, ἀλλ' ὡς φίλως αὐτῦ· ὑμεῖς γάρ φησι φίλοι μυ ἐστέ. Καὶ μάλα εἰκότως· αὐτὸς γὰρ εἶπε πάλιν, μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτῦ. Ἐπειδὴ οὖν τὴν μεγίστην ἀγάπην ἐπεδείξαντο, δέξιῦται τύτυς, καὶ ἀπολαύυσι τῆς δόξης ἐκείνης, κοινωνῦσι τῶν χορῶν, καὶ μετέχυσι τῶν μελῶν τῶν μυστικῶν. Εἰ γὰρ ἐν σώματι ὄντες κατὰ τὴν τῶν μυστηρίων κοινωνίαν εἰς ἐκεῖνον ἐτέλουν τὸν χορὸν μετὰ τῶν Χερυβὶμ τὸν ἐπινίκιον ὕμνον ᾄδοντες, καθάπερ ὑμεῖς ἴστε οἱ μυηθέντες, πολλῷ μᾶλλον νυῦ τὰς συγχορδύτας ἀπολαβόντες μετὰ πολλῆς τῆς παῤῥησίας κοινωνῦσι τῆς δόξης ἐκείνης. Ἆρα ὐκ ἐφείττετε πρὸ τύτυ τὸ μαρτύριον; ἆρα ὐκ ἐπιθυμεῖτε νυῖ τῦ μαρτυρίυ; ἆρα ὐκ ἀλγεῖτε νυῖ, ὅτι ὐ πάρεστι καιρὸς μαρτυρίυ; ἀλλὰ καὶ γυμναζώμεθα εἰς καιρὸν μαρτυρίυ. Κατεφρόνησεν ἐκεῖνοι ζωῆς; καταφρόνησον σὺ δυφῆς. Ἔῤῥιψαν ἐκεῖνοι τὰ σώματα πυρί; ῥῖψον σὺ χρήματα νυῖ ἐν ταῖς χερσὶ τῶν πενήτων. Κατεπάτησαν ἐκεῖνοι τὺς ἄνθρακας; σβέσον σὺ τῆς ἐπιθυμίας τὴν φλόγα. Φορτικὰ ταῦτα; ἀλλὰ ὐ ἐπικερδῆ. Μὴ τὰ παρόντα ὅρα ἐπαχθῆ, ἀλλὰ τὰ μέλλοντα χρησά· μὴ τὰ ἐν χερσὶ δεινὰ, ἀλλὰ τὰ ἐν ἐλπίσιν ἀγαθά. Μὴ τὰ παθήματα, ἀλλὰ τὰ βραβεῖα· μὴ τὺς πόνυς, ἀλλὰ τὺς στεφάνυς· μὴ τὺς ἱδρῶτας, ἀλλὰ τὰς ἀμοιβάς· μὴ τὰς ἀλγηδόνας, ἀλλὰ τὰς ἀντιθέσεις· μὴ τὸ καιόμενον πῦρ, ἀλλὰ τὴν προκειμένην βασιλείαν· μὴ τὺς περιεστῶτας δημίυς, ἀλλὰ τὸν στεφανῦντα Χριστόν. Αὕτη μεγίστη μέθοδος καὶ ὐκολωτάτη πρὸς ἀρετὴν ὁδὸς, μὴ τὺς πόνους μόνον ὁρᾶν, ἀλλὰ καὶ τὰ ἔπαθλα μετὰ τῶν πόνων· ἀλλ' ὐκ αὐτὰ καθ' ἑαυτὰ μόνον. Ὅταν οὖν μέλλῃς ἐλεημοσύνην διδόναι, μὴ πρόσεχε τῇ δαπάνῃ τῶν χρημάτων, ἀλλὰ τῇ συλλογῇ τῆς δικαιοσύνης. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τοῦ

αἰῶνος· μὴ βλέπε τὸν κενέμενον πλοῦτον, ἀλλὰ τὸν αὐξανόμενον θησαυρόν. Ἂν νησεύσῃ, μὴ τῷ πάκωσιν τῷ ἀπὸ τῆς νηστείας λογίζε, ἀλλὰ τῷ ἄνεσιν τῷ ἀπὸ τῆς κακώσεως. Ἂν ἀγρυπνήσῃς δ' ὅχόμενος, μὴ τῷ ταλαιπωρίαν τῷ ἀπὸ τῆς ἀγρυπνίας, ἀλλὰ τῷ παῤῥησίαν τῷ ἀπὸ τῆς δ' χῆς νόει. Οὕτω καὶ στρατιῶται ποιοῦσιν, οὐ τὰ ξαύματα, ἀλλὰ τὰς ἀμοιβὰς βλέπουσιν· οὐ τὰς σφαγὰς, ἀλλὰ τὰς νίκας· οὐ τοὺς πίπτοντας νεκροὺς, ἀλλὰ τοὺς στεφανουμένους ἀνδρείας. Οὕτω κ' κυβερνῆται πρὸ τ' κυμάτων τοὺς λιμένας ὁρῶσι, πρὸ τ' ναυαγίων τὰς ἐμπορίας, πρὸ τ' ἐν θαλάσσῃ δεινῶν, τὰ μετὰ θάλασσαν ἀγαθά. Οὕτω καὶ σὺ ποίησον· ἐννόησον ὡς λίκνον ἐστὶν ἐν νυκτὶ βαθείᾳ τ' ἀνθρώπων καθευδόντων ἁπάντων καὶ θηρίων κ' πτηνῶν, βαθυτάτης ἡσυχίας ὔσης, μόνον σε ἐγερθέντα παῤῥησίᾳ διαλέγεσθαι τ' κοινῷ πάντων Δεσπότῃ. Γλυκὺς ὁ ὕπνος, ἀλλ' ὁδε γλυκύτερον προσδ' χῆς. Ἂν κατ' ἰδίαν αὐτ' διαλεχθῇς, πολλὰ ἀνύσαι δυνήσῃ, μηδενὸς ἐνοχλοῦντός σε, μηδὲ ἐκκρέοντός σε τῆς δεήσεως· ἔχεις καὶ τὸν καιρὸν σύμμαχον πρὸς τὸ ἐπιτυχεῖν ὧν θέλεις. Ἀλλὰ περιστρέφῃ κείμενος ἐπὶ μαλακῆς στρωμνῆς, καὶ οἰκείας διανστῶαι; ἐννόησον τοὺς ἐπὶ τῆς σιδηρᾶς κλίμακος κειμένους σήμερον Μάρτυρας, οὐχὶ στρωμνῆς ὑποκειμένης, ἀλλ' ἀνθράκων ὑπεστρωμένων.

Ἐνταῦθα βέλομαι καταλῦσαι τὸν λόγον, ὥστε τῆς κλίμακος τῷ μνήμῃ ἀκμάζουσαν καὶ νεαρὰν ἔχοντας ὑμᾶς ἀπελθεῖν, καὶ ταύτης ἐν νυκτὶ κ' ἐν ἡμέρᾳ μεμνῆσθαι. Κἂν γὰρ μυρία κατέχῃ δεσμὰ, δυνησόμεθα πάντα ἀπορῥῆξαι ῥᾳδίως, καὶ πρὸς τῷ δ' χῷ ἀναστῶαι. Τῷ κλίμακα δὲ ταύτῃ ἐννοοῦντες διὰ παντὸς, μὴ τῷ κλίμακα μόνον, ἀλλὰ κ' τὰς ἄλλας τ' Μαρτύρων τιμωρίας διαγράφωμεν ἐπὶ τὸ πλάτος τῆς καρδίας τῆς ἡμετέρας· καθάπερ οἱ τὰς οἰκίας τὰς ἑαυτ' ποιοῦντες λαμπρὰς, ἀνθηρᾷ γραφῇ παντα-

χό-

χόθεν αὐτὰς κατακοσμῶσιν· οὕτω καὶ ἡμεῖς ἐν τοῖς τοίχοις τῆς ἡμετέρας διανοίας ζωγραφήσωμεν τῶν Μαρτύρων τὰς τιμωρίας. Ἐκείνη μὲν γὰρ ἡ ζωγραφία ἀψύχητος, αὕτη δὲ κέρδος ἔχουσα· οὐ δεῖται χρημάτων, οὐδὲ δαπανῆς, οὐδὲ τέχνης τινὸς ἄυτη ἡ γραφή· ἀλλ' αὐτὶ πάντων ἀρκεῖ προθυμία χρήσασθαι καὶ λογισμῷ γενναίῳ καὶ νήφοντι, καὶ διὰ τούτου καθάπερ διάτινος χειρὸς ἀρίστης ὑπογράψαι τὰς τιμωρίας αὐτῶν. Ζωγραφῶμεν τοίνυν ἐν τῇ ψυχῇ τοὺς μὲν ἐπὶ πυγμῶν πεπτωκότας, τοὺς δὲ ἐπὶ ἀνδράκων τεταμένους, τοὺς δὲ εἰς λέβητας κυβιστῶντας, τοὺς δὲ εἰς θάλασσαν καταποντιζομένους, ἑτέρους ξεομένους, ἄλλους ἐπὶ ξύλου καμπτομένους, ἄλλους εἰς πρίονα ῥιπτομένους. Καὶ τοὺς μὲν θηρίοις πυκτεύοντας, τοὺς δὲ ἐπὶ τὸ βάραθρον ἀγομένους, τοὺς δὲ, ὡς ἕκαστος ἔτυχε καταλύσας τὸν βίον, ἵνα τῇ ποικιλίᾳ τῆς γραφῆς ταύτης λαμπρὰν τὴν ἡμετέραν κατασκευάσαντες οἰκίαν, ἐπιτήδειον τῷ Βασιλεῖ τῶν οὐρανῶν ποιήσωμεν καταγώγιον. Ἂν γὰρ ἴδῃ τοιαύτας ἐν διανοίᾳ τὰς γραφὰς, ἥξει μετὰ τοῦ Παρόντος, καὶ μονὴν ποιήσει παρ' ἡμῖν σὺν τῷ Πνεύματι τῷ Ἁγίῳ. Καὶ βασιλικὸς ἔσται λοιπὸν οἶκος ἡ διάνοια ἡμῶν, καὶ οὐδεὶς ἄτοπος λογισμὸς ἐπιβιῶναι δυνήσεται, τῆς τῶν Μαρτύρων μνήμης ὥσπερ τινὸς ζωγραφίας διὰ παντὸς ἡμῖν ἐναποκειμένης, καὶ πολλὴν ἐναφιείσης τὴν μαρμαρυγὴν, καὶ τὸ βασιλέως τῶν ὅλων Θεοῦ σωτηρίως ἡμῖν ἐνδιαιτωμένου. Οὕτω δὲ ἐνταῦθα Χριστὸν ὑποδεξάμενοι, δυνησόμεθα μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς τὰς σκηνὰς ὑποδεχθῆναι τὰς αἰωνίους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ, καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΣ ΠΑΡΑΒΟΛΗΝ

ΠΕΡΙ ΤΟΥ ΑΣΩΤΟΥ.

Ἀεὶ μὲν, ἀδελφοὶ, τὴν τῦ Θεῦ φιλανθρωπίαν κηρύττειν ὀφείλομεν, δι' αὐτῆς γὰρ ζῶμεν καὶ κινύμεθα καὶ ἐσμὲν, μάλισα δὲ ἐν τύτῳ τῷ καιρῷ χρεωστῦμεν τῦτο ποιεῖν, διὰ τὴν κοινὴν ὠφέλειαν, καὶ τὴν δυσωπίαν τῶν μελλόντων ἐκ τῆς κολυμβήθρας ἀναπέλλειν ἀσέρων. καὶ γὰρ ἔτοι διὰ ταύτης ἐκλάμψασι, καὶ ἡμεῖς δι' αὐτῆς ἐσώθημεν καὶ σωζόμεθα· ἥτις ἡμῖν ἀντὶ κληρονομίας ἐδόθη ἐκ τῦ δημιυργῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. Εἴπωμεν τοίνυν περὶ αὐτῆς, ἅπερ εἶπεν ὁ Δεσπότης Χριστὸς, ὁ φιλάνθρωπος υἱὸς τοῦ φιλανθρώπυ πατρὸς, ὁ μόνος ἀξιόχρεως τῆς πατρῴας ἐξηγητής. Ἀναπτύξωμεν πᾶσαν τὴν περὶ τοῦ Ἀσώτου Παραβολὴν, ἵνα μάθωμεν ἐξ αὐτῆς, πῶς δεῖ προσπελάζειν τῷ ἀπροσπελάστῳ, καὶ συγγνώμην τῶν πταισμάτων αἰτεῖν. Ἄνθρωπός τις φησὶν, εἶχε δύο υἱύς. Παραβολικῶς ὁ Σωτὴρ, καὶ δογματικῶς διαλέγεται. Διὰ τῦτο περὶ τῦ ἰδίυ πατρὸς, ὡς περὶ ἀνθρώπυ τινὸς, ὁμιλεῖ· καὶ περὶ τῶν δούλων, ὡς περὶ τέκνων, λαλεῖ, ἵνα δείξῃ τῦ Θεῦ τὴν περὶ τὰς ἀνθρώπυς σοργήν. Ἄνθρωπός τις, φησὶν, εἶχε δύο υἱούς. Τίς ἐστιν οὗτος ὁ ἄνθρωπος; ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. Τίνας δὲ εἶχε τύτους τοὺς δύο υἱύς; τὺς δικαίυς, καὶ τὺς ἁμαρτωλύς. Τὺς ἐμμενόντας τοῖς θείοις αὐτῦ προσάγμασι, καὶ τὺς παραβαίνοντας τὰς δεσποτικὰς ἐντολάς. Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί. Καὶ τίς ἐστιν οὗτος ὁ νεώτερος υἱός; ὁ τὴν γνώμην ἄσατον κεκτημένος, καὶ ταῖς αὔραις τῆς νεότητος ῥιπιζόμενος. Πατέρα ἐγνώρισεν ἡ φύσις τὸν πλήσαντα, εἰ καὶ μὴ ἐτίμησε προαίρεσις

τὸν

τὴν ποιήσαντα. Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καλῶς ἤτησε τὰ τοῦ Θεοῦ παρὰ τοῦ Θεοῦ· ἀλλὰ κακῶς, ἅπερ ἔλαβε, κατηνάλωσε. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον ὁ πατήρ. Ἔδωκεν αὐτοῖς, ὡς οἶκον ἴδιον, ὅλον τὸν κόσμον. Ἔδωκεν αὐτοῖς, ὡς κτίστης, ὅλην τὴν κτίσιν. Παρέσχεν αὐτοῖς σώματα καὶ ψυχὰς λογικὰς, ἵνα τῷ λόγῳ διὰ λόγου χειραγωγούμενοι, μηδὲν ἄλογον πράξωσιν· ἐπέστησεν αὐτοῖς τὸν ἑαυτοῦ νόμον, τὸν φυσικὸν καὶ τὸν γραπτὸν, ὡς θεῖον παιδαγωγόν· ἵνα τούτῳ παιδαγωγούμενοι, πληρώσωσι τὸν Νομοθέτην τὸ βούλημα. Καὶ μετὰ πολλὰς ἡμέρας συναγαγὼν πάντα ὁ νεώτερος υἱὸς (ὡς νεώτερος ἔπραξεν) ἀπεδήμησεν εἰς χώραν μακράν· ἀπέστη ἀπὸ τοῦ Θεοῦ, καὶ ἀπέστη ἀπ' αὐτοῦ ὁ Θεός· ὁ γὰρ βιάζεται τὸν μὴ βουλόμενον δουλεύειν αὐτῷ· γνώμης γὰρ, οὐκ ἀνάγκης, αἱ ἀρεταὶ ἅπασαι. Ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως· ἐκεῖ τῆς ψυχῆς ὅλον τὸν πλοῦτον ἀπώλεσεν· ἐκεῖ τέρπων καὶ τερπόμενος ἐναυάγησεν· ἐκεῖ παίζων καὶ ἐμπαιζόμενος πενίης ἐγεύετο· ἐκεῖ ψυχοφθόρους ἡδονὰς ἀγοράζων, καὶ γέλωτας ὠνούμενος, πατέρας δακρύων ἔλαβε· καὶ τὰς μὲν ἀρετὰς, ἃς εἶχεν, ἀπεβάλετο· τὰς δὲ κακίας, ἃς οὐκ εἶχε, προσελάβετο. Δαπανήσαντος δὲ αὐτοῦ πάντα (ὁ πέφυκε γὰρ τοῖς αἰσχρῶς βιοῦσι παραμένειν ὁ πλοῦτος τῆς χάριτος) ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· ὅπου γὰρ τῆς σωφροσύνης ὁ σῖτος οὐ γεωργεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἐγκρατείας ἡ ἄμπελος οὐ πεφύτευται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἁγνείας ὁ βότρυς οὐ ληνοπατεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τὸ ἐραστὸν γλεῦκος οὐ βρύει, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου δυφορία κακῶν, ἐκεῖ πάντως ἀφορία τῶν ἀγαθῶν· ὅπου δυθηνία πράξεων πονηρῶν, ἐκεῖ πάντων σπανὶς τῶν ἀρετῶν· ὅπου τῆς φιλανθρωπίας τὸ ἔλαιον οὐ πηγάζει, ἐκεῖ λιμὸς ἰσχυρός. Τότε δὴ καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. Οὐδεὶς γὰρ αὐτῷ λοιπὸν ἔμεινεν, εἰμὴ μόνον τὰ

τῆς ἀκρασίας κακὰ, ἐπειδὴ ἔφραξε τὰ τῆς ἀκοσμίας κακά· καὶ πορθηθεὶς ἐκολλήθη σὺν τῷ πολιτῶν τῆς χώρας ἐκείνης. Πολῖται δὲ τῆς χώρας ἐκείνης ἦσαν οἱ δαίμονες, ἐν ᾗ ἐτύγχανε μετανάστιος· καὶ ἔπεμψεν αὐτὸν ὁ πολίτης ἐκεῖνος εἰς τὸν ἀγρὸν αὐτοῦ, βόσκειν χοίρους· ἔπω δὲ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς· ἔπω φιλοῦσι τοὺς φιλοῦντας αὐτούς· τοιαύτας δωρεὰς χαρίζονται τοῖς πειθομένοις αὐτοῖς· καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤθιον οἱ χοῖροι. Τί δέ ἐστιν ἀπὸ τῶν κερατίων; τῶν κερατίων ἡ γεῦσις γλυκεῖά ἐστιν, ἀλλ' ὅμως καὶ σκληρὰ κατ' αὐτό τε καὶ ἄχαρις. Τοιαύτη δὲ καὶ τῆς ἁμαρτίας ἡ φύσις· διαφαίνει μὲν μικρὰ, καὶ καλάζει μεγάλα· τέρπει πρόσκαιρα, καὶ μαστίζει αἰώνια. Εἰς ἑαυτὸν δὲ ἐλθὼν, καὶ λογισάμενος τὴν πρότερον μακαριότητα, καὶ τὴν δευτέραν ἀθλιότητα, καὶ βαλὼν κατὰ νοῦν, τίς μὲν ἦν, ὅτε ἦν μετὰ τοῦ Θεοῦ καὶ παῖς τεταγμένος, τίς δὲ γέγονεν, ὑποτεταγμένος τοῖς δαίμοσιν. Εἰς ἑαυτὸν ἦλθεν, εἶπε· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ ὧδε λιμῷ ἀπόλλυμαι; Πόσοι νῦν κατηχούμενοι καταφυφῶσι τὴν ἁγίων γραφῶν, τῷ λιμῷ δὲ τῶν θείων λογίων ἐγὼ συνέχομαι; Ὦ πόσων ἀγαθῶν ἐμαυτὸν ἐστέρησα! Ὦ πόσοις κακοῖς ἐμαυτὸν περιέβαλον! Τί γὰρ ἀφισάμην τῆς μακαρίας ἐκείνης διαγωγῆς; τί δὲ ταύτης ἐντὸς ἐγκόμβου τῆς θανατηφόρου ζωῆς; ἔμαθον ἀφ' ὧν ἔπαθον, μὴ ἐγκαταλιμπάνειν Θεόν· ἔμαθον κρατεῖν τὸν ἀεὶ φυλάσσοντα τοὺς κρατοῦντας αὐτόν· ἔμαθον μὴ πιστεύειν τοῖς ἀκαθάρτοις δαίμοσι, τοῖς διδάσκουσι πᾶσαν ἀκαθαρσίαν τε καὶ φθοράν. Τί οὖν φησιν; ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου· ὑποστρέφω καλῶς, ὅθεν ἐξῆλθον κακῶς· ἀπέλθω πρὸς τὸν ἐμὸν πατέρα, καὶ ποιητὴν, καὶ δεσπότην, καὶ κηδεμόνα, καὶ προνοητήν. Καταλάβω τὸν πάλαι πεφιλημένον καὶ προλαμβάνοντα τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας· ἀναστὰς πορεύσομαι πρὸς

τὸν

τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου. Ἀρκεῖ μοι πρὸς σωτηρίαν ταῦτα τὰ ῥήματα· ἀρκεῖ μοι πρὸς τὴν πρεσβείαν τοῦ παιδός μου τὸ ὄνομα· οὐ δύναται γὰρ ὁ πατὴρ ὁ ἐμὸς, πατὴρ προσαγορευθεὶς παρ' ἐμοῦ, μὴ φανῆναι τοῖς ἔργοις πατήρ· οὐ δύναται μὴ κινῆσαι τὰ σπλάγχνα, εὔσπλαγχνος ὤν· οὐ δύναται, τὸ ἥμαρτον, ἀκούσας, μὴ δοῦναι συγγνώμην τοῖς ἐμοῖς ὀλιθήμασιν· οὐ δύναται τῆς ἐμῆς ἀκούσας φωνῆς, μὴ ἐπιλαθέσθαι τῆς δικαίας ὀργῆς. Οἶδα πόσα δύναται παρ' αὐτῷ ἡ μετάνοια· οἶδα πῶς ἰσχύει παρ' αὐτῷ τὰ δάκρυα· οἶδα πῶς ἕκαστος ἁμαρτωλὸς πρὸς αὐτὸν ἀναβλέπων, καὶ δακρύων θερμῶς, ὡς ὁ Πέτρος, λαμβάνει τὴν ἁμαρτημάτων συγχώρησιν· οἶδα τὸ Θεῖόν μου τὴν ἀγαθότητα· οἶδα τὸ πατρός μου τὴν ἡμερότητα. Ἐλεήσει με μετανοοῦντα, οὐκ ἐκολάσεν ἁμαρτήσαντα. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. Προσέθηκε τῇ καλῇ βουλῇ τὴν πρᾶξιν τὴν ἀγαθήν. Δεῖ γὰρ ἡμᾶς οὐ μόνον βουλεύεσθαι τὰ συμφέροντα, ἀλλὰ καὶ τὰς ἀγαθὰς ὁρμὰς δεικνύειν ταῖς πράξεσιν. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος τῷ τόπῳ, πλησίον δὲ ὄντος τῷ ζήτῳ, καὶ τὰς χεῖρας συχνῶς ἐπιῤῥηγνύντος, καὶ τύπτοντος τὸ ἴδιον σῆθος, ὡς τὴν πονηρῶν λογισμῶν ὑπάρχον ἐργαστήριον, καὶ τὸ πρόσωπον προσπλάντος τῇ γῇ, καὶ τὰς ὀφθαλμὰς ἀπαιτοῦντος δοῦναι συμπρεσβευτὰς τὰς τῶν δακρύων σταγόνας, καὶ προμελετῶντος τὴν ἀπολογίαν, φθάσας ἀνεβόησε φωνῇ μεγάλῃ, μετὰ δακρύων λέγων· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου. Ἥμαρτον, οἶδα, Χριστὲ Δέσποτα, καὶ Θεέ. Ἐμὰς ἁμαρτίας σὺ μόνος ἐπίστασαι· ἥμαρτον, ἐλέησον ὡς Θεὸς καὶ δεσπότης· Οὐκ εἰμὶ ἄξιος εἰς τὸν οὐρανὸν βλέπειν, καὶ παρακαλεῖν σε τὸν ἀγαθόν μου δεσπότην, γέμων μεγίστων καὶ χαλεπῶν ἐγκλημάτων. Οὐκ ἔστιν ἀριθμὸς τῶν ἐμῶν ἁμαρτημάτων.

Ἐλέησον ὡς ἀγαθὸς Θεὸς ὢν ἀεί. Ὅτι οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

Οὕτως ἱκετεύοντα ἐκ βάθους τῆς καρδίας, εἶδεν αὐτὸν ὁ βλέπων πλημμελοῦντας, καὶ παραβλέπων ἁμαρτάνοντας, καὶ περιμενῶν αὐτῶν τὴν μετάνοιαν. Εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· πατὴρ γὰρ ἦν τῇ χρηστότητι, εἰ καὶ Θεὸς ὑπῆρχε τῇ φύσει· καὶ δραμὼν ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. Οὐκ ἀνέμεινε τὸν προσκρούσαντα πλησίον ἐλθεῖν, ἀλλ' αὐτὸς αὐτῷ προσπηδήσας προθύμως· καὶ οὐκ ἐβδελύξατο τὸν τράχηλον αὐτοῦ, ὡς ταῖς κηλίσι τῆς ἀσωτίας κατάσικτον καὶ μεμιασμένον· ἀλλὰ ταῖς ἀχράντοις αὐτοῦ χερσὶ περιλαβὼν κατεφίλησεν ἀπλήστως τὸν πάλαι ποτὲ ποθούμενον. Ὦ τῆς ἀφάτου καὶ φοβερᾶς σου σπλαγχνίας! ὦ παραδόξου φιλανθρωπίας! ὦ ξένων θεαμάτων! ὦ ξένων καταλλαγῶν! Ἔπεισεν σὺ τὸν Θεὸν εἰς ῥοπὴν μίαν καὶ συγκαταβῆναι τοῖς δάκρυσι, καὶ παραδραμεῖν πλῆθος τοσοῦτον ἁμαρτιῶν. Ἐθαύμασας ἐνορῶν Θεὸν κολακεύοντα ἁμαρτωλόν; ὦ τῆς ὀργῆς τῶν σπλάγχνων τῆς πατρικῶν! Ὁ ἁμαρτωλὸς ἐπὶ γῆς ἐδάρυσε, καὶ ὁ μόνος ἀναμάρτητος οὐρανόθεν ἑαυτὸν πρὸς τὴν φιλανθρωπίαν ἐπέκλινε. Τίς εἶδέ ποτε ἁμαρτωλὸν ὑπὸ Θεοῦ κολακευόμενον; τίς εἶδέ ποτε τὸν δικαίῳ κατάδικον θεραπεύοντα; τίς εἶδέ ποτε κατάκριτον κολακευόμενον; ἀλλ' ὅμως ὁ Θεὸς παρακαλεῖ, ὥς ποτε τὸν Ἰσραήλ· λαός μου, φησὶ, τί ἠδίκησά σε, ἢ τί παρλωώχλησά σοι; καὶ νῦν, τὰ αὐτὰ γίνεται, καὶ ἐγκείπο, ἐπειδὴ οὕτως ὁ διὰ παλλακτὸς βέλεται Θεὸς, οὕτως εἴωθεν ὑφ' ἑαυτοῦ νικᾶσθαι ὁ πατὴρ τῷ οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως. Οὐ μὴν ἡρκέσθη τούτοις ὁ ἄσωτος οὗτος υἱός· ἀλλὰ καὶ ἐν τοῖς τῆς μετανοίας ἀγαθοῖς ἄσωτος ἦν, οὐδὲ ἐνόμισεν αὐτῷ (πρὸς τὸ πλῆθος τῶν ἁμαρτηθέντων) τὴν τοσαύ-

τοσαύ-

σαύτῳ φιλανθρωπίαν πρὸς τὴν τελείαν σωτηρίαν ἀρκεῖν. Ἀλλ' ἅπερ ἐμελέτησεν εἰπεῖν τῷ παιδὶ, ταῦτα καὶ παρὼν διελέγετο μετὰ τοῦ πρέποντος σχήματος. Πάτερ, εἴγε ὅλως ἔξεστί μοι πατέρα σε εἰπεῖν· εἰ μὴ καὶ τοῦτο μετὰ τῶν ἄλλων μου πταισμάτων, καλῶν σε πατέρα, ἐξαμαρτάνω· εἰ μὴ ὑβρίζω τῇ κλήσει τὸ ἀνύβριστον ὄνομα· εἰ μὴ κλέπτει με τὰ χείλη τὸ συνειδός· εἰ μὴ δεσμεῖ μου τὴν γλῶτταν ὁ τρόπος τῆς πράξεως· εἰ μὴ κωλύει με τὸν λόγον ὁ βίος. Δέξαι, πάτερ ἅγιε, δέησιν ῥυπαρὰν ἐκ στόματος ῥυπαροῦ. Πάτερ κατὰ χάριν, καὶ δημιουργὸς κατὰ φύσιν, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σε, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ἥμαρτον, ὁμολογῶ τὰ παραπτώματά με, ἃ κρύπτω ἅπερ βλέπεις, οὐκ ἀρνοῦμαι ἅπερ ἐπίσασαι. Ὡς ὑπόδικος πρόκειμαι, ὡς παράνομος καταγινώσκομαι, ὡς κριτὴς ἐλέησόν με· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σε. Δέδοικα εἰς τὸν οὐρανὸν τὰ ὄμματά μου ἀναπτῆναι, φοβοῦμαι δὲ τοῦ στερεώματος τὴν μορφὴν, ὡς κατηγόρου φωνήν· δέλαβοῦμαι ἐναντίσαι τῷ φωτὶ τῆς Θεότητος, ῥυπαρὸς ἔχων τοὺς τῆς διανοίας ὀφθαλμούς. Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ἰδοὺ ἐμαυτὸν ἀνακρίττω, ἐμαυτὸν καταγινώσκω, κατ' ἐμαυτοῦ ἀποφαίνομαι. Οὐ δέομαι δικαστοῦ πρὸς ἀπόφασιν, οὐ δέομαι κατηγόρων πρὸς ἔλεγχον, οὐ δέομαι μαρτύρων πρὸς ἔγγραφα. Ἔνδον ἔχω προκαθήμενον τὸ συνειδὸς, τὸν ἀπαραίτητον δικαστήν· ἐν τῇ ψυχῇ βασάζω τὸ φοβερὸν δικαστήριον· ἐν τῷ συνειδότι περιφέρω τοὺς μάρτυρας, ἐν τοῖς ἐμοῖς ὀφθαλμοῖς τοὺς κατηγόρους ἐπάγω. Τὰ θέατρά μου κατηγορεῖ, αἱ ἱπποδρομίαι μου καταπράζουσιν, αἱ θεωρίαι τῶν θηριομαχούντων καταβοῶσί με, ἡ ἀσωτία θηριαμβεύει με, αἱ πράξεις μου συλιτεύουσί με, ἡ παροῦσα γυμνότης φανεροῖ με, αὐτὰ τὰ ῥάκη τῆς αἰσχύνης, ἃ περιβέβλημαι, καταισχύει με, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με

ὡς

ὡς σῶα τῷ μισθίων σε. Μήτε τῆς αὐλῆς σου ἀποπέμψῃς με, Δέσποτα, ἵνα μὴ πάλιν ὁ πολέμιος δι-ρών με πεπλανημένον, ὡς αἰχμάλωτον ἀπαγάγῃ· μήτε πλησίον ἐλπύσῃς με τῆς φοβερᾶς σε καὶ μυστικῆς ζαπέζης. Οὐ γὰρ τολμῶ ὀφθαλμοῖς ἐναγέσιν ὁρᾶν τῷ Ἁγίων τὰ Ἅγια. Ἔασόν με στῆναι μετὰ τῷ κατηχουμένων, τῶν θυρῶν τῆς Ἐκκλησίας σῦδον· ἵνα θεωρῶν τὰ ἐν αὐτῇ τελούμενα Μυστήρια, ποθήσω κατὰ μικρὸν ταῦτα πάλιν ἀναλαβεῖν· ἵνα τοῖς θείοις νάμασιν ἐπαντλούμενος ἀποσμήξω τιὼ αἰχύνην τῶν αἰσχρῶν ἁσμάτων, τὸν ῥύπον τὸν ἐγκείμενον ταῖς ἐμαῖς ἀκοαῖς· ἵνα θεωρῶν τοὺς σοὺς μαργαρίτας ἁρπαζομένους παρὰ τῶν δυσεβῶν ἀνδρῶν, ἐπιθυμήσω κἀγὼ κτήσαθαι χεῖρας ἀξίας τῆς τάπων ὑποδοχῆς.

Ταῦτα τοῦ Ἀσώτου προσπρούσαντος, καὶ μετὰ δακρύων βοῶντος, εἶπεν ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτῦ. Πρὸς ποίους δούλους; ἄκουε. Πρὸς τοὺς ἱερεῖς καὶ λειτουργοὺς τῶν αὐτοῦ προσταγμάτων· ἐξενέγκατε ταχὺ τιὼ στολιὼ τιὼ πρώτην, καὶ ἐνδύσατε αὐτόν· ἐξενέγκατε τιὼ στολιὼ τὴν ἄνωθεν ὑφαντιὼ, τιὼ ἐκ τοῦ πνευματικοῦ πυρὸς καταρτιζομένην· ἐξενέγκατε τιὼ στολιὼ τιὼ ἐν τοῖς ὕδασι τῆς κολυμβήθρας ὑφαινομένην· ἐξενέγκατε τιὼ στολιὼ τιὼ ἐκ τῦ πνευματικοῦ πυρὸς κατασκευαζομένην, καὶ ἐνδύσατε αὐτόν. Ἐνδύσατε τὸν ἑαυτὸν ἀποδύσαντα· ἐνδύσατε τὸν νέον Ἀδὰμ, ὃν ἐγύμνωσεν ὁ διάβολος· ἐνδύσατε τὸν βασιλέα τῆς κτίσεως· κοσμήσατε τοῦτον, δι' ὃν τὸν κόσμον ἐκόσμησα· καλλωπίσατε τῦ ὑοῦ με τὰ φίλτατα μέλη. Οὐ φέρω γὰρ αὐτὸν ἀκαλλώπιστον καθορᾶν· οὐ φέρω τιὼ ἐμιὼ εἰκόνα γεγυμνωμένην καταλιπεῖν. Ἐμὸν ὄνειδος ἡγοῦμαι τὸ ὄνειδος τῦ ἐμοῦ παιδός· ἐμιὼ δόξαν ἡγοῦμαι τούτου τιὼ εὔκλειαν. Δότε καὶ δακτύλιον εἰς τιὼ χεῖρα αὐτῦ, ἵνα φορῇ τὸν ἀρραβῶνα τῦ πνεύματος, καὶ φορῶν αὐτὸν φρονηθῇ ὑπ' αὐτῦ τῦ πνεύματος· ἵνα τὴν ἐμιὼ σφραγῖδα περιφέρων,

ρων, φοβερὸς ἢ πᾶσι τοῖς πολεμίοις τε καὶ ἐναντίοις. ἵνα πόῤῥωθεν φαίνηται, ποίη παχύς ἐστιν ἔτος υἱός· δότε καὶ ὑποδήματα εἰς τὰς πόδας αὐτῦ, ἵνα μὴ πάλιν εὕρῃ ὁ ὄφις γυμνὴν τὴν πτέρναν αὐτῦ, καὶ πατάξῃ αὐτὸν διὰ τοῦ κέντρου· ἀλλ' ἵνα μᾶλλον αὐτὸς καταπατῇ τὴν τῦ δράκοντος κεφαλὴν, ἵνα συνθλίψῃ τῦ πολεμίου τὰ κέντρα, καὶ ἵνα βέχῃ τὴν κατὰ Θεὸν ὁδόν. Καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν, θύσατε. Ποῖον μόσχον λέγει σιτευτόν; ποῖον; ὃν ἡ ἁμαλὶς Μαρία Παρθένος ἐγέννησεν. Ἐνέγκατε τὸν μόσχον τὸν ἀδάμαστον, τὸν μὴ δεξάμενος ἁμαρτίας ζυγὸν, τὸν παρθένον, καὶ ἐκ παρθένου, τὸν ἀκολουθοῦντα τοῖς ἀκολουθοῦσιν αὐτῷ, οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἑκουσίως, τὸν μὴ χωόμενον τῇ δυνάμει αὐτοῦ, μηδὲ τοῖς κέρασιν, ἀλλ' ἑτοίμως ὑποκλίναντα τὸν ἑαυτῦ αὐχένα τοῖς σφάττειν θέλουσι. Θύσατε ἓν ἑκόντα θυόμενον· θύσατε τὸν ζωοποιοῦντα τοὺς θύοντας· θύσατε τὸν θυόμενον, καὶ μὴ νεκρόμενον· θύσατε τὸν μελιζόμενον, καὶ τοὺς μελίζοντας αὐτὸν ἁγιάζοντα· θύσατε τὸν ἐσθιόμενον παρὰ τῶν εἰδότων αὐτὸν, καὶ μηδέποτε δαπανώμενον· θύσατε τὸν τοὺς ἐσθίοντας μακαρίως ἀπεργαζόμενον. Καὶ φαγόντες πάντες εὐφρανθῶμεν, ὅτι ἦτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι. Ἐπίασθε τὴν πνευματικὴν εὐφροσύνην, οἱ ταύτης γευσάμενοι, καὶ μεμνημένοι τῶν φρικτῶν Μυστηρίων, τῶν λειτουργῶν τῆς θείας Ἱερουργίας, τῶν μιμουμένων, τὰς τῶν Ἀγγέλων πτέρυγας ταῖς λεπταῖς ὀθόναις ταῖς ἐπὶ τῶν ἀγιστέρων ὤμων κειμέναις, καὶ ἐν τῇ Ἐκκλησίᾳ περιβεχόντων καὶ βοώντων· μή τις τῶν κατηχουμένων· μή τις τῶν μὴ ἐσθιόντων· μή τις τῶν κατασκόπων· μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸν μόσχον ἐσθιόμενος· μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸ ἅγιον αἷμα τὸ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· μή τις ἀνάξιος τῆς ζώσης θυσίας·

σίας· μή τις ἀμύητος· μή τις μὴ δυνάμενος ἀκαθάρτοις χείλεσι προσφαύσασθαι τῶν φρικτῶν Μυστηρίων. Εἶπε καὶ τῶν Ἀγγέλων οὐρανόθεν ἐπιφωνούντων, καὶ λεγόντων· Ἅγιος ὁ Πατήρ, ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτὸν, τὸν μὴ γνόντα ἁμαρτίαν, καθώς φησιν ὁ προφήτης Ἡσαΐας, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἅγιος ὁ Υἱὸς, ἅμα καὶ μόσχος, ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν. Ἅγιος ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ τιὼ θυσίαν τελεσιουργῆσαν.

Τούτων ἓν σῦδον ἐπιτελουμένων, ὁ πρεσβύτερος υἱὸς μακρόθεν παραγενόμενος ἤκουσε συμφωνίας καὶ χορῶν. Καὶ προσκαλεσάμενος σῦα τῶν παίδων, ἐπυθάνετο τί ἂν εἴη τοῦτο; Ἠχός τις περιεκτύπει μου τὰ ὦτα. Ὃ δέ φησι, Δαβὶδ ὁ Προφήτης σῦδον μελῳδεῖ· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους· ὁ αὐτὸς πάλιν προτρέπεται τοὺς παρόντας πρὸς τιὼ ἑστίασιν, καὶ λέγει· γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Παῦλος ὁ τῶν θείων Μυστηρίων ἐξηγητῆς, ἀναβοᾷ καὶ λέγει· τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. Ἡ Ἐκκλησία πανηγυρίζει διφραινομένη καὶ χορεύει. Ὁ δέ φησι πρὸν τὸν δοῦλον· ναί; καὶ μὴ παρόντος ἐμοῦ, ἄλλοι τὰ ἐμὰ μυστήρια, παρὰ τὴν ἐμιὼ ἀπουσίαν, καὶ τῇ ἐμῇ αὐλῇ μερίζονται; Ναί, φησιν· ἔτι ὁ ἀδελφός σου ἦκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. Ὠργίσθη δὲ πρὸς ταῦτα, καὶ οὐκ ἠθέλησεν εἰσελθεῖν· ὠργίσθη ὁ δίκαιος, καὶ τοῦ φθόνε ἐγένετο δοῦλος; ὁ καταπατήσας τοῦ βίου τὰ τερπνὰ, φθόνῳ κεκράτηται; καὶ πῶς φησιν ὁ Παῦλος λέγων· ἐβουλόμιω αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οὐχ ἵνα βάσκανον δείξῃ τὸν δίκαιον, ἀλλὰ διὰ τιὼ ὑπερβολὴν οὕτω τὸν λόγον ἐσχημάτισεν ὁ Σωτήρ· ἵνα κηρύξῃ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τῶ Πα-

ζὸς

ξὸς αὐτοῦ. Καὶ τοῦτο δηλοῖ διὰ τῆς ἐφεξῆς. Ὁ γὰρ πατὴρ αὐτοῦ, φησὶν, ἐξελθὼν παρεκάλει αὐτόν. Ὦ σοφίας ἀῤῥήτου! Ὦ φρονοίας θεοφιλοῦς! Καὶ τὸν ἁμαρτωλὸν ἠλέησε, καὶ τὸν δίκαιον ἐκολάκευσε, καὶ τὸν ἰσάμενον ἐκ ἀφῆκε πεσεῖν, καὶ τὸν πεσόντα ἤγειρε, καὶ τὸν πεύητα πλούσιον ἀπέδειξε, καὶ τὸν πλούσιον ἐ συνεχώρησε τῷ φθόνῳ γενέσθαι πτωχόν. Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ ἐγὼ τοσαῦτα ἔτη ἔχω δουλεύων σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ ἐκ ἔδωκάς ποτε ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ἀλλὰ περιέρχομαι ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενος, θλιβόμενος, κακουχέμενος· ὅταν δὲ ὁ υἱός σε οὗτος ἦλθεν, ὁ καταφρονήσας σε, καὶ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, εὐθέως ἔθυσας αὐτῷ, τὸν μόσχον τὸν σιτευτόν· καὶ ἔτε ῥήματι ἐνεκάλεσας αὐτῷ, οὔτε χήματι τὸ πρόσωπόν σου ἀπέστρεψας ἀπ' αὐτοῦ· ἀλλ' εὐθέως ἐξενοδόχησας αὐτὸν, καὶ πάσῃ τῇ στολῇ σου κατεκόσμησας, καὶ τῷ χρυσῷ δακτυλίῳ περιήρεψας, καὶ τοῖς ὑποδήμασι περιέφραξας, καὶ τὴν Ἐκκλησίαν ἐπέῳξας, καὶ τὴν τράπεζαν ἐπλούτισας, καὶ τὰς κρατῆρας ἐπλήρωσας, καὶ τὸν μόσχον τὸν σιτευτὸν κατέσφαξας, καὶ πρὸς τὴν εὐωχίαν τοὺς πιστοὺς προσεκάλεσας, καὶ τοὺς Ἀγγέλους χορεύειν ἐποίησας, καὶ ξένον οὐρανὸν καὶ γῆς συμπόσιον συνεκρότησας, καὶ τοιαύτας καὶ τοσαύτας δωρεὰς παρέσχες τῷ καταφρονήσαντι τῆς σῆς ἀγαθότητος, καὶ τὴν εὐγένειαν καθυβρίσαντι. Τί εἴπω πρὸς τὸ βάθος καὶ τὸ πέλαγος τῶν σῶν οἰκτιρμῶν, πῶς θαυμάσω τὴν θάλατταν τῆς σῆς γαλήνοτητος; Ἐλεεῖς, Κύριε, πάντας, ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων προσερχομένων εἰς μετάνοιαν. Ὁ δὲ πατὴρ αὐτοῦ εἶπεν αὐτῷ· τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ· σὺ τῶν ἐμῶν κόλπων οὐκ ἐχωρίσθης ποτέ· σὺ τῆς Ἐκκλησίας τῆς ἐμῆς οὐκ ἀπεσκίρτησας· σὺ ψαλμοῖς καὶ ὕμνοις προσέσχες ἀεί·

σὺ

σὺ μετὰ τῶν Ἀγγέλων ἐντυγχάνεις διὰ παντός· σὺ τῷ θυσιαστηρίῳ περισάμενος, μετὰ παῤῥησίας βοᾷς. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Οὗτος δὲ προσῆλθέ μοι, καταπεκεντημένος, κατηχυμμένος, τὸ πρόσωπον ὠθῶν εἰς τὴν γῆν, καὶ μετὰ συντετριμμένης καὶ συγκεκλασμένης φωνῆς ἀνεβόησε· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Τί εἶχον ποιῆσαι πρὸς τὰ ῥήματα ταῦτα; ἠδυνάμην μὴ ἐλεῆσαι τὸν ἐμὸν υἱὸν προσελθόντα μοι; σὺ δίκασον ὁ θυμούμενος. Ἀλλ' οὐ πέφυκα, φιλάνθρωπος, ὢν, ἀπάνθρωπόν τι διαπράξασθε· οὐ δύναμαι μὴ ἐλεῆσαι, ὃν ἐγὼ ἐποίησα· οὐ δύναμαι μὴ οἰκτεῖρειν, ὃν ἐκ τῶν ἐμῶν σπλάγχνων ἐγέννησα. Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα, σά ἐστιν· ὁ οὐρανὸς σὸν, τὸ στερέωμα σὸν, ὁ ἥλιος δαδοῦχος σός, ἡ σελήνη θεραπαίνη σή, οἱ ἀστέρες λαμπτῆρες σοὶ, ὁ ἀὴρ τροφός σός, καὶ πάντα τὰ ἐναέρια σά, ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, σά, ἡ θάλασσα καὶ τὰ ἐν αὐτῇ, σά, ὁ κόσμος, σός, ἡ Ἐκκλησία, σή, τὸ θυσιαστήριον, σόν, ὁ μόσχος ὁ σιτευτὸς, σός, ἡ θυσία, σή, οἱ Ἄγγελοι, σοὶ, οἱ Ἀπόστολοι, σοὶ, οἱ Μάρτυρες, σοί· τὰ παρόντα, σά, τὰ μέλλοντα, σά, ἡ ἀνάστασις, σή, ἡ ἀθανασία, σή, ἡ ἀφθαρσία, σή, ἡ βασιλεία τῶν οὐρανῶν, σή, πάντα τὰ φαινόμενα καὶ τὰ νοούμενα, σά. Μὴ τὰ σὰ ἀπήγαγον, κἀκείνῳ προσήγαγον; μή σε ἀπέδυσα, κἀκεῖνον ἐνέδυσα; οὐχὶ ἐκ τῶν ἐμῶν πραγμάτων ἐχαρισάμην τὸ ἔλεος; οὐχ ὅμοιός εἰμι καὶ σὲ κἀκείνῳ πατήρ; καὶ σὲ τιμῶ διὰ τὴν ἀρετὴν, κἀκεῖνον ἐλεῶ διὰ τὴν καλλίστην ἐπιστροφήν. Καὶ σὲ ποθῶ διὰ τὴν ζωὴν, κἀκεῖνον διὰ τὴν μεταβολήν. Καὶ σὲ διὰ τὴν πολιτείαν φιλῶ, κἀκεῖνον διὰ τὴν μετάνοιαν. Καὶ σὲ διὰ μακροθυμίαν, κἀκεῖνον διὰ τὴν ἐν ἐμοὶ ἐπιστροφήν. Εὐφραίνεσθαι δὲ καὶ χαίρειν σε ἔδει, ὅτι οὗτος ὁ ἀδελφός

φός σε νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Τίς βλέπων νεκρὸν ἀνισάμενον, οὐκ εὐφραίνεται; καὶ τίς εὑρὼν ἃ ἀπώλεσεν, οὐκ ἀγάλλεται; δεῦρο καὶ σὺ, ἰδέ με, συνεύφρανθητι σωὶ ἡμῖν, καὶ συσκίρτησον σωὶ τοῖς Ἀγγέλοις, καὶ περίπτυξον, σωὶ ἡμῖν τὸν σὸν ἀδελφὸν, καὶ σύμψαλλε τῷ Δαβὶδ ἐκεῖνο τὸ πνευματικὸν μέλος, τὸ πρέπον τῇ παρούσῃ πανηγύρει· μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν.

Ἠκούσατε τῆς θείας Παραβολῆς, καὶ τὸν ταύτης σκοπὸν ἔγνωτε, καὶ τὴν δύναμιν αὐτῆς εἴδετε. Ἐμάθετε πῶς φιλάνθρωπον ἔχομεν Κύριον, πῶς ἀνεξίκακον. Αὐτῷ τοίνυν προσφύγωμεν μετὰ καθαρᾶς καρδίας. Δεῦτε, κοινῇ φωνῇ βοήσωμεν πρὸς αὐτόν· Δέσποτα, Κύριε φιλάνθρωπε, μονογενὲς Υἱὲ τοῦ Θεοῦ, ἡμάρτομεν εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σε, καὶ οὐκ ἐσμὲν ἄξιοι κληθῆναι υἱοί σου· ἀλλὰ θαῤῥοῦμεν τοῖς οἰκτιρμοῖς· ἔχομεν ὅμηρα τῆς σῆς φιλανθρωπίας τὸν τίμιον Σταυρὸν, ὃν ὑπέμεινας δι' ἡμᾶς· ἔχομεν ἐγγυητὰς τῆς σῆς δυσπλαγχνίας, τὴν πότε πόρνην, καὶ τὸν ποτε λῃστήν. Διὰ τούτων γὰρ καὶ ἡμεῖς καὶ πάντες οἱ ἁμαρτωλοὶ προσδεπόμεθα προστρέχειν τῇ σῇ φιλανθρωπίᾳ· ὡς ἐκείνους οἰκτίρμον καὶ μακρόθυμε ἀπέδειξας Κύριε, καὶ ἡμᾶς προσπίπτοντάς σοι ἐλέησον· ὡς ἀνέστησας νεκροὺς σαρωθεὶς, καὶ ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ διὰ τὴν πολλήν σου φιλανθρωπίαν ἀνάστησον, ἵνα ἀπολαύσωμεν μετὰ τὴν ἀπολυτρωσαμένων τῆς σῆς ἀνασάσεως. Ταῦτα λέγοντες, ἐπιμείνωμεν, ἵνα καὶ πρὸς ἡμᾶς εἴπῃ ὁ Δεσπότης ἡμῶν Χριστός· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. Καὶ ὑμεῖς δὲ οἱ μέλλοντες ἀπολαύειν τῆς τοῦ Βαπτίσματος δωρεᾶς, πᾶσαν λογισμὸν ἀλλότριον ἀπορρίψαντες, καὶ τὰς ψυχὰς ὑμῶν εἰς τὸν οὐράνιον Νυμφίον ἁδρύναντες, τῆς τε Ἁγίου Πνεύματος χάριτος

τος

τος ἀπολαύσατε. Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἐπὶ θύραις ὁ λυτρωτὴς ἑστηκεν, ὁ ἰατρὸς τοῖς πιστοῖσι πάρεστι, τὸ ἰατρεῖον ἠνέῳκται, τὰ φάρμακα προκεινται, ἡ κολυμβήθρα πάντας προσδέχεται, ἡ χάρις ἐκήπλωται, ἡ πνευματικὴ στολὴ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐξυφαίνεται. Μακάριοι οἱ καταξιούμενοι φορέσαι τὴν στολήν! Μόνον ὑμεῖς τῆς Πίστεως τὰς λαμπάδας ἀνάψατε, καὶ τὸ ἔλαιον τῆς εὐσεβείας δαψιλῶς ἐπιβάλλετε, ἵνα νυκτὸς, ὅταν γίνεται φωνὴ λέγουσα, ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐξέλθητε εἰς ὑπάντησιν αὐτοῦ μετὰ φαιδρῶν τῶν λαμπάδων, χορεύοντες καὶ σκιρτῶντες καὶ βοῶντες· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νυνὶ, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΒΑΣΙΛΕΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΣΕΛΕΥΚΕΙΑΣ

ΛΟΓΟΣ

Εἰς τὸ, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν Γῆν.

Ἅπας μὲν ὁ τῆς ἀνθρώπων βίος ἀρετῆς ἀγωνιστήριον προκειται, καὶ τὰ τῆς ζωῆς διαστήματα πρὸς τὴ τῆς θεογνωσίας βλέπει διδάγματα. Τί γὰρ ὄφελος ἄνθρωπον πλασθῆναι μὲν ὑπὸ τῦ Θεῦ, τὴν δὲ πλάτησαν μὴ ἐπίσασθαι χεῖρα; καὶ τῆς μὲν κτίσεως βασιλέα χειροτονεῖσθαι, τὸν δὲ παραγαγόντα τὴν κτίσιν ἀγνοεῖν ὡς μὴ ὄντα; καὶ τῷ μὲν κάλλει τῆς κτίσεως τοὺς ὀφθαλμοὺς ἐπιβάλλειν, τυφλώττειν δὲ πρὸς τὸν τῦ κόσμυ παραίτιον; Ἀλλὰ καίπερ ὁ τῷ ἀνθρώπων βίος τὰς ὑλίας ἀπείληπται πρὸς τὰ θεῖα παιδεύματα· ἀλλάγε τῆς νηστείας ἡ σάλπιγξ τὸ κοινὸν ὠφέλετον κέκτηται. Τὸ γὰρ σεμνὸν ἑαυτῆς μέλος ταῖς τῆς ψυχῆς ἀκοαῖς ἀναβοῶσα, πρὸς τὸ τῷ ἀγωνισμάτων διανίσησι σάδιον, τοὺς τῷ θείων ἐρασὰς μαθημάτων φιλοπονωτέρους ἐξεργαζομένη· καὶ τῷ εὖδον ὀφθαλμῶν περιαίρυσα τὰς λήμας, τὰς τῆς θεογνωσίας ἀκτῖνας φανερωτέρας δείκνυσιν. Ὅσῳ γὰρ ἀμβλύνει τὰ τῦ σώματος πάθη, τοσούτῳ πρὸς τὸ θεῖον ἀκονᾷ τῆς ψυχῆς τὸ διάθεσιν· καὶ τὰ τῆς σαρκὸς νοσμίζυσα νύματα, τῇ ψυχῇ γαλήνην μνησδέται. Ἐγχειρίζει δὲ αὐτῇ τὰς κατὰ τῦ σώματος οἰάκας, καὶ περικόπτει τὴν σάσιν, τὴν κατὰ τῶν παθῶν ἐξυσίαν ὀρέγυσα, καὶ τὴν φιλοσώματον πυρκαϊὰν ἀποσβέσασα, τὴν φιλόθεον ἀνάπτει λαμπάδα. Δεῦρο δὴ ἴν καὶ ἡμεῖς ὑρανίῳ πειθόμενοι σάλπιγγι, φιλοσοφῶμεν τὰ θεῖα, καὶ πρὸς

τὸν τῆς κτίσεως Δεσπότην διὰ τῆς κτίσεως ἀναβαίνωμεν. Κλίμακος δὲ δίκην ὁ Θεὸς ἁρμόσας τὴν κτίσιν, δι' αὐτῆς πρὸς ἑαυτὸν τοῖς φιλοθέοις ἀνάβασιν ἐτεχνήσατο. Χειραγωγεῖ δὲ ἡμᾶς πρὸς τὴν ἄνοδον χάρις Μωσαϊκῆς γλώττης ἐπιβαίνουσα προφητική. Τί λέγουσα; τί βοῶσα; Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν. Ὁρᾷς, φησιν, ἀρχῆς πλάτη, καὶ μεγέθη, καὶ κάλλη, τὰ τῷ ὀμμάτων ὑπερβαίνοντα μέτρα τῷ θαύματι; τοῦτον ὁ Θεὸς καὶ παρήγαγε νοήματι, καὶ σωέχει προσάγμασι. Οὐ κάτωθεν ὑπερεισμάτων προσαναβαινόντων τοῖς ὕψεσιν, οὔτε μὴν ἄνωθέν τις δεσμὸς τῆς ἀρχῆς κορυφῆς ὑπερκείμενος, ἄνω μένειν βιάζεται. Τὸ δὲ τῆς γῆς ἄχθος ἀπεράντοις τοῖς διαστήμασι, πῶς κρέμαται; ἀλλὰ κἂν εὕρῃς θεμέλιον ὑποκείμενον, πάλιν ἐκείνης τὴν ῥίζαν ζητεῖς, καὶ μετ' ἐκεῖνο τὸ ὑπ' ἐκεῖνο, ἕως τῷ βάθει τῆς ἐρεύνης ὁ λογισμὸς παιδευθεὶς ἀνακράξῃ· δάκτυλος Θεοῦ τοῦτό ἐστι. Καὶ τὸ δὴ τῶ θαύματος θαῦμα διάδοχον. Οὐρανὸς καὶ γῆ παρηγάγοντο κυοφορῆντες τὸν ἄβυσσον, καὶ τὰ πελάγη βαστάζοντες ἵσαντο, μηδὲ τῷ βάρει πρὸς πτῶσιν διολισθαίνοντες. Καὶ καθάπερ τις ἐγκύμων γαστὴρ, ταῖς τῶν μηνῶν περιόδοις ἐξοικουμένη, τὰς ὠδῖνας γειτνιώσας κυρίττει, τὸν αὐτὸν δὴ τρόπον κρεμάμενος οὐρανὸς τὴν τοσαύτην τῷ ὑδάτων φύσιν ἀπερισκέπτως ἐβάσαζεν· ἔμενε γὰρ ἄσειστος Δημιουργοῦ σφιγγόμενος νοήματι. Ἀλλὰ δὴ ὥσπερ οἶκον τέως ἀπόσμητον, παραγαγὼν ὁ Θεὸς τὸ σῶμα τῆς κτίσεως, μετὰ τοῦτο προσάγει τὴν διακόσμησιν, τῷ τῶ μεγέθους θαύματι κάλλος ἀνάλογον μηχανώμενος. Ὥσπερ δὲ οἱ τῷ ζωγράφων παῖδες προδιαιροῦντες τοὺς τοίχους, τὰ τῷ χρωμάτων εἴδη διὰ τῆς τέχνης φυτεύουσιν, οὕτως ὁ Δημιουργὸς πρὸς τὴν τοῦ κόσμου διακόσμησιν ἐπειγόμενος, φωτὶ πρῶτον διαιρεῖ τοὺς τοίχους τῆς κτίσεως. Εἶπε γάρ, φησιν, ὁ Θεός· γενηθήτω φῶς. Πρώτη φωνὴ νοῦ θεόθεν ἐπέμπετο, καὶ τὸ φῶς ἀπετίκτετο. Ἠκούετο φωνὴ,

νὴ, καὶ παρήγετο φύσις. Κλῆσις ἐγίνετο, καὶ ἡ κτίσις ἐπλάττετο. Ἆρα γὰρ ἐκ ἴσχυε σιωπῇ φράττειν ἅπερ ἐβάλετο; ἐκ ἠκολούθει τὸ ἔργον τῷ νοήματι; ἀλλ' οὐρανὸς μὲν παρήχθη, καὶ γῆ σὺν τοῖς ὕδασι, μὴ φθολαβούσης φωνῆς· φωτὸς δὲ παραγομένου, φωνὴ φθομαρτύρεται; Τίς ἂν ὁ λόγος, καὶ τίς ἡ αἰτία τῷ φθέγματος; μάθωμεν, καὶ σιωπέσης ἀκούειν τῆς γραφῆς, καὶ φθεγγομένης παιδεύεσθαι. Ἐπειδὴ γὰρ ἄρτι πλασθεῖσαι τῷ Ἀγγέλων αἱ μυριάδες, εἰώρων μὲν τὰ γινόμενα, τὸν δὲ ποιοῦντα βλέπειν ἐκ ἴσχυον (ὑπερβαίνει γὰρ καὶ Ἀγγέλων ὀφθαλμοὺς τὸ τῆς θείας οὐσίας ἀθέατον) εἰκότως νυῦ φθολαμβάνει φωνὴ πρὸς αἴσθησιν, καὶ θαῦμα τὰ γινόμενα νικῆσαν τῷ Ἀγγέλων τὰς δήμους, ἵνα τῷ προσάγματι συνοδεῦον τὸ δημιουργούμενον βλέποντες, καὶ τὴν θέαν καταπλητόμενοι, πρὸς γνῶσιν, καὶ ὕμνον ἅπασι τὰ κτίσαντος. Τίς ἔτος; φησὶν αὐτὸς ὁ Θεὸς πρὸς τὸν οἰκεῖον ἀγωνιστὴν τὸν Ἰὼβ διαλεγόμενος, ὅτε ἐποίουν ἄστρα, ἤνεσάν με φωνῇ μεγάλῃ πάντες οἱ Ἄγγελοί μου. Τῇ γὰρ καταπλήξει τῆς θέας κρατούμενοι, πρὸς ἕκασον τῷ παραγομένων τὸν Ποιητὴν ἀνεβόων. Ἐπὶ τούτοις μεταξὺ τῷ ὑδάτων ὁ Δημιουργὸς περιτείνει στερέωμα, καθάπερ ὀροφὴν πρὸς ζωγραφίαν ἁρμόδιον. Γυμνοῖ δὲ μετὰ τῶν τῷ ὑδάτων τῆς ἠπείρου τὰ νῶτα, ὥσπερ σύτισι ταμιείοις τὰ πελάγη συγκλείων, κλεῖθρον ἐπιθεὶς τῇ ἀβύσσῳ τὸ πρόσταγμα, καὶ ψάμμῳ χαλινώσας, ὡς φόβῳ, τὴν θάλατταν, ἀναγάγων τοῖς πελάγεσι φυλάττων τὴν ἤπειρον. Κἂν ἀνέμων ἐμβολαῖς ὠθῆται πρὸς τὴν χέρσον ἡ θάλαττα, φέρεται μὲν κορυφουμένη τοῖς κύμασι, ψαύουσα δὲ τῷ ὄρων ὑπονοεῖ δραπετεύουσα. Καὶ τὴν τῷ Δεσπότου φωνὴν ἐν αἰγιαλοῖς γεγραμμένην ὁρῶσα, κυρτουμένη τοῖς κύμασι προσκυνεῖ τὸν ὁροθετήσαντα, καὶ πλήττουσα βίᾳ τὴν χέρσον, ἀντιπλήττεται πρὸς φυγὴν τῇ τὰ προσάγματος μνήμῃ. Διὰ τοῦτο γαληνὰ πορφυροῦσα περιαίνει τὴν γείτονα, καθάπερ

ἀγκάλαις ἀπαλαῖς προσπλεκομένη τῷ ὕπειρον, τῷ τῶ Δεσπότου διαπαντὸς περιεχομένη προσάγματι, καὶ μονονυχὶ καθ' ἑκάστω ἀκούειν νομίζουσα· σωαχθήτω δὴ τὰ ὕδατα εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ μένει τοῦ προσάγματος μνήμων δεδεμένη τῇ ψάμμῳ· τῷ φόβῳ τῶ δήσαντος τὸν δεσμὸν οὐ βιάζεται, προφητικὴν βεβαιοῦσα φωνήν· ὅριον ἔθου, ὃ οὐ παρελεύσεται. Ἐπεὶ τέτις τῷ ἀστέρων ἐν οὐρανῷ διαπείρει τὰ φέγγη, καὶ τῷ στερεώματι τὰ τῶ φωτὸς αὖθη φυτεύει, χάειν, καὶ χρείαν τῆς γῆς ἐπιτελοῦντα. Πρὸς τέτις τὸ τῆς κτίσεως ἔδαφος διανθέσι λειμῶσιν ἐποίκιλε. Ζώων δὲ γονὰς ἐκ τῆς γῆς ἀνελκύσας, μητέρα, καὶ τροφὸν τῷ πλαττομένων ἀπέδειξεν. Οὕτω δὴ τῷ χειρὶ σεφανώσας, οὐκ ἔδειξεν ἄχρηστον οὐδὲ πρὸς τεκνογονίαν τῷ θάλατταν. Ἔδει γὰρ αὐτὴν μηδενὸς ὁρᾶσθαι τῆς γείτονος γῆς ἀτιμωτέραν πρὸς ὠδῖνας ὑπάρχουσαν. Ἓν ἔπεμπε τὸ πρόσαγμα, καὶ νηκτοῖς μὲν ὕδασιν ἐπλήμμυρεν ἄβυσσος· πτηνοῖς δὲ αὖρα ἐπολίζετο, καὶ κόσμος ἀπήρτισο, τῷ θαύματι κράζων· ὡς ἐμεγαλυνθη τὰ ἔργα σε Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Ἀλλ' ἡ μὲν κτίσις ἀπήρτισαι, τὸν τοῦ Ποιητοῦ σοφίαν καὶ δυνασείαν ἀσιγήτως κηρύττουσα, διαφόρως ἐξυφασμένη ταῖς φύσεσι. Τὰ μὲν γὰρ θνητὰ, τὰ δὲ ἀθανασίᾳ κεκόσμηται· καὶ τὰ μὲν ὄψεως κρείττονα, τὰ δὲ αἰσθήσει μεξέμενα. Τὰ μὲν λόγῳ τετιμημένα, τὰ δὲ ἀλογίᾳ κρατέμενα. Τὰ μὲν ἔμπνοά τε καὶ ἔμψυχα, τὰ δὲ ψυχῆς καὶ αἰσθήσεως ἄμοιρα· Καὶ τὰ μὲν σκιρτῶντα ταῖς μεταβάσεσι, τὰ δὲ δεσμῷ φύσεως προσηλωμένα τῇ γῇ. Ἔδει γὰρ τὸν πλοῦτον τῆς κτίσεως ἐν τοῖς κτιζομένοις ἐμφαίνεσθαι.

Ὁ μὲν ἐν τῆς κτίσεως οἶκος, ὅπερ ἔφθην εἰπὼν, φιλοκάλως ἀπήρτισο, καθάπερ τὶς θρόνος βασιλικὸς διακοσμηθεὶς περιμένων τὸν βασιλεύοντα. Ἔδει δὲ ἄρα καὶ ἄνθρωπον παραχθῆναι τὸν τῷ βασιλικῷ θρόνῳ προσήκοντα. Τί ἦν ὁ παίσοφος Δημιουργός; ἄμφω

τὰ

τὰ μέρη τῆς κτίσεως εἰς τ' αὐτὸ συνελκύσας, ἐκ γῆς μὲν αὐτῷ συναρμόζει τὸ σῶμα, ἀόρατον δὲ καθάπερ ἐν ξοάνῳ καλλωπισθέντι τὸν ψυχὴν ἐμπνεύσας τῷ σώματι, ἔμψυχον ἔσησεν ἀνδριάντα, πᾶσαν ὁμοῦ τὴν κτίσιν ἐν ἑαυτῷ περισφίγγοντα. Γνωρίζει δὲ τοῦτον τῷ Ἀγγέλων ἡ πολιτεία, τῇ τῆς ψυχῆς συγγενείᾳ τοῖς ἐκεῖ δήμιος ἐγγράφουσα. Περιπτύσσεται δὲ καὶ ὁ τῶν ὁρωμένων χορὸς, ἔργοις ὁμολογῶν τῆς φύσεως τὴν συγγένειαν, καὶ τὰς χεῖρας αὐτῷ γεωργῶν, τὸ γένος μαρτύρεται. Διὰ τοῦτο καὶ μηδέπω πλασθεὶς ἄνθρωπος, σκέψει τιμᾶται τοῦ πλάττοντος, καὶ βουλήμασι θείοις σεμνύεται· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· πρεσβυτέραν τῆς πλάσεως τὴν τιμὴν ὑποδέχεται· ἔπω ὁ πηλὸς συναρμόζεται, καὶ ὁ θρόνος παρασκευάζεται. Ποιήσωμεν ἄνθρωπον Θεοῦ μονογενοῦς οἰκητήριον· ποιήσωμεν τὸν Ἀδὰμ, ἀφ' οὗπερ τις δεύτερος Ἀδὰμ τῷ δημιουργῷ συγκαθεδήσεται· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Ἐνταῦθά μοι σύντεινον, ἀγαπητὲ, τὴν ἀκοήν· τῆς γὰρ συγγενοῦς φύσεως τὸν θησαυρὸν μεταλλεύομεν. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Μία μὲν εἰκὼν ἡ πλαττομένη, οὐχ ἑνὸς δὲ προσώπου μνήμη, ἀλλὰ βίων ὑποστάσεων. Κοινὸν γὰρ τῆς Θεότητος δημιούργημα τὸ πλαττόμενον, βιάδα μὲν ἐμφαίνει τὴν πλάττουσαν, μίαν δὲ εἰκόνα τῆς βιάδος ὑπάρχουσαν. Εἰ δὲ μία τῆς βιάδος ἡ εἰκὼν, μία τῶν βίων ὑποστάσεων ἡ φύσις. Τὸ γὰρ, αὐτὸν τῆς οὐσίας ἡ τῆς εἰκόνος σχότης κηρύττει. Πῶς γὰρ ἐν εἰκόνι μιᾷ διαφορὰ τοῦ ἀρχετύπου φύσεως διρεθήσεται; μία Θεότης, μίαν ἑαυτῆς εἰκόνα κατὰ τὴν φύσιν ἀνέστησε· διὰ τοῦτο τὸν εἰκόνος ἀξίᾳ τιμηθέντα, καὶ αὐτῇ κατασκευῇ τῆς πλάσεως κατεκόσμησε· τὰ μὲν γὰρ ἄλλα τῶν ζώων, ἢ τῷ ὅλῳ σώματι τῇ γῇ ἐπισύρεται, οὐ βαδίζειν, ἀλλ' ἕρπειν πληρωθέντα νόμῳ τῆς φύσεως, ἢ πρὸς τὴν γῆν κατακύπτει, τὸ μηδενὸς πλήρ-

ρον ἔχειν ἐν οὐρανῷ διὰ τὸ σχήματος μαρτυρόμενα· ἄνθρωπος δὲ μόνος ἐμφαίνει διὰ τῆς πλάσεως τὴν δύγσίειαν. Ὄρθιος πρὸς ἑρανὸν ἀνατείνεται, ποσὶ μὲν ψαύων τῆς γῆς, ὡς ἐν αὐτῇ τέως τρεφόμενος· τῷ δὲ προσώπῳ πρὸς οὐρανίους ἀψίδας αἰρόμενος, ἤδη δὲ καὶ χεῖρας ἐκτείνων, τὸν ἐν ἑρανῷ παῤῥίδα φαντάζεται τὴν τοῦ Παύλου, πρὸ τοῦ Παύλου φωνὴν ἀναπράζων· ἡμῶν τὸ πολίτευμα ἐν ἑρανοῖς ὑπάρχει. Ὡς ἐν θρόνῳ καθεζόμενος δείκνυσιν ἔργοις διὰ τῆς ἀξίας τὸν εἰκόνα τοῦ κτίσαντος, τοῖς πράγμασιν ὡς χώμασι τὸν πεποιηκότα μιμούμενος· κτίζειν γὰρ καὶ ἔπος ἐπιχειρεῖ, καὶ δημιουργεῖν ἐπιθυμεῖ, καὶ οἶκον συμπήγνυται, καὶ σκάφος τεκταίνεται, καὶ κλίνας ἁρμόζεται, καὶ ζάπεζαν πήγνυται, καὶ παίζων ἐν τῇ κτίσει, τὰς χεῖρας μιμεῖται τοῦ πλάσαντος. Πάλιν ἄνθρωπος πατὴρ γίνεται, καὶ υἱὸς ἀποτίκτεται τοῖς θείοις μόνος τετιμημένος ἀξιώμασι, καὶ ὀνόμασι, καὶ τὸν ἄχρονον πατέρα χρόνῳ, καὶ κλήσει μιμεῖται, καὶ υἱὸς μετ' ὠδῖνας ἐπονομάζεται, τὸν ἀπαθῶς υἱὸν εἰκονίζων ἐν πάθεσι. Πάλιν Βασιλεὺς ἀληθὴς, καὶ νομοθέτης Θεὸς, ᾧ μύριαι μὲν μυριάδες λειτουργοῦσιν Ἀγγέλων, μύριαι δὲ μυριάδες πειθαρχοῦσι προστάττοντι. Δείκνυσι δὲ καὶ ἔπος ἐν ὑπηκόοις κράτος, καὶ συνέχει νόμοις στρατόπεδον, καὶ δικάζει τοῖς ἀνθρώπων πλημμελήμασιν ἄνθρωπος, καὶ λόγον ἐκφέρει, καὶ ἀποφάσει σεμνύεται, ἐν τῇ τῶν πραγμάτων σκιᾷ τὸν ἀληθῆ βασιλέα χηματιζόμενος. Ἀλλ' ὁ μὲν πλάστης τοῦ πλάσαντος περιῤῥέων τὴν ἀνθρωπότητα, κυμαίνει ταῖς χερσίν· ἡμῖν δὲ νυνὶ συστέλλει τὸν λόγον ὁ καιρός. Λύθις δὲ τὸ χρέος ὑμῖν ἀποτίσομεν, συνεργούσης τῆς χάριτος ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟ-

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΔΑΜ.

Οἶδα χρεώστην ἐμαυτὸν τῆς κατὰ τὸν Ἀδὰμ διδασκαλίας χειρογραφήσας, καὶ τὸ χρέος ἐπιγινώσκων τῷ μεγέθει τῶ χρέους παράττομαι· ἀλλ' ἐπειδήπερ σφοδροὶ μὲν ὑμεῖς ἐρασαὶ μαθημάτων, καὶ τῆς ὑποχέσεως ἀπαιτηταὶ δεινοὶ καθεστήκατε, ἡμεῖς δὲ πρὸς καταβολὴν ἀσθενεῖς, φέρε τὸν Δεσπότην Χριστὸν συνεργὸν γενέσθαι πρὸς τὴν ἀπόδοσιν αὐτῷ ἱκετεύσωμεν. Εἰ δὲ χαίρει τὰ τῷ ἁμαρτιῶν ἔγγραφα σχίζων, πολλῷ πλέον δύφραίνεται τὰ τῆς διδασκαλίας συγκαταβάλλων ὀφλήματα. Δεῦρο δὴ ὦν, ἀγαπητὲ, τῇ κατὰ τὸν Ἀδὰμ συγγραφῇ τὸν νῶν ἀσχολήσωμεν· εὔκαιρος γὰρ ἡ περὶ τούτου κατάνυξις· ἐπειδὴ καὶ ταύτην ἐν Παραδείσῳ μετὰ τῆς ἄλλων φυτῶν φυλάττειν ὁ Ἀδὰμ ὑπεδέξατο· καὶ τῇ τῆς ἀπολαύσεως ἐξουσίᾳ καὶ ὁ τῆς νηστείας νόμος πρὸς αὐτὸν ὑπεγράφετο. Ἀπὸ παντὸς μὲν ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. Πρώτη Βασιλέως διάταξις, τροφὴν χαριζομένη, καὶ νηστείαν νομοθετοῦσα· ἔχε φησὶ τῆς ὅλων τῶν ἐξουσίαν, ἑνὸς ἀφίσασο μόνου· ἡ χεὶρ ἐκτεινέσθω πρὸς ἅπαντα, καὶ συσελλέσθω πρὸς ἕν. Οὐ φθονήσας ἐκώλυσα τοῦ ἀπόλαυσιν, οὐδὲ ἐμαυτῷ τοῦ βρῶσιν ταμιεύομενος· ἐμοὶ μὲν φύσις ἀνενδεὴς, καὶ πρὸς ἅπαν πάθος ἀχείρωτος. Ἀλλ' ἵνα ἐννοῶν τὸν κωλύσαντα, γνωρίσῃς τὸν χορηγήσαντα· καὶ ἡ τοῦ ἑνὸς ἀποχέρησις, γένηταί σοι τοῦ τὰ ὅλα δεδωκότος ὑπόμνησις, ἵνα μὴ παύσθῃ ἡ τροφὴ περιῤῥέουσα, λησθῇ τοῦ μνήμου τῆς χάριτος, ἵνα μὴ τῇ ἁπλησίᾳ τῆς βρώσεως ὀλισθήσῃς πρὸς ἄγνοιαν. Τὰ μὲν ἄλλα τῇ ζώων ἔθνη καὶ γένη διαπλάττων ὁ Δημιουργὸς, νόμοις ἀκινήτοις ἔδησε φύσεως, καὶ προαίρεσις οὐκ ἔστιν αὐτοῖς ἐπ' ἄμφω τοῦ ἐξουσίαν μερίζουσα, οὐδὲ λογισμὸς διάκρι-

σις ζυγοσατῶσα τῷ πραπτέων τιὼ αἵρεσιν· ἀλλ' ὁμοῦ τε κελεύει φύσις, καὶ εἰς τὸ πράττειν ἐπείγεται, μὴ πολυπραγμονῆντα τὸ πρόσαγμα. Ἄνθρωπος δὲ λόγῳ τετίμηται, καὶ προαιρέσει κεκόσμηται, καὶ αὐτεξουσίῳ γνώμῃ ἁρπάπτει, βελήματι ἀδούλωτον ἔχων τὸ φρόνημα, αὐτοδέσποτον ἔχων τὴν πρόθεσιν, ἀβίαστον δεικνὺς τῷ πραπτέων τιὼ αἵρεσιν. Ἐντεῦθεν τὸ μὲν ἐκλέγεται, τὸ δὲ πρὸς τὸ δοκῶν παραπέμπεται· καὶ τὸ μὲν ἀποστρέφεται, τῷ δὲ προσίθεται· καὶ βασιλεύων αὐτεξουσίῳ βουλεύματι, πλατεῖ ταῖς τῆς γνώμης αἱρέσεσι. Διὰ τῶτο δεδὼς νόμον Θεὸς, ἐκ ἀνάγκην πρὸς τὸ πράττειν προσίθησιν, ἀλλ' ἐντέλλεται τὰ δοκοῦντα, καὶ τῷ θέλειν τιὼ πρᾶξιν ἀφίησι. Κᾂν ὁ προστατόμενος παραδράμῃ τὸ πρόσαγμα, ἐδ' ὅπως μεταλλάττει τιὼ φύσιν, οὐδὲ νόμοις ἀνάγκης δεσμεύει τὸν παρακάσαντα, ἐδὲ ἀφαιρεῖ βίᾳ τιὼ χάριν, οὐδὲ περιαπᾷ τὸ δῶρον ἀνάγκη, ἐδὲ νοθεύει τιὼ γνώμιω παραξένων τὴν φύσιν· ἀλλ' ἐῶν τὸ τῆς λογισμῶν αὐτοδέσποτον, σωφρονίζει τιμωρίαις τὸν πλημμελήσαντα. Τῷ δὲ κρατοῦντι λογισμῷ τὰς τοῦ σώματος ἡδίας ἐπέτρεψε, καὶ καθάπερ ἅρματι τῷ σώματι τὴν ψυχὴν ἡνίοχον ἐπισήσας, τὸ δρόμον τῆς ἀρετῆς ἐλαύειν παρακελεύεται. Ἐνταῦθα τίνυν, εἰ μὲν νήφων ὁ λογισμὸς ἀνέχῃ τὰς ἡνίας τῶ σώματος, ἔχει δρόμον προξενῆντα τὸν στέφανον· ἐπινυσάξας δὲ καθάπερ ἵπποις τοῖς πάθεσιν, ἔλαθεν ἑαυτὸν κατὰ κρημνῶν, καὶ δυχωρείας φερόμενος, καὶ τελευταῖον καταβληθεὶς, ἕλκεται κεκονισμένος, αἰχμάλωτος ἅρματος οἰκεῖα γενόμενος, καὶ συρόμενος κέκραγε· ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἀπὸ τῶ σώματος τῶ θανάτω τέτω; προδὰς γὰρ ῥᾳθυμίᾳ τιὼ δεσποτείαν, γίνεται δῆλος παθῶν· καὶ πάθεσιν ἀλογίστοις ὁ λογισμὸς παραχωρήσας τὸν θρόνον, δῆλος ἠλέγχθη τέτων, ὑφ' ὧν ἐτάχθη δουλεύεσθαι. Πρὸς τοίνυν τοῖς ἄλλοις, οἷς Θεὸς τιμήσας τὸν ἄνθρωπον φαίνεται, καὶ λογισμῶ αὐτεξουσίω δωρεᾷ ἀμ-

φιέ-

φιέσας, δέδωκε νόμον αὐτῷ, γυμνάζων τὴν αἵρεσιν. Καὶ καθάπερ ἐν δέλτῳ, τῷ φυτῷ διαχράψας τὴν ἐντολὴν, τὴν σύδον κρυπτομένην διάγνωσιν ἀνεκίνησεν, ὑπακοῆς καὶ παρακοῆς διαφορὰν ἐπὶ τοῦ ξύλου προσχράψας. Ἐντεῦθεν γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον ἐπονομάζεται· ἀφ' ὧν γὰρ ἔπος ἐδιδάχθη, ὑπὸ τούτων τὸ ξύλον ἐκλήθη, καὶ ἡ τότε διδασκαλία τοῦ φυτοῦ προσηγορία. Ἐκεῖ γὰρ, ὡς ἔφην, τῷ Ἀδὰμ ἡ γνῶσις ἐμελετᾶτο, καὶ τὸ λογικὸν ἐγυμνάζετο· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. Εἶχε τὴν ἀπόλαυσιν ἄμεμπτον, στῆσον μόνον τὴν χεῖρα πρὸς ἄτοπον βρῶσιν ἐπιγινομένην. Δεῖξον τῇ τοῦ νόμου φυλακῇ τὴν τοῦ Νομοθέτου τιμήν. Ἴδω τὴν γνώμην, ἵνα θαυμάσω τὸ φίλτρον. Δίδου μοι χάριν, τὴν χεῖρα συστείλας. Τὸν ὅλον Παραδείσου Δοτῆρα, ἑνὸς ξύλου μόνου προτίμησον. Σὲ δικαστὴν τῆς ἐμῆς ἐποιησάμην τιμῆς. Ἀμείβου τὸν διεργέτην περιφρονήσει τῆς γεύσεως. Διὰ τοῦτό σοι τὸν θανάτου φόβον τῷ νόμῳ προσήνεγκα, βοηθοῦντά σοι πρὸς τὴν παράνομον ὄρεξιν, κἂν ὁ λογισμὸς πρὸς αὐτὴν ὀλισθαίνῃ, τῷ φόβῳ στηρίζεται. Νεῦρον γὰρ πρὸς ἐγκράτειαν ὁ τῆς παραβάσεων φόβος. Σὺ δὲ μὴ φόβῳ τὴν τιμὴν, ἀλλὰ πόθῳ προσένεγκε. Φυτὸν γενοῦ μείζον τοῦ Παραδείσου λαμπρότερον. Δρέψομαί σου κἀγὼ τὴν ὑπακοὴν, ὡς καρπὸν ἀγαθὸν τῆς προαιρέσεως. Προσένεγκέ μοι δῶρον τὴν γνώμην. Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ. Πλάτυνον τῆς ἐπιθυμίας τὰς ὁρᾶς· νικᾷ γάρ σε τὴν χρείαν, ἡ τῆς χορηγείας δαψίλεια. Ἀντὶ πλάτους ταῖς ἐπιθυμίαις Παράδεισος· ἀλλ' ὅπου τὸν νόμον γεγραμμένον ὁρᾷς ἐκεῖ τὸν πόθον ἀνάστελλε. Παραιτοῦ ἀφὴν τῆς ξοφῆς, ὡς ζωῆς ὀλεθρίου· ἀπόστρεφε τὸ βλέμμα χειραγωγοῦν πρὸς παράβασιν· φεῦγε τὴν θέαν, ἵν' ἔχῃς τὸ σώζεσθαι. Ἀπὸ παντὸς ξύλου τοῦ ἐν Παραδείσῳ βρώσει φαγῇ.

Ἀκο-

Ἀκόλαθος ὁ νόμος τῷ χρόνῳ, πρόσφορα τῷ καιρῷ τὰ ἐντάλματα. Ποῖον γὰρ ἂν νόμον ἥρμοσε; τὸ μὴ φονεύσῃς; τίνα; καὶ διατί; μὴ κλέψῃς; τὰ τίνος; καὶ μὴ μοιχεύσῃς; τίνι τίνος; ποῖον γὰρ ἂν αὐτὸν κάλλος βέλος ἐπόξευσεν ἕτερον, ἵνα τὴν βολὴν φυλαξάμενος, φύλαξ γένηται τῶν προσάγματος; Τέως μενοῦν ὁ Ἀδὰμ ἀκινδύνως ἀπήλαυε, καὶ ὧν ἀβλαβὴς ἡ τρυφὴ, ἄμικτος ὀφιώδους ἰοῦ. Ἀλλ' ἤγειρεν ἡ θέα πρὸς βασκανίαν τὸν διάβολον, καὶ πλησεὶς οἷς ἔβλεπεν, ἀντιπλήττειν πειρᾶται τὸν πλήττοντα. Εἶδε πάσης κτίσεως ὄξεσίαν ἀμέριστον· εἶδε θαλάττης δεσποτείαν ἐγχειρισθεῖσαν, ζώων ὑποκυπτόσας ἀγέλας, Παράδεισον οἰκητήριον, νύμφην χειρὶ πλαττομένην Θεοῦ· προῖκα διδομένην τὴν κτίσιν, νυμφοσολοῦντα Θεόν· καὶ φθόνῳ βαλλόμενος, ὅπλον ὁ θηριώδης ἐνδύεται. Ὄφεως λιμὸς, μὴ τὴν τοῦ ἀέρος λιμοχείαν καθίσαται, πράξεσιν ἀτίμοις ἐπισυρόμενος. Ὁ τῷ προσκρούων Θεῷ, καὶ πρὸ τῆς τιμωρείας, τιμωρίαν ἔχει τὴν ἀτιμίαν. Οὕτω τοίνυν ὄφεως ὑποκριτὴς γεγονὼς, πρόσεισι τοῖς ἐπιβαλλομένοις, τὸν κηδεμόνα μιμέμενος, καὶ τῷ Ἀδὰμ τέως ἀφεὶς τὸ τῆς συζυγίας δύχειρωτον, ἕτερον περιεξέρχεται μέρος· ἀπὸ τῆς πλευρᾶς τοιχωρυχεῖν τὸν ἄνθρωπον ἄρχεται. Τί ὅτι εἶπεν ὁ Θεὸς, οὐ μὴ φάγητε ἀπὸ τοῦ ξύλου τοῦ ἐν τῷ Παραδείσῳ; Ὑποκείνεται φιλανθρωπίαν ὁ πρὸς φόνον δραμὼν, καὶ συγκρούειν ἐπιχειρεῖ τὸν οἰκέτην πρὸς τὸν Δεσπότην, συμπαθείας προχήματι. Εἶδον ὑμᾶς, φησὶν, ἐν ἀγαθῶν περιουσίᾳ τυχεῖν ὃ πολμῶντας, καὶ συμπαθήσας ἐλήλυθα· εἶδον ἐν μέσῳ Παραδείσῳ λιμώττοντας, καὶ τοῦ λύπου μεμιζόμενος ἦλθον. Τί γὰρ, εἰπέ μοι, βουλόμενος ὁ Θεὸς τοῦ βρῶσιν ἐκώλυσε; τί δείξας τὴν θέαν, τῆς πείρας ἐσέρησε; τίνι ταμιεύεται τὴν ἀπόλαυσιν; τίνι φυλάττει τὸ δῶρον, ὑμῶν ἀφαιρούμενος; ἄμεινον ἦν, εἰ μὴ ἐδεδώκει, ἢ δεδωκὼς ἐκώλυσε. Παράδεισον ἔδωκε, καὶ τὴν βρῶσιν οὐ συνεχώρησε; Ταύταις

ταῖς

ταῖς φωναῖς τὴν ἀκοὴν ὑπεργάζεται, καὶ πολιορκεῖ τὸν λόγον, καὶ κυμαίνει τῷ γνώμην. Ἔπληξε τὴν ἀκοὴν, ἵνα βλάψῃ συνείδησιν. Ἀλλ' ἀποκρίνεται πρὸς τὸν ἐπίβουλον ἡ γυνὴ, καὶ διορθοῦσθαι τὸν ἐπιβουλεύοντα βάλλεται. Τί σαυτῇ, ὦ γύναι, μολύνεις ταῖς ἀποκρίσεσιν; ἐφώρασας τὸ ψεῦδος; φεῦγε τὸν τῆ ψεύδει ἐργάτην, ἀποστρέφου τὸν τῆ ψεύδει πατέρα, ἀντίσηκον αὐτῆ ταῖς μηχαναῖς τῷ σιγῇ, ἄφραστον αὐτῷ ποίει τὸ βέλος, τὴν ἀκοὴν ἀποφράξασα. Ἀπὸ παντὸς, φησι, ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγόμεθα, ἀπὸ δὲ τῆ ξύλου τῆ γινώσκειν καλὸν καὶ πονηρὸν, εἶπεν ὁ Θεὸς, οὐ φαγόμεθα ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε. Ἐγύμνωσας σαυτὴν, ὦ γύναι, τῷ ὅπλων, Θεῆ φωνῇ τῷ διαβόλῳ καταπιστεύσασα. Τί ἦν ἐκεῖνος; ἐ θανάτῳ φησὶν ἀποθανεῖσθε. Ὦ γνώμης μιαρᾶς, καὶ φωνῆς τολμηρᾶς! Θεὸς τοῖς παραβᾶσι θανατον ἀποφαίνεται, καὶ διάβολος ζωὴν τοῖς παρανομοῦσιν ὑποπαγγέλλεται· ἐ θανάτῳ ἀποθανεῖσθε. Κλέπτει τῆ θανάτου τὸν φόβον, ἵνα λησθῇ τῆς ἐντολῆς τὴν ἀσφάλειαν. Νοθεύει τὴν τιμωρίαν, ἵνα πρὸς παρανομίαν προβέψηται. Σαλεύσας τὸν φόβον, γυμνώσας τῆς τιμωρίας, σαλπίζει τὸν κατὰ Θεῆ πόλεμον. Ἤδει γὰρ ὁ Θεὸς ὅτι ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτῆ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. Φθόνῳ, φησὶν, ὑμᾶς, ἐ πόθῳ τῆ δένδρου κεκώλυκεν. Ἀπεσέρησε βρώσεως, ἵνα κωλύσῃ θεότυπος. Τί ἦν φεύγεις, ὦ γύναι, φυτὸν, δι' ὃ γεύσῃ Θεός; τί παραιτεῖσθε βρῶσιν, δι' ἣν ἴσοι τῷ προστάξαντι γίνεσθε; ἀληθῶς ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς· ἐπειδὴ γὰρ δυσὶ τούτοις τοῖς περὶ τὸν Ἀδὰμ ὁρῶν ὠχυρωμένοις, θανάτου φόβῳ, καὶ ζωῆς ἐπαγγέλμασιν, οἷς αὐτοὺς ὁ Θεὸς προλαβὼν ἠσφαλίσατο, μιμεῖται τὰ αὐτὰ καὶ αὐτός· καὶ τῷ μὲν θανάτῳ τὸ, οὐκ ἀποθανεῖσθε, προβάλλεται, ἀντὶ δὲ τῆ ξύλου τῆς ζωῆς, ἰσοθέοις ἐλπίσιν

ἐπε-

ἐπτέρωσεν, ἵνα λύσας τὸν φόβον, καὶ ταῖς ἐλπίσι φαντάσας, δικόλως συλλύσῃ τὸ πρόσαγμα, ἐργαστήριον παραβάσεως τὸν Παράδεισον ἐργαζόμενος. Ἔσεσθε ὡς Θεοί. Ταύτῃ μοι παρατήρει τῆς λέξεως τὴν ἐπιβελήν, ἀδελφὲ, πάσης ἀσεβείας μητέρα καὶ ῥίζαν ὑπάρχουσαν. Ἑλληνισμὸς γὰρ δι' αὐτῆς ἐβλάστησε, καὶ αἱ τῆς ἀσεβείας αἱρέσεις ἐντεῦθεν ἐτέχθησαν. Τοῦτο γέγονεν αὐτῷ πρωτότοκον κατὰ τῆς ἀληθείας μηχάνημα, τὸ πεῖσαι δυνηθῆναι τοὺς ἀνθρώπους γενητὸν τὸ Θεῖον νομίζεσθαι. Τοῦτο πρὸς τὴν τῶν εἰδώλων ταπείνωσιν τὴν τοῦ Θεοῦ πλῆσιν κατήνεγκε. Διὰ ταύτην τὴν φωνὴν τὴν κτίσιν εἶναι Θεὸν ἐφαντάσθησαν. Διὰ ταύτην καὶ Ἄρειος τὴν φωνὴν, κτίσμα τὸν Υἱὸν δογματίζειν ἐτόλμησε. Διὰ ταύτην Εὐνόμιος τὸν Υἱὸν ἐξ οὐκ ὄντων ἀπεφήνατο. Διὰ ταύτην Ἀπολινάριος τὸν Θεὸν ἄνθρωπον γενέσθαι νενόμικεν. Ἄνελε τὸ, ἔσεσθε ὡς Θεοὶ, καὶ πρόῤῥιζος Ἑλληνισμὸς ἀναρπάζεται. Ἄνελε κτίσμα τὸ Θεῖον νομίζεσθαι, καὶ πᾶσα πέπτωκεν αἵρεσις, ὑφ' ἣν πολεμοῦσα. Ἐκεῖνον ἔχουσιν ἐργάτην οἱ γένεσιν καὶ σύνθεσιν καὶ πάθος τῷ Θείῳ προσάπτοντες· ἔσεσθε ὡς Θεοί· φαντάζει θεότητα, ἵνα καταδικάσῃ θνητότητι, καὶ εἶπεν ἃ ἤθελεν· εἶδε γάρ, φησιν, ἡ γυνὴ, ὅτι ὡραῖον τὸ ξύλον εἰς βρῶσιν· καίτοι καὶ πρότερον ἔβλεπεν, ἀλλ' ἐκαθάρθη τὰ πάθη τότε τὸ βλέμμα. Ἀδέλωτον εἶχε τότε τὸν λογισμὸν καθαρότητι· τῆς δὲ ψυχῆς πεδηθείσης, ἐκοινώνει τὰ πάθη ἡ θέα. Οἷα γὰρ τῆς ψυχῆς τὰ βεβλάμματα, τοιαῦτα τὰ σώματος τὰ κινήματα. Εἶδεν ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν. Ὧν οὐκ εἶχε τὴν πεῖραν, τούτων θαυμάζει τὴν γεῦσιν· καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς. Τί ποιεῖν ὤφελεν; θάλπειν ἐπάχθης, καὶ ἐπιβουλεύειν ἐπήχθης; κοινωνὸς τῆς ζωῆς ἐπλάσθης, καὶ θανάτου πρόξενος ἀπελέγχθης; μέλος ἐλήφθης, καὶ ὡς βέλος ἐπέμφθης; Τί ἦν τὸ τέλος; καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυ-

ἑαυτοῖς περιζώματα. Ἤδη τὸν καρπὸν τῆς ἀπάτης ἐ-
ζύγησαν· ἔρραψαν φύλλα συκῆς. Αὐτοὶ γυμνωθέν-
τες, γυμνοῦσι τὰ δένδρα. Περὶ φυτὸν πλημμελήσαν-
τες, παρὰ φυτῷ τῷ σκέπῃ δανείζονται.

Ἐν τούτοις μὲν ἦν οἱ τῆ γενέσ πατέρες· ἐγέλα δὲ
ἄρα ὁ Διάβολος, αἰσχύνῃ μολυσας τῆ Θεῆ τῷ εἰκό-
να. Τοιαῦτα γὰρ τῆ Διαβόλε τὰ μηχανήματα. Μεθ' ἡ-
δονῆς τιτρώσκει, κὴ μετ' αἰσχύνης ἐλέγχει· ὠθεῖ πρὸς
πῶσιν, κὴ σκληρύνει πεσόντας. Οἰκτείρας δὲ τὴν ἀ-
πάτην Θεὸς, πρὸς διόρθωσιν ἔρεχεν. Ἔρεχε δὲ, οὐ
τύπον ἀμείβων, ἀλλὰ διά τινος φοβερᾶς ὄψεως τὴν πα-
ρρησίαν πιεζόμενος. Οἱ δὲ τῷ φόβῳ πληγέντες, ἑαυτὲς
κατηγόρες, κὴ μάρτυρας τῆς παραβάσεως ἔχοντες, φυ-
γὴν ἑαυτῷ καταψηφίζονται. Φοβήσας δὲ τῷ τῆ περι-
πάτε κτύπῳ Θεὸς, τῇ κλήσει φιλανθρωπίζεται, λέ-
γων· Ἀδὰμ, Ἀδὰμ, ποῦ εἶ; ὦ φιλανθρωπίας δε-
σπότου! ὡς ἀγνοῶν ζητεῖ, ὃν αὐτὸς ἐφυγάδευσε, κὴ
ὡς οὐχ ὁρῶν καλεῖ ὁ τοῖς πᾶσι παρών. Ἀδὰμ, Ἀ-
δὰμ, ποῦ εἶ; ποῦ μοι τῷ ἐμῶν χειρῶν τὸ πλασούρ-
γημα; πῆ τῆς ἐμῆς ἀξίας ὁ ἔμψυχος ἀνδριάς; ποῦ
τῆς ἐμῆς φυτουργίας ὁ φύλαξ; Ἀδὰμ, Ἀδὰμ, ποῦ
εἶ; θρυπτώδης ἐκ φιλοσοργίας ἡ κλῆσις. Πῆ εἶ; ποῦ
σοι τῆς ἐμῆς ὁμιλίας ἡ παῤῥησία; ποῦ σοι τῆς πρὸς
ἐμὲ συνηθείας τὸ θάρσος; ποῦ σοι τὸ τῆς ἀξίας ὕ-
ψος; αὐτὶ φίλε δραπέτης; Φαίνθι καλοῦντι· δεῖξον τῷ
ἀξιῷ τὸ τῆς παραβάσεως ἕλκος· δεῖξον τῷ πλη-
γῷ τῆς γυμνώσεως. Ἔχω γὰρ φάρμακα, τοῦ ἕλκους
ἰσχυρότερα· ἔχω βοηθήματα, δι' ὧν θεραπεύ-
σω τὰ τῆ ὄφεως δήγματα. Τούτοις θαρσήσας τοῖς ῥή-
μασι, προκύπτει κρυπτόμενος, κὴ τολμᾷ τὴν ἀπόκρι-
σιν, τοιαῦτα καθ' ἑαυτὸν βεβουλευμένος· ὅλως ἀξιοῖ με
κλήσεως ὁ Θεὸς, κὴ φωνῇ μεταπέμπεται, κὴ ὁ σκη-
πτὸν ἐπαφίησιν, ἐκ ἐπάγει θάνατον, ὃν κὴ προπεί-
λησεν. Οὐκοῦν ἐπακούσω βοῶντος, μὴ προακούσας νο-
μοθετοῦντος. Τῷ φωνεῖ σε ἤκουσα περιπατοῦντος, κὴ

ἐφο-

ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. Οὐ χρεία μοι ῥημάτων κατηγορούντων, αὐτοπρόσωπον φέρω τῆς ἁμαρτίας ἐν τῇ γυμνώσει κατήγορον. Τί ἦν ὁ Θεός; τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ; εἰμὴ ἀπὸ τοῦ ξύλου, ἧς ἐνετειλάμην σοι τότε μόνου μὴ φαγεῖν, ἀπ' αὐτῆς ἔφαγες; Ὡς δικαστὴς ἦλθε, καὶ ὡς ἰατρὸς ἐρωτᾷ, καὶ δικάζειν ἐλθὼν, ὡς φίλῳ προσομειδίζει· αὗται λέγων, τῷ παρ' ἐμοῦ σοι δωρεῶν αἱ ἀμοιβαί; ταῦτα τῷ παρεχημενίων τὰ χαριστήρια; Οὗτος μενοῦν ἀπολογίας ἀπορεῖ, καὶ πρὸς τὴν γυναῖκα μεταφέρει τὸ πλημμα, τὴν τῆς βίου κοινωνίαν τῆς ἐγκλήματος ποιησάμενος αἰτίαν. Ἡ δὲ πρὸς τὸν ὄφιν μεταφέρει τὰ παίσματα. Θεὶς δὲ σωφρονίζων τὸς ἀπατηθέντας, πολάζει τὸν ἀπατήσαντα. Εἶπε γὰρ Κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῷ κτηνῶν τῆς γῆς· ἡ μὲν ἀπόφασις κατὰ τοῦ φαινομένου ὄφεως φέρεται, ἡ δὲ τῆς ἀποφάσεως πόλασις κατὰ τοῦ ὑποκειμένου ἐκπέμπεται· διὸ ὃν μὲν ἠπάτησε, διὰ τοῦτο πολάζεται. Τῇ δὲ γυναικὶ εἶπεν· ἐν λύπαις τέξῃ τέκνα· ἡ τοῦ τῆς ἐντολῆς καρπὸς μὴ φεισαμένη, περὶ τοὺς ἑαυτῆς ἀνιάσῃ καρπούς. Τῷ δὲ Ἀδὰμ εἶπεν· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ξυφῆς ἐφαίνης ἀνάξιος, τοῖς περὶ γῆν ἱδρῶσιν ὑπάρξεις κατάρατος, καὶ πόνοις μεβήσας τῆς ζωῆς σου τὸν χρόνον, τάφον εὑρήσεις τοῦ βίου διάδοχον. Αὕτη τῆς κατὰ τῶν προγόνων καταδίκης ἀπόφασις. Σὺ δὲ μὴ ῥίπτῃς τὰς τῆς σωτηρίας ἐλπίδας· ὃν γὰρ ἔσησεν ὁ Θεὸς ἄχρι τῆς κατάρας τὰ φάγματα· καὶ ἀφῆκε χρηστῆς ἐλπίδος ὁ Θεὸς τὴν φύσιν χηρεύσασαν. Χρηστὸν γὰρ παρρησία τῆς τοῦ πλάσαντος λαιμαργίας ἰσχυροτέρα· καὶ τῆς τῶν ἀνθρώπων διὰ παρανόμου βρώσεως ἀπατηθείσης, τὴν τῶν ἀνθρώπων ἀπαρχὴν ὁ μονογενὴς ἐνεδύσατο, καὶ τὸν δεύτερον Ἀδὰμ περιβάλλεται, φαρμάκοις ἐναντίοις θεραπεύων τὰ ξαύματα· ἀντέστησε Παραδείσῳ τὴν ἔρημον, τῇ ξυφῇ, τὴν νηστείαν, τῇ διὰ βρώσεως ἀπάτῃ, τὸ ὀρθὸν ἀνθρώπου κατὰ τοῦ Διαβόλου ξόπαιον.

Ἀν-

Ἀντὶ τῆς Εὔας, Παρθένον χωρεῖς καπάρας ὠδίνουσαν, καὶ τόκον παρθενικὸν λύπης ἀρχαίας ἐλεύθερον, καὶ κόρῳ ἀνύμφευτον, ἀθανάτου Νυμφίου γεννήσασαν. Οὕτως ὁ δεύτερος Ἀδὰμ ἀπετέχθη, ἀντὶ Παραδείσου εἰς Οὐρανὸν ἀνιωέχθη· ἐκεῖθεν τοξεύει τὸν ὄφιν, παρὰ τῆς Παρθένου ἐπαπειλῶν· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν τεθῶσιν οἱ ἐχθροί σου ὑποπόδιον τῶν ποδῶν σου· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1878

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΝΩΕ.

Ὅσος εἶεσι Θεῷ φρὸς μὲν δικαιοσύνην πόθος, φρὸς δὲ ἀδικίαν ἀπέχθεια, κηρύττει περιφανῶς ἡ κατὰ τὸν Νῶε διήγησις. Ὁ μὲν γὰρ ὅτε μόνος ἐν ναυαγέσῃ τῇ κτίσει περιεσώζετο, συνέμπορον εἰς σωτηρίαν τὴν δικαιοσύνην ἁράμενος, τοιαύδε πολυανθρώποι δῆμοι πελάγεσιν ἀφειδῶς κατεκλύζοντο, ταῖς τῆς ἀδικίας κολάσεσι βυθιζόμενοι. Καί μοι δοκεῖ τῷ μελλόντων κριτηρίων, καὶ τῆς ἑβδόμης καὶ φρικώδους ἡμέρας εἰς τὴν πίστιν καὶ μνήμην ἀγαγεῖν ὁ Θεὸς τοὺς ἀνθρώπους βουλόμενος, τὸν παύδημον ἐκεῖνον εἰργάσατο κίνδυνον, ἵν' ἡ ὄψις μαρτυρέσα τοῖς πάθεσι, φυλάττῃ τὸν φόβον εἰς σωτηρίας ἐφόδιον· ἵνα τοσαύτης κολάσεως τὴν ἀσέβειαν μητέρα γινώσκοντες ἄνθρωποι, δέει τῆς τιμωρίας τὴν φυγὴν φραγματόωνται. Εἰ γὰρ ὁ τῷ ἀγώνων τέως καιρὸς, καὶ τὸ βίᾳ τὸ σάδιον, τοσοῦτον τοῖς πταίουσιν ὠφέγκε κίνδυνον, πόσῳ, ἢ ποίαν ἡ τῷ βεβιωμένων ἀντίδοσις, ἑκάστῳ φροξενήσει τινὶ κόλασιν; ὅταν γὰρ ὑπερβλήσῃ τῆς πονηρίας τὸ μέτρον, τότε πολλάκις καὶ τῆς τιμωρίας ὁ κριτὴς ἐντεῦθεν ἀπάρχεται· ἐκ ἀπανθρωπίᾳ κινούμενος ὁ φιλάνθρωπος, ἀλλὰ κακίαν αὐξηθεῖσαν ἀνασέλλειν βουλόμενος. Ἁπάντων τοιγαροῦν ἀνθρώπων κατ' ἐκεῖνο καιρὸ φρὸς ἀσέβειαν ἐκνδυσάντων, καὶ μίαν συμφωνίαν εἰς τὴν κατὰ τὸ πεποιηκότος ἀναλαβόντων παράταξιν, ἐκ ἄλλη τις ἄτοπος, ἢ ἔκφυλος ἀπελέλειπτο τόλμα· ἀλλὰ πᾶσαι μὲν ἀνετέμνοντο πλεονεξίας ὁδοὶ, καὶ πονηρίας αὐτῆς κεκαινούργητο τρόπος. Θρασύτητα δὲ, καὶ ὠμότητα καθάπερ ὅπλα τῇ ψυχῇ περιθέμενοι, τέτοις ὀργανοις κατ' ἀλλήλων ἐκέχρωντο. Ποῖον μὲν γὰρ ἀδικίας εἶδος, ποῖος δέ τις ἐν αὐτοῖς ἀκολασίας οὐκ ἐπολιτεύετο τρόπος; Ποία παρανομία παρὰ τέτοις ἐκ ἐνομίζετο νόμος; τῇ τῷ σωμάτων πλεονάντες δυνάμει, τὸν τῆς ἰσχύος δοτῆρα διὰ ἀπο-

ποιοίας καθύβριζον. Τότε φθορὰ τῆς γῆς, καὶ λοιμὸς ἔμψυχος, κατακλυσμῶ πρὸς κάθαρσιν μόνον δεόμενος· ἅπαντας μιμητὰς ἀληθῶς εἶχε καὶ κληρονόμους ὁ Καΐν. Οὐδὲ ὁ ξόμος ἐκείνῳ τῷ σώματι περικείμενος τὰς ὁρῶντας κατέσκλων, ἀλλ' ἡ τῆς γνώμης ἀπόνοια, καὶ τὰ πάθη τὸν φόβον παρέβλεπον. Οὐδεὶς ἐν αὐτοῖς τὸν φιλόθεον Ἄβελ ἐζήλωσεν, ἀλλὰ νεκρὸν ἡγοῦντο τῶ ἀρετῶ, τῶ καὶ ἐν νεκρῷ φθεγγομένῳ τῷ σώματι. Εἰδέ τι λείψανον ἀρετῆς ἐν αὐτοῖς κατελέλειπτο, καὶ τοῦτο ταχέως δι' ἐπιμιξίας ἐσβύνυτο, καὶ τῆς ἀτόπων ἡ μίμησις ἅπαν χρηστότητος ἴχνος ἀπήλειφε. Τοιούτῳ δὲ φθοροποιῷ λοιμῷ κατεχομένης τῆς κτίσεως, καὶ λύθρῳ ψυχῶν καὶ σαρκῶν μολυνομένης, ἐδυσφόρουν μὲν τῆ Ἀγγέλων αἱ τάξεις, καὶ τῆς ἀνομίας τῶν πυρκαϊῶν ἐπωδύροντο· ἤχαλλον δὲ κολάσεως βραδυνούσης, καὶ τὰς τῆς κτίσεως δυσχερείας ἀναχαιτίζειν ἐβούλοντο, κατὰ τὴν Παύλου φωνῶ. Τῆ γὰ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα. Ὡς δ' ἂν ἀνίατον λῶ τὸ δεινὸν, καὶ ἡ νόσος ηὐξάνετο, καὶ τὰ τῆς ἀσεβείας προέκοπτε, κινεῖται πρὸς κάθαρσιν τῆ πραττομένων τὸ Θεῖον, καὶ προκηρύττει κατακλυσμὸν, τὰ ῥεύματα τῆς ἀσεβείας σῆσαι τῆ φόβῳ βαλόμενος. Καὶ προσείζει τὸν χρόνον, καὶ μετανοίας πήγνυσι μέτρα, καὶ προλαμβάνει τὴν νόλασιν, ἰδεῖν τὸ ξόπον τὴν μεταβολὴν μηχανώμενος. Καὶ τί φησιν; Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Οὗτος τῆς τιμωρείας ὁ φόβος· ἐπάγει καὶ τῆς μετανοίας τὸν ὅρον, εἰπών· ἔσονται δὲ αἱ ἡμέραι αὐτῆ. Δίδωμι φησὶ τῆς μετανοίας τὸν χρόνον, ἵνα ἴδω τὸν ξόπον μεταβαλλόμενον, καὶ συμπλατύνω τῆ προλαβάσῃ κακία τῆς ἐμῆς φιλανθρωπίας τὰ διασήματα. Ὅσῳ τὸ πάθος ἐσκλήρωται, τοσούτῳ τῆς μετανοίας φέρω τὸ φάρμακον· νόσημα πολυχρόνιον, πολυχρόνιος περιοδεύεπω μετανοία· ἐπέχω τοῦ κατακλυσμοῦ τὰς ὠδῖνας· προθεσμίᾳ τὴν νόλασι ἀναβάλλομαι· ἐκούσιον δὲ θεραπείαν ἐκδέχομαι.

Τοιαῦτα μὲν ἡ φιλάνθρωπος χάρις τῇ τῆς τιμωρίας μεταβολῇ τὼ μετάνοιαν ἕλκουσα· τὸ δὲ πάθος φιλανθρωπίας ἐκ ἔχῃζεν. Ἀνήλωτο ἓν ἅπας τῆς μετανοίας ὁ χρόνος, ἡ δὲ τῆς ἀσεβείας ἐκ ἐπαύετο νόσος. Τοῖς μενῦν Νινευίταις ὕστερον ἓξ ἡμέρον μετανοίας διάστημα, γέγονε πρὸς σωτηρίαν ἐφόδιον, καὶ τὸ σκνὸν τῆς προθεσμίας τῇ μεταβολῇ τῦ τρόπου νικήσαντες, προφητικῶ ἀπόφασιν ἔδησαν, θείαν ἀπειλὴν τοῖς δάκρυσιν ἡμερώσαντες. Οὗτοι δὲ τοσῦτον πλῆθος τῇ εἰκῇ ῥεόντων ἐτῇ παρέβλεπον, ἀυτὸν τῆς μετανοίας τὸν χρόνον σωεργὸν εἰς ἀσέβειαν ἐργαζόμενοι, τῶ τῆς πονηρίας ὑπέρθεσιν, τιμωρίας ὑπέρτασιν ἔχοντες· κὴ πότε δὴ ἀναλαμβάνει τὸν Νῶε, καθάπερ χρυσὸν ἐν βορβόρῳ θεωρήσας ἀσράπτοντα, καὶ θησαυρὸν ἀρετῇ ἐν δυσώδεσι πάροις κρυπτόμενον· κιβωτὸν πηγνυῶαι παρακελεύεται, κὴ τῇ ἀσεβέντων ὀρώντων, κατακλυσμῦ σκιάζει ἐφόδια. Ἦν δ' ἄρα καὶ τῦτο θεῖον ὑπὲρ ἀνθρώπων μηχάνημα πρὸς μετάνοιαν ἐκκαλούμενον. Ἦν γὰ θεῶ ῥάδιον κὴ ξύλε χωρὶς διασῶσαι τὸν Νῶε· ἀλλὰ καθίζει πρῶτον ἀυτὸν δημιργὸν κιβωτοῦ πολυχρόνιον, ἵνα κἂν ἡ θέα φοβήσασα τὲς ὁρῶντας, πρὸς μετάνοιαν ἐπισπάσηται· ἐγίνετο δὲ τότοις χλεύης ὑπόθεσις ἡ θέα, κὴ γέλωτος πρόφασις ὁ φόβος ἠυξάνετο. Ἐχλεύαζον κακοπαθῦντα τὸν Νῶε, κὴ τοῖς θείοις ὑπηρετῦντα προσάγμασι βλέποντες ἔσκωπτον. Καί τε τινὲς, κὴ τοιαῦτα διασύροντες, πρὸς ἀλλήλους ἐβόων· ἔτος ὁ τῦ κατακλυσμῦ Προφήτης ἡμῖν, κατὰ τῦ κατακλυσμῦ παραπάττεται. Καὶ ξύλοις ἀμύνασθαι τὸν κίνδυνον κατεπείγεται· κὴ κατακλυσμὸν ὑδάτων ἐλπίζων, κατακλυσμῷ συμφορῶν περιβέβληται, κὴ τοῖς ἱδρῶσι περικλύζεται, μασιγέμενος καμάτῳ τὰ μέλη· κὴ προαπολαύει τῇ κακῶν ἐπαληθεύων τοῖς πάθεσιν, ἀήνυτα μοχθῶν, καὶ κάμνων ἀπέρατα. Πρόθες ὦ πρεσβύτα τὸ πάχος, μὴ φθάσῃ σε τὴν τέχνην ὁ κατακλυσμὸς ἐπειγόμενος. Ἐν τότοις ἔβλεπον τῇ θηείων τὰ

διά-

διάφορα γενη πρὸς τὸν Νῶε συνεχόντα, καὶ ὁ θηριώδης αὐτῷ ὐκ ἀπεστρέφετο τρόπος· πτηνῶν ἀγέλας ὡς πρός τινα κοινὸν ξενοδόχον καθιπταμένας, καὶ τὸ θαῦμα παρέβλεπον. Ἀλλὰ πάντα μὲν παραχῇ, καὶ φόβῳ συνείχετο, καὶ τῷ κατακλυσμῷ λοιπὸν ἀπόφασις ἔζεχε. Θεὸς δὲ καὶ παρ' αὐτὰς τῶν κινδυνεύων τὰς ὥρας, ἑτέρας φιλανθρωπίας προβάλλεται σωτηρίας. καὶ πάλιν μικρὸν ὑπερτίθεται λέγων· ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω τὸν κατακλυσμόν· ἄπληστον γὰρ πρὸς φιλανθρωπίαν τὸ Θεῖον. Καὶ πόσας προφάσεις ἐπινοεῖ σωτηρίας, εἴπερ τὸν σώζεσθαι βελόμενον εὕρῃ; ἔτι γὰρ ἡμερῶν ἑπτά· ἀρκεῖ μοι φησὶ καὶ βραχὺς χρόνος πρὸς ἁμαρτωλῶν σωτηρίαν· νοήσωσι μόνον πρὸς μετάγνωσιν, καὶ λύω τιὼ ἀπόφασιν. Ἀπαλείφω τὴν ἀπειλήν, εἰ τιὼ γνώμιω μεταποῦσαν θεάσωμαι. Ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω τὸν κατακλυσμόν. Ἀνάλυσαι τιὼ πλατείαν ὑπέρθεσιν, φεῖσαι κἂν τῆς ξενῆς προθεσμίας, ἵνα φύγῃς τὸν κίνδυνον. Τοσαύτη, καὶ ἐν τοσούτῳ, καὶ δικαίῳ θυμῷ, φιλανθρωπίας ὑπερβολή. Ὡς δὲ ἅπασα μὲν θεραπείας ἠλέγχετο τέχνη, ἡ δὲ τῆς γνώμης σπουδὴν ἐπεβόσκετο, ἐπαφίει λοιπὸν τὰς τιμωρίας ὁ Θεὸς, ξένοις πελάγεσι, τὰ ξένα πελαγίζων νοσήματα. Ἄνωθεν οὐρανὸς χειμάρρους ἠκόντιζε, κάτωθεν ἤπειρος ἀβύσσους ἀνέπεμπε, καὶ πρὸς τὴν ὕδατος φύσιν ἡ κτίσις ἐσοιχειοῦτο. Οὐκ ἔτι ξηρᾶς, καὶ θαλάττης διάκρισις. Ἑνὶ ῥείθρῳ τὰ πάντα συνείχετο· οὐκέτι πηγαὶ, καὶ λίμναι, καὶ κρῆναι, σὺν χαλκῷ ῥέουσαι, ἀλλ' ἀχρίοις πελάγεσι κατεφοντίζοντο τὰ σύμπαντα. Οὐ βλασημάτων κάλλη, οὐ δενδρων ἄνθη, οὐ πόλεις, οὐ πεδιάδες, οὐχ αἱ τῶν ὀρέων κορυφαὶ, ἀλλὰ πάντα τοῖς κύμασιν ἐναυάγει, κοινῷ καλυπτόμενα πάφῳ· οἱ πολυάνθρωποι δῆμοι συὶ τῇ κακίᾳ τῆς γνώμης ἐκυβίσων ἐν μνήμασιν. Ἦν δὲ ζῶντες ἐμόλυναν, ἀποθνήσκειν ὑπ' αὐτῆς οὐκ ἠξίουν. Οὕτω μὲν οὖν τῇ τῷ κατακλυσμῷ περιβληθέντες σαγήνῃ, ἐν ταῖς τῶν

κυμάτων πληγαῖς σφενδονώμενοι πρὸς ἐλεεινὸν θανάτου τρόπον ὑπεφέροντο, ταῖς ἀλλήλων συμφοραῖς τιμωρούμενοι. Οἱ μὲν ἀθρόον χωσθέντες τοῖς ὕδασι, νεκροὶ ταχεῖς ἀπεδείκνυντο, οἱ δὲ ἐμπνέοντες, αἰσθήσει τοῦ πάθους μακρὸν ὑπεδέχοντο θάνατον. Ἄλλοι δὲ κὴ πρὸς βραχὺ προσκαρτερήσαντες, μακροτέραν τοῦ θανάτου τὴν τιμωρίαν ὑπέμειναν. Πόσοι πρὸς τὰς τῶν ὀρέων κορυφὰς ἀναδραμόντες ἀναίρω φυγῆ τὸν φόβον ἐξήλεγξαν; πόσοι πρὸς τὰς τῶν φυτῶν ἀκρωρείας ἀνέρποντες, καπελαμβάνοντο, καθάπερ πτερῷ τῇ τάχει τοῦ ῥεύματος; Ἐπέκειτο διώκων ὁ κατακλυσμὸς προσαναβαίνων τοῖς ὕψεσι. Κατόπιν ἔφερε τὰ σύμπαντα, ἕως ἅπαντας δήσας, ὁ αὐτὸς θανάτου ὁρμῶ, κὴ τάφος ἐγίνετο. Ἑρπετὰ τοῖς ἀνθρώποις νεκρωθέντα συνεπεπόλαξε. Ἄλογος φύσις μετὰ θανάτου τοῖς λογικοῖς συνείχετο. Κύνες ἀνδράσιν ἐνὶ καλυπτόμενοι κύματι, κὴ πλησίον ἀλλήλων λοιπὸν περιδινούμενοι, κοινῇ τὸ ζῆν ἀπετιτίθεντο. Νῶε δὲ μόνος ἐν παιδήμῳ θανάτῳ, ζωὴν ἐκαρπεῖτο παράδοξον, καθάπερ τις κυβερνήτης ἐν μέσῳ τῇ σάφει τὲς τῆς πίστεως μεταχειριζόμενος οἴακας, κὴ τῷ κατακλυσμῷ πάντοθεν πολιορκούμενος, ἀνάλωτος ἔμενεν ὁ τῇ τῆς κτίσεως λειψάνων ταμείας, ὁ φύλαξ τῇ τὲ Θεὲ δημιουργημάτων ταχθείς, ὁ καθάπερ ἐν ἀκροπόλει τῇ κιβωτῷ σταδιεύσας, ὁ τῆς κτίσεως ναυαγούσης μόνος γαληνὸς διαπλεύσας, ὁ πίστει, κὴ ξύλῳ τὸν κατακλυσμὸν βιασάμενος. Ὦ παραδόξων θραυμάτων! πῶς ἡ κιβωτὸς ἀ προσερράγη τοῖς ὄρεσιν; Ἐπεφέρετο φησιν ἡ κιβωτὸς ἐπάνω τὲ ὕδατος, ἐποχουμένη τοῖς κύμασιν, ἂκ ἀνατέμνουσα τῷ κυμάτων τὰ βάθη, ἀλλ' ἐπὶ τῷ κυμάτων ὡς ἐπ' ἐδάφους ἱπταζομένη, βάσιν τὸ πέλαγος ἔχουσα· κὴ καθάπερ λεωφόρος ὁ κατακλυσμὸς ὑπεστρώννυτο. Τοῦτο πίστεως ὄχημα, τὸτο φύσεως φυλακτήριον. ὦ κιβωτὸς Παραδείσου βεβαιοτέρα! ἐκεῖ μὲν γὰ ὄφις σωπέπλεσεν, ἐκεῖ ξύλον θανάτου γέγονεν ὄργανον· ἐνταῦθα ξύλον σω-

σωτηρίας πηδάλιον· ἐκεῖ τὸν Ἀδὰμ παραβάτην ἐδίδασκεν· ἐνταῦθα προσφυξ τῷ Νῶε προσέρχεται. Ὦ πρόγονε τῆς γενέσεως, τοῦ Ἀδὰμ τιμιώτερε! ὦ τῆς θείας εἰκόνος βεβαιότερε φύλαξ! ὦ τέλος ὁμοῦ καὶ ἀρχὴ τῇ φύσει γενόμενος! ὦ μεθόριον ἀγαθὸν ἀνθρωπότητος! ὦ τῆς θείας ἀγαθότητος ἐγγυητὴς φανεὶς ἀσφαλέστερος! ὦ σήσας κατάραν κατὰ τῆς γενέσεως ὀδύσσαν! ὦ πέρας ἀσεβείας, καὶ ῥίζα γενόμενος πίστεως! ὦ τοὺς τῆς εἰκόνος χαράκτηρας ἀπαλειφθέντας ἀνακτισάμενε! ὦ τῆς τοῦ Θεοῦ δημιουργίας τηρήσας τὰ σπέρματα! ὦ τὰς ἀφορμὰς τῆς φύσεως ἐν σαυτῷ καταχών! ὦ σβεννύμενον ἀνάψας τὸν σπινθῆρα τῆς φύσεως! ὦ κατακλυσμοῦ βιαιότερε! ὦ πίστεως βεβαιότατε φύλαξ! Σὺ γὰρ κατακλυσθείσης ἠπείρου, τὸ πέλαγος ὡς ἤπειρον ἔκτησας, ἔστησας διὰ θυσίαν κατακλυσμοῦ δευτέρου τὸν φόβον, ἐδέξω παρὰ Θεοῦ τῆς ὕστερον ἀσφαλείας ἐνέχυρα, ἔφθασας φθοροποιοῦ προσδοκίας τῷ κτίσιν, ἔδειξας Θεὸν ἀρετῷ δύσσεβείας, ἐφάνης Θεῷ διὰ πίστεως τιμιώτερος. Ὦ παιδευτὴς ἀρετῆς τοῖς ἀνθρώποις γενόμενε! ὦ διδάξας ἀνθρώπους, ποίοις τὸ θεῖον δοξάζεται! Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΒΡΑΑΜ.

Τῷ φιλοθέῳ, καὶ πνευματικῷ, τὰ τῦ φιλοθέου σήμερον Ἀβραὰμ διηγησόμεθα καποθώρματα· ᾧ γέγονε τῆς φιλοθεΐας Θεὸς μὲν ἀγωνοθέτης, αὐτίπαλος δὲ φύσις πατρικοῖς κέντροις ὁπλιζομένη, σκάμμα δὲ ἡ τῦ Ἰσαὰκ σφαγὴ, πρὸς φιλοστόργου ξιφήρη δεξιὰν ἀναμένουσα. Πρὸς τοσῦτον ἀγῶνα τὸν τῆς φιλοθεΐας ἀθλητὴν ὁ Θεὸς προκαλέμενος, ἐν μέσῳ τῆς οἰκουμένης σταδίῳ προβάλλεται, πολλαῖς μὲν πρότερον γυμνασίαις ἀρετῆς αὐτὸν καθάπερ ἐν παλαίστρα παιδοτριβήσας· νυνὶ δὲ μετὰ τὰς μυρίους ἱδρῶτας ὥσπερ ἐν πανδήμῳ θεάτρῳ προτρέπεται· ἵνα καὶ πρὸς τῦτον ἀποδυσάμενος, ὁ μὲν στεφανίτης ἀνακηρύττηται, κοινωνὸν δὲ λάβῃ τῆς νίκης Θεὸν τὸν ἐπὶ τύτοις αὐτὸν ἐκλεξάμενον. Ποῖον οὖν αὐτῷ πρῶτον ἐν παλαίστρᾳ προτείνει γυμνάσιον; Ἔξελθε ἐκ τῆς γῆς σε, καὶ ἐκ τῆς συγγενείας σε, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω· γυμνός μοι φάνηθι τῶν οἰκείων δεσμῶν· συγγενείας ἀπόρρηξον· γῆς, ἐφ' ἧς ἐτέχθης, ἀπόστηθι· πατρὸς καὶ πατρίδος ἀφίσασο· νίκησον ἄγκυραν φύσεως πρὸς ἀρετὴν γυμναζόμενος, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. Κρύπτει τὸν τόπον, ἵνα γυμνάσῃ τὸν τόνον· καλύπτει τὸ πέρας, ἵνα συντείνῃ τὸν δρόμον. Ἁρπάζει τὴν γνῶσιν, ἵνα πρὸς πόθον ἐγείρῃ τὸν ἐν τῇ γῇ δρόμον· ἐξ Οὐρανῦ δέχου τὸ σωτήριον. Οὐκ ἦν Ἀβραὰμ τῶν θείων προσαγμάτων ἀργότερος, ἀλλὰ συνέχει σπὴ προθυμίᾳ τοῖς ἐξ Οὐρανῦ παραγγέλμασι. Πάλιν περικλύζει τῷ πλήτῳ, καὶ κληρονόμον οὐδέπω χαρίζεται· ἀλλὰ κρεμᾷ ταῖς ἐλπίσιν, ἵνα βασανίσῃ τὴν πίστιν. Περιέρρει μὲν ἓν πανταχόθεν τῶν χρημάτων ὁ πλῦτος· πενία δὲ φύσεως τὸν τόκον ἠρνεῖτο, καὶ τῆς Σάρρας τὸ ἄγονον ἐσύλησε τὴν τῆς περιουσίας ἀπόλαυσιν. Καὶ ὁ χρόνος ἔρρει, καὶ ὁ κλη-

ρο-

ρονόμος ἐκ ἰῶ. Ὁ πλοῦτος ηὐξάνετο, καὶ διάδοχος οὐκ ἠλπίζετο· γῆρας ἐπιὸν, τὰς τῆς παιδοποιΐας ἐλπίδας ἐθέριζε· πάθος σειρώσεως τῷ τόκου τιμὴ προσδοκίαν ἐμάρανεν· ἀλλ' ἡ πίστις ἐνέαζεν· ἐπελάθετο τῶ πάθους ἡ σεῖρα, ἐπελάθετο τῷ γήρᾳ ἡ φύσις, ταῖς ἐλπίσι νεάζουσα. Εἶχε πρὸ τῦ παιδὸς τὸν παῖδα, λαβὼν τὴν ὑπόσχεσιν· καὶ πρὸ τῆς γαστρὸς ὁ Ἰσαὰκ, ὑπὸ τῆς ἐλπίδος ἐτίκτετο· ἐπίστευσε γὰρ φησὶν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· οὐκ ἔτι φησὶν ὁρῶ τῆς Σάρρας τιμὴ σειρωσιν, οὐκ ἀποβλέπω πρὸς τὴν τῦ σώματος νέκρωσιν, ἐδεξάμην φωνὴν ἑκατέρων ἰσχυροτέραν· ἐφθέγξω καὶ κληρονόμος ἐγγύς. Ἠκολούθει τοίνυν ταῖς ἐλπίσι τὰ πράγματα· ἔδωκεν ὁ Θεὸς τὸν πρὸ τῦ τόκυ ποθούμενον· ἔλαβεν, ἔχαιρε, τὴν δόσιν ἠσπάζετο. Ἀγώνισμα πίστεως βρέφος ἐτίκτετο, καὶ φιλοθεΐας ἠνοίγετο σάδιον. Ἠγνόει σκάμμασιν ἑτέροις μετὰ τὸν τόκον πρέμνος. Ἔμελλε γὰρ ὁ Θεὸς ὑπόθεσιν ἀθλητικιὴν τῷ δικαίῳ τιμὴ γονιῶ ἑτοιμάζειν, καὶ διὰ παιδὸς τιμὴ τῦ ἀρετέως αὐθεΐαν ζυγοσατεῖν. Ὡς γὰρ ηὐξήθη τὸ βρέφος, καὶ ψελλίσμασι τὸν τῶν γονέων πόθον ἐτίζωσκε, συννυξάνετο τῷ βρέφει τῷ γονέων τὸ φίλτρον, καὶ πᾶς τῷ τεκόντων ὁ πόθος ἀμέτρητος εἰς μόνον ἐφέρετο· καὶ πᾶσαι αἱ τῆς φύσεως ἐλπίδες ἐφ' ἑνὸς ἐδεσμεύοντο τέκνυ. Βλέπε μοι λοιπὸν ἐπὶ τὸς ἀγῶνας τὸν πατέρα καλέμενον· καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζέ φησι, τὸν Ἀβραάμ. Τί γάρ; ἠγνόει τιμὴ ἀρετιὴ, ἵνα πειράσῃ τὸν ἀθλητήν; Θεὸς ἀνέμενε τιμὴ πεῖραν, ἵνα μάθῃ τιμὴ προθέσιν; Πειράζει τοίνυν, οὐκ αὐτὸς ἀγνοῶν, ἀλλ' ἵνα δημοσιεύσῃ τὸν δίκαιον, ἵνα πολλὸς τῆς τῦ θεράποντος ἀρετῆς ἐπιστήσῃ τοὺς μάρτυρας. Σμήχει τῷ πειρασμῷ τὸν τῆς ὑπομονῆς ἀνδριάντα, ἵνα δείξας τὸ ἔργον λαμπρότερον, πρὸς θαῦμα καλέσῃ τὸς βλέποντας· δονεῖ τὸ σκάφος τοῖς πνεύμασιν, ἵνα τῷ κυβερνήτᾳ τιμὴ τέχνην θαυμάσῃς· ἐπεγείρει τῷ κυμάτων τὴν προσβολιὴ, ἵνα ἐκπλαγῇς τὸ

τῆς πείρας ἀκίνητον. Προσάγει τὰ μηχανήματα, τῷ τὰ τείχεις ἐλέγχων εὐρρώστια. Ἐπανίστησι τῷ δικαίῳ τὰ τῆς φύσεως κύματα, ἵνα τῆς φιλοθεΐας θαυμάσῃς τὸν ἔμπορον. Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ· ὅπλα τὰ τῆς φύσεως ἠκόνισε, πάσας τὰ φίλτρα τὰς ἀκίδας ἐκένωσεν· ἃ γὰρ εἶπεν ἁπλῶς, ἀπόδος ὃν ἔδωκα, ἢ θῦσον ὃν ἔλαβες· ἀλλὰ τὸν υἱόν σε τὸν ἀγαπητόν, ὃν ἠγάπησας. Πλήττει τὴν ψυχὴν τοῖς τῆς φιλοσοργίας ὀνόμασι. Πλατυνεῖ τὰς κλήσεις, ἵνα πλέον ἀνάψῃ τὸν φλόγα· ὅλας ἐξέχεε κατ' αὐτὰ τὰς νηφάδας τῆς φύσεως. Καὶ ἀνέσεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. Οὐδὲ γνώριμον αὐτῷ τὸν τὰ φόνε τόπον ἐργάζεται· παρατείνει τὸν ἀριθμὸν, βασανίζων τὸν βόπον· καὶ ἀνέσεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων. Πῶς ἂν ἔφριξε τὴν φωνήν; πῶς ἂ συνεσάλη τὴν ψυχὴν τῇ πληγῇ τῆς φωνῆς; πῶς ἂν ἔφθασε τῇ τελευτῇ τὴν τὰ τέκνε σφαγήν; ἀλλ' ὦ ψυχῆς καρτερᾶς! ἂν ἐσκύαξεν, ἂν ἐδάκρυσεν, ἂν εἶξε τῇ φύσει; ἂν ἐμερίθη τοῖς βελήμασιν, ἃ τὸ πρόσωπον ἤμειψεν, ἂν ἀφῆκε φωνὴν τὴν παῖκτὴν, τέκνε σφαγὴν ἀπαιτήμενος, ἂν εἶπεν ἅπερ ἡ φύσις ἐβέλετο. ὦ ξενέων ἐπιταγμάτων! ὦ τῶν παρὰ φύσιν παραγγελμάτων! τέκνε σφαγὴν αἰτῆμαι, καὶ γενέθαι παιδὸς προσάττομαι δήμιος; Πατὴρ βραδὺς, καὶ τεκνοφόνος ταχύς; ὦ πόσαις καὶ ποίαις ἐλπίσιν ἐπήρουν τὸν φίλτατον! ὅτε μοι τῆς ἀτεκνίας ἐλύθη τὸ πάθος, τότε πάλιν ἀτεκνίαν ὀδύρομαι. Οὐκ ἦν ἔπως ἀνιαρά μοι πρὸ τῆς πείρας ἡ τὲ παιδὸς ἐρημία. Οὔπω τῇ ἀπολαύσει ζωθεὶς, ἠγνόεν, ὃν ἂν εἶχον· νῦν δὲ τῇ φύσει δεθεὶς, καὶ τῷ πόθῳ προσηλωθεὶς, ἃ φέρω τὸν πόνον τῆς ἀφαιρέσεως. Τί ἂν με καὶ πατέρα δείξας, παιδοκτόνον ἐργάζῃ; τί με τέρπεσθαι ταῖς ὠδῖσιν ἐδίδαξας, μεταδιδάξας ὀδύρεσθαι; τί μεταβάλλεις τὸν πόθον εἰς πένθος; τί μετασκευάζεις τὸ φίλτρον εἰς θρῆνον; μιαιῶ δεξιαὶ αἵ-

μασι

μασι παιδὸς, ὑπὲρ ἓ πολλάκις σοι τὰς χεῖρας ἐξέτεινα; πατρικὰς ἱκεσίας δεξάμενος, ὁπλίζεις Πατέρα πρὸς τλῶ τὸ βρέφος ἀναίρεσιν; πρὸς τὰς σὰς ὑποχέσεις ἀπόβλεψον Δέσποτα· κληρονόμον ἐπηγγείλω, καὶ παιδοκτόνον ἐργάζῃ; καὶ θυσίαν ἀπαιτεῖς, ἓν ἐχαρίσω διάδοχον; ἀλλ' ἐγὼ μέν σοι πασάδας περιενόουν ὦ τέκνον, καὶ θάλαμον· ἠγνόουν δ' ἄρα πυρὶ καὶ σιδήρῳ ξέφων τὸν φίλτατον. Ἀντὶ πασάδος, βωμός· ἀντὶ πυρὸς νυμφικῦ, φλὸξ ἐπιβώμιος. Εἴθε μήποτε πρὸς αἴτησιν ἦλθον γονῆς! εἴθε μοι γέγονεν ἄπραπτος ἡ τῆς παιδογονίας δίχη! Εἴθε μὴ τόκον εἶδον παράδοξον, ἵνα μὴ πρὸς πόλεμον ἦλθον οὐκ ἐλπιζόμενον! ἀλλά μοι τὸ παίτων ἀνιαρώτατον, ἀυτεργόν με γενέσθαι τῦ φόνυ κελδέι, καὶ σφαγέα τῦ βρέφος ἰδεῖν ἐπιθυμεῖ τὸν γεννήσαντα. Οὐκῦν πολεμίων ἐνδιδόσθω χερσί. Δυσμενεῖς τλῶ σφαγλῶ ἐνεργείπωσαν· πραττέπω τὸν φόνον δεξιὰ μὴ δεδεμένη τῷ πόθῳ. Πατὴρ δὲ ὢν, ὰ φέρω τὴν ἀκοὴν, ὐχ ὑποφέρω τλῶ σφαγήν. Ἀποθεῖται τὸ ξίφος ἡ φύσις· ὀκλάζει πρὸς τὸ ἔργον ἡ δεξιά· ὀφθαλμοὶ τὴν θέαν ἀρνῦνται. Οἶδας αὐτὸς οἷοις πάθεσι τλῶ φύσιν καθώπλισας.

Οὐδὲν τύτων ὁ γενναῖος Ἀβραὰμ, ὐκ εἶπεν, ὐκ ἐνενόησεν· ἀλλ' ὡς ἀληθῶς προβάτε θυσίαν ἀπαιτέμενος πρὸς τὴν σφαγλὶ ὠξεπίζετο ὁ τοῖς θείοις ἐμμελετήσας προσάγμασι, καὶ ὐκ ἐπιστρέφεται πρὸς τὴν φύσιν τὸν δρόμον κωλύσεσαν. Συνεργὸν ἓν λαβὼν τὴν σιγὴν, ὅλος ἐγίνετο τῦ προσάγματος. Κρύπτει τὴν Σαρρὰ τὸ τόλμημα, ὐκ ἐκφαίνει τῇ τεκύσῃ τὸ πρόσταγμα· τίνος εἵνεκεν; Φιλόθεος μέν φησιν· ἐγὼ δὲ τλῶ γνώμην θαυμάζων, αἰδεῖσθαι τὴν φύσιν· ὁρῶν τὸ φιλόθεον, δέδοικα τὸ φιλόσοργον. Φιλόθεος ἡ γυνὴ, ἀλλὰ μήτηρ ἐστί. Δεινὸν αἱ μητέρες ἀθενείᾳ κρατύμεναι φύσεως. Δέδοικα μὴ κρύψασα τὸν παῖδα, κλέψῃ τὸ παράγγελμα, μὴ μολυνῇ τλῶ θυσίαν δακρύσασα, μὴ τὸν παῖδα θρηνήσασα, καθυβρίσῃ τὸν ἐπιτάξαντα,

μὴ

μὴ τὴν ὄψιν ἀράξασα, ῥίψῃ τὴν θυσίαν, καὶ τὸν Θεὸν ἐκβιάσηται, μὴ τῷ γνώμῳ ὀκλάσασα, συλήσῃ τὴν χάριν τὸ θαύματος. Ἐγὼ μὴ τῷ σφαγῷ θρηνοῦσαν παραμυθήσομαι, θεραπεύσω δακρύουσαν, τοιαῦτα πρὸς αὐτὴν ἀποφθεγγόμενος· παῦσαι θρηνοῦσα, μὴ κλαῖε τὸν παῖδα τὸν τῇ σφαγῇ τιμηθέντα. Δῶρον ὁ τόκος ὠδῖνας χαρισάμενος. Οὐκ αἰρεῖ τὸν παῖδα πατὴρ μεῖζον ὠφελῶν, οὐδὲ μάτην χωρεῖ μέσον τὸ ξίφος τῆς φύσεως. Ἐγγυᾶται τὴν ἀνεργεσίαν ἡ τὴν θυσίαν τολμήσασα δεξιά· ὃν ἔδωκεν ἧψεν, ὃν ἔπλασε πάλιν ἐζήτησεν. Ἔλαβεν αἰτήσας, ὃν ἔδωκεν αἰτηθείς. Ἀποδώσει πάλιν βουληθείς, ὑπ' οὐδενὸς κωλυόμενος. Ὁ γὰρ οὐκ ὄντα δοὺς, καὶ νεκρωθέντα χαρίσεται. Ὁ νεκρωθεῖσαί σοι τῷ γαστρὶ δείξας μητέρα, καὶ παῖδα σφαγέντα πρὸς ζωὴν μεταπέμψει. Τὸ δὲ μέγιστον εἰς παραμυθίαν, ὦ γυναῖ, εἰς αἴτησιν ἦλθε θυσίας, ὁ τοῦ βρέφους ἔχων τὴν ἐξουσίαν. Μόσχον πρώην προσήνεγκας. Ἰσαὰκ προσενέγκασα, τί τῷ ἀγαθῶν οὐκ ἐλπίζεις; Τοιούτοις νεανικοῖς λογισμοῖς ὁ πρεσβύτης ἐπισομίσας τὴν φύσιν κακίζουσαν, καὶ παραθήξας τὴν φρένα, καὶ σομώσας τὴν χεῖρα, τὸ τῷ σπλάγχνων θῦμα λαβὼν, δρομαῖος ἐπὶ τὸ ὄρος ἀνέζεχε, γηραιὸν πόδα διδάξας τῷ δρόμῳ νεάζοντα· ἐνίκα γὰρ φύσιν καὶ πάθος ὁ πόθος, καὶ γῆρας ἀσεβείας ὁ τόνος· καὶ πάντα ἠλέγχετο τῷ τῆς φιλοθείας παραχωρῆντα πυρί. Ἀνεπήδα πρὸς τὸ ὄρος, συνεργὸν τῆς θυσίας αὐτὸ τὸ θῦμα λαβών. Αὐτός τε γὰρ τὸ πῦρ καὶ τὸ ξίφος μετεχειρίζετο, τοῖς τῆς θυσίας δὲ ξύλοις, τὸ καλὸν ἱερεῖον τὸν Ἰσαὰκ ἐπεφόρτιζε· καὶ γέγονε συνεργὸν τῆς θυσίας τὸ θῦμα. Συμπράττων δὲ τῷ παῖδι τὴν θυσίαν ὁ Ἰσαὰκ, καὶ τῷ γεννήσαντι τὴν μέριμναν μεριζόμενος, πεῦσιν προσφέρει τὸν πατέρα τιτρώσκουσαν· ἰδὲ, φησι, τὸ πῦρ, καὶ τὰ ξύλα, πῦ τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; Πάλιν ὑπομιμνήσκει τὸν πατέρα, ὡς τῇ λήθῃ κρατούμενον. Ὅρα μή σοι

τῆς

τῆς προθυμίας τὸ πάχος, ὦ πάντες, ἔκλεψε τοῦ λειπομένου τῇ αἴθησιν. Ὦ ῥήματος παιδὸς μὲν ἑτέρου μέσην τὴν καρδίαν τοξεύοντος, τὸ δὲ Ἀβραὰμ ὑ προσφαύοντος. Ἀδακρυτὶ γοῦν πρὸς τὸν Ἰσαὰκ ἀποκείνεται, καὶ φωνῇ Ἱερέως, οὐ Παιδὸς ἀπεφθέγξατο· ὁ Θεός, φησιν, ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον· ἀγνοῶν προφητεύει τὸ μέλλον, καὶ τὸν παῖδα σοφιζόμενος, ἀληθεύει φθεγγόμενος· πρόβατον καλεῖ τὸν υἱόν, ὃν ὡς πρόβατον προσάγειν ἐπείγεται. Πῶς ἔρριψε φωνῇ; ποίοις ἀπεκείνατο σπλάγχνοις; πῶς οὐκ ἐνάρκησε πρὸς τὸν λόγον ἡ γλῶσσα; πῶς οὐκ οἰμώξας, καὶ τὸν παῖδα περιπτυξάμενος, ἔρριψε πανθῶν τῆς θυσίας τὰ σύμβολα; Ἤδη μὲν ἦν ἐπὶ τῆς τοῦ ὄρους κορυφῆς ἡ θυσιαστήριον ἐσκεύαζετο, τὰ ξύλα προσηγάγετο, ὁ Ἰσαὰκ ἐδεσμεύετο, τὸ ξίφος ἡρπάζετο. Ὦ θεάματος φοβερᾶς! φιλοσοργία πρὸς φιλοθεΐαν δικάζεται· ἡ δικαστὴς Ἀβραὰμ ξιφηφόρος ἐφέστηκε, καὶ τῷ ψῆφον ἀποχράφει τῷ ξίφει, ἡ τῷ νίκῳ τῇ φιλοθεΐᾳ χαρίζεται, ἐπισφραγίζων τοῖς αἵμασι, μάρτυρα τῆς νίκης τὴν θυσίαν ποιούμενος. Πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς τὴν μάχαιραν λαβὼν, εἶτα σπάξας οὐκ ἔρριψεν; Ὦ φιλοθεΐας ἰσχύς! ὦ πυρὸς δυσεβοῦς, φύσεως φλόγα νικήσαντος! Ἀλλ' ὁ μὲν ἀνδρικῶς ἀνατείνει τῷ δεξιᾷ πρὸς τῷ τοῦ βρέφους σφαγήν· ἄνωθεν δὲ φωνὴ δεσμεύει τῷ χεῖρα. Ἔφθασεν ἡ φωνὴ τῷ σφαγῷ, γέγονεν ὀξυτέρα τοῦ ξίφους ἡ κλῆσις. Λόγος ἐπέμπετο, καὶ χεὶρ ἐδεσμεύετο· ἄνω κατέχει τῷ δεξιᾷ πρὸς σφαγῷ ἐπειγομένῳ· διπλασιάζει τῷ κλῆσιν, ἵνα συσείλῃ τῷ χεῖρα· ὅλον γὰρ πρὸς τὸ ἔργον ἐγκείμενον, καὶ μικρᾶ τὸ ξίφος ἐν τῷ βρέφει βαπτίσαντα κατέχει, τῇ κλήσει ἐπιστρέφει, τῷ ῥήματι τὴν ὁρμὴν χαλινοῖ, καθάπερ δυσήνιον ἵππον πρὸς ἑαυτὸν ἐπισπώμενος. Ἀβραὰμ, Ἀβραάμ· ὁ δὲ μόλις ἐπιστραφεὶς, ἰδοὺ ἐγώ φησιν. Ἆρα μὴ τὴν θυσίαν τῇ βραδύτητι καθύβρισα; τί ἦν ἡ φωνή; Κατ' ἐμαυτοῦ ὠμο-

ὥμοσα λέγει Κύριος· ἕ ἕνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σε τοῦ ἀγαπητοῦ δι' ἐμὲ, ἐνευλογηθήσονται ἐν σοὶ, καὶ ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Ἑνὸς ὑπερεῖδες; γενοῦ τῆς οἰκουμένης πατήρ. Ἔχε μετὰ Ἰσαὰκ παῖδας τὰ ἔθνη, σὺν θύματι τῷ οἰκουμένῳ. Γενοῦ πατὴρ ἐθνῶν· πατὴρ δὲ ἔσῃ Χριστοῦ, ἕ κτῆμα τὰ ἔθνη. Ἀντὶ τοῦ σοῦ μονογενοῦς, θυέσθω τὸ πρόβατον. Ἐμὸς Μονογενὴς τὸν φορούμενον ἀμνὸν ἐπιδώσει τῷ πάθει· μὴ ἀπτέσθω τοῦ μονογενοῦς σε τὸ ξίφος· κἀδὲ γὰρ σαυρὸς τῆς τοῦ μονογενοῦς μου Θεότητος ἅψεται. Περὶ τὸ πρόβατον ἡ θυσία, περὶ τῷ οἰκονομίαν τὸ πάθος· τὸ πρόβατον καὶ ἡ σὰρξ προσηλόσθω. Μὴ παρατάξῃς τῷ μίμησιν, παραβάλλων τῷ πάθει τὸν σὸν ὁμοούσιον. Τὸ πρόβατον σφαττέσθω, τοῦ ἐσταυρωμένου ἀμνοῦ φέρον τῷ μίμησιν. Ὅρα τὸ πρόβατον ὡς ἐπὶ τοῦ σταυροῦ τοῦ φυτοῦ κρεμάμενον· τοῦτο τὰς ὕλας ἐκδέχεται, τοῦτο γίνεται θυσία τῷ κόσμῳ σωτήριος. Πάσχει δὲ ναὸς οἰκοῦντος Θεοῦ, καπὶ τῷ αὐτοῦ τοῦ Δεσπότου φωνῷ· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΟΝ ΠΑΓΚΑΛΟΝ ΙΩΣΗΦ.

Τοῖς μὲν τὰ μακρὰ πελάγη διαπερῶσιν, αἱ τῆ περιφανεστέρων κινήσεις ἄστρων πρὸς τὸν δρόμον γίνονται συμβάλλον· καὶ κυβερνήτης ἐπιβάλλων τῷ πηδαλίῳ, τὸ βλέμμα τείνει πρὸς οὐρανὸν, τοῖς τῆ ἀστέρων κινήμασιν ἰδιοχῶν τὴν ὁλκάδα, καὶ τὸν πελάγιον δρόμον τῷ κατ' οὐρανὸν φέγγει συνελίττων πρὸς λιμένας ἐπείγεται. Οἱ δὲ τὸν βίον τὴν θάλατταν καλῶς σαδιεῖν ἐθέλοντες, καὶ πολιτείας ἐνθέου τέμνειν πορθμὸν τὰ κύματα, οὐκ εἰς ἀστέρας ὁρῶσιν, ἀλλὰ πρὸς τὸν τῆ δικαίων ἀφορῶσι χορὸν, καὶ τοῖς τύποις ἴχνεσι τοῖς τῆς πολιτείας ἐπερείδοντες βήμασι τὴν ἑαυτῆ ζωὴν ἀποθυήσουσιν. Οὐ γὰ τοσαῦται κινδυνῶν ἐπαναστάσεις πολιορκοῦσι τοὺς πλέοντας, ὡς αἱ τὸν βίον περισάσεις περιαντλοῦσι τοὺς τῆς ἀρετῆς ἐμπορίαν ἀγόντας. Τίς γὰ τῆ δικαίων τὸν τῆδε πλοῦν διὰ γαλήνης παρέπλευσε; Πρῶτος Ἄβελ πίστεως ἐραστὴς χειρὸς ἀδελφικῆς παρανάλωμα γέγονε. Νῶε μετὰ τὸν πολυχρόνιον τῆ ἀσεβούντων ἐπήρειαν, ἑνιαυτὸν ὅλον ἐπελαγίζετο. Ἀβραὰμ διὰ πόθον Θεοῦ, τὸν νόμον ὑπερεῖδε τῆς φύσεως, πείθων δεξιὰν μᾶλλον πιδοκτονεῖν, ἢ ἀπειθεῖν ἐπιτάττοντι Θεῷ. Ἰσαὰκ ὡς ἱερεῖον δεσμούμενον ἐφέρετο. Ἰακὼβ πόῤῥω τῆ γονέων ἐφυγαδεύετο, ἀδελφικῷ φόβῳ τῆ τεκόντων ἀλλοξιώμενος. Περιήκει δὲ ἡμῖν ὁ λόγος εἰς τὸν καλὸν Ἰωσὴφ, ὃ τὸ κάλλος ἡ Γραφὴ θαυμάσασα, τὰς ὑπὲρ ἀρετῆς ἱδρῶτας ἀνέγραψεν, ἵνα πρὸς τοῦτον ὁρῶντες ἐπιῤῥάφωνται. Περὶ ὃ καὶ μελῳδῶν Δαβὶδ ἀνεκρύετο, θαυμάζων τὴν σωύεσιν· τὸ παιδεῦσαι τοὺς ἄρχοντας Αἰγυπτίων ὡς ἑαυτὸν, καὶ τὸ πρεσβυτέρους ἀνῆβ σοφίσαι. Πόσοις ὁ νέος ὑπὲρ ἀρετῆς κινδύνοις διεπάλαισε; πόσας κυμάτων πρόσβολὰς ἐτινάξατο; πόσους κρημνοὺς χωρὶς ὀλίθου διήλατο; καί τοι τινες τὴν σωφροσύνην τὸ νέον μόνον θαυμάζοντες, περὶ μό-

νην

νην αὐτὴν ἀχολῶσι τὸν ἔπαινον, σμῆνος ὅλον ἀγωνισμάτων περὶ μίαν ἀρετὴν τῷ λόγῳ συνοχωρῶντες. Εἰ δέ τις ὁδῷ βαδίζειν ἐθέλῃ, καὶ τὴν ἀρχὴν τῆς ἄθλων πρὸ τῶ τέλους φαντάζεσθαι, ἀπ' αὐτῆς αὐτὸν τῆς οἰκείας ἀρετῆς ἀπλάμενον εὑρήσει τὸ σάδιον, καὶ πρῶτος ὁ τῆς ἀδελφῶν πόλεμος προσερρήγνυτο. Φθόνος γὰρ αὐτοῖς στρατηγῶν, μαίνεσθαι καθ' ἑαυτῆς τὴν φύσιν ἐνέπειθε. Φθόνος ὁ τῶ φόνε πατὴρ, ὁ τοῖς καλοῖς ἀεὶ τιτρωσκόμενος. Καὶ τίνες αἱ τῶ φθόνε προφάσεις; Ἀγάπη παῖδὸς περὶ παῖδα τὰς παῖδας ἐκίνησε, καὶ σασιάζει τὰ φίλτατα καθ' ἑαυτῆς τῷ πάθει μεθύοντα. Ἡ Γραφὴ δὲ τὸ ὑπερβάλλον τῶ φίλτρε θαυμάζεσα, τῶ πάθες τὴν αἰτίαν ἐκήρυττεν. Ἠγάπα γάρ φησιν Ἰακὼβ τὸν Ἰωσὴφ ὅτι υἱὸς γήρως ἦν αὐτῷ· καί τοι Βενιαμὶν τῆς τῶ Ἰακὼβ παίδων ὁ ἔσχατος, καὶ γείτων τῷ γήρᾳ, καὶ τῆς ὠδίνων ὑπῆρχε τὸ πέρας. Πῶς οὖν ὁ Ἰωσὴφ υἱὸς γήρως ἐπονομάζεται; ἀλλ' υἱὸς γήρως ἐστὶν ὁ τοῦ γήρως ἐπιμελούμενος, καὶ παιδικῆς ἡλικίας τὸν πόνον τῇ θεραπείᾳ κωφίζων, ταῖς περὶ τὸ γῆρας ἐλπίσι τὸ τῆς φύσεως ἐπεστάσατο φίλτρον, καὶ πρὸς ἀγῶνα δαψιλέσερον τῇ θεραπείᾳ ἐξύγα θερμοτέραν φιλοστοργίαν. Ἀδελφοὶ δὲ φθόνῳ πλησθέντες ἐπλήσθησαν, καὶ δὲ πρὸς τὴν ἐξ ὀνειράτων εὐπραγίαν τῶ παιδὸς ἐκαρτέρων· ἀλλὰ καὶ ἄχρις ὀνείρων τῶ φθόνε τὸ κέντρον ἀνέτειναν· καὶ καιρῶ λαβόμενοι, μελετῶσι τὸν φόνον, καὶ τῆς παιδικῶν ἀγκαλῶν γυμνὸν τὸν παῖδα θηρεύσαντες, καθάπερ θανάτῳ κατάδικον ὀρείῳ λάκκῳ πιεζεῖσιν. Ὁ δὲ λάκκος ἀδελφικῶ φθόνε φιλανθρωπότερος γέγονε· κενὸς γὰρ ὕδατος ὑπάρχων φυλάττει σῶον τὸν Ἰωσὴφ, καθάπερ τὸ κῆτος τὸν Ἰωνᾶν ἐν τοῖς κύμασι. Διεδέχετο δὲ πρᾶσις τὰ περὶ φόνε βελεύματα, καὶ καθάπερ τῶ φόνε λάφυρον, τὸν ἀδελφὸν ἀδελφοὶ ἀποδίδονται· καὶ φιλαργυρία τὸν φόνον νικήσασα, δῶλον αὐτὶ νεκρῶ τὸν ὁμόσπορον ἤλεγξε. Τοιαῦτα ὁ φθόνος οἶδε τοὺς φθονεμένους φιλανθρωπεύεσθαι. Ἀλλ' ὦ τῆς θείας

προ-

φρονοίας! Ἀληθὴς ὁ δρασόμενος τὰς σοφὰς ἐν τῇ πανουργίᾳ αὐτῷ· οἷς γὰρ φθονοῦσιν ὀνείρασι, τούτοις ὑπουργοῦντες οὐκ οἴδασιν. Ἄκοντες τοῖς τοῦ Ἰωσὴφ ἐνυπνίοις συμφράττουσιν, ὁδὸν τῇ τούτων ἐκβάσει τὴν φρᾶσιν κατασκευάζοντες. Ἐπειδὰν γὰρ τοῖς θείοις βουλεύμασιν ἀντιφράττειν ἐθέλωσιν ἄνθρωποι, συγχωρεῖ μὲν φράττειν Θεὸς ἃ προῄρηνται, ἐνδιδοὺς δὲ φανῆναι τῷ γνώμην, σκιτεύει τὸν δρόμον· ὑπηκόους αὐτοὺς ἄκοντας τῆς ἑαυτοῦ ποιεῖται προθέσεως, ἵνα ἃ κωλύειν ἐθέλουσιν, αὐξοντες φαίνονται· καὶ δι' ὧν ἐπέχειν βιάζονται, διὰ τούτων συνεργοῦντες εὑρίσκωνται, ἵνα καὶ πολεμοῦντες ὁμοῦ, καὶ βουλεύοντες ἀπελέγχωνται. Οὕτως οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἄχεις αἱμάτων κατ' ὀνείρων παρατυπούμενοι, τῇ φράσει τοὺς ὀνείρους εἰς φρᾶξιν ἐγείρουσι, καὶ τῆς φύσεως ἔμποροι καταστάντες ἀνηλεεῖς, μετ' ὀλίγον ἔμποροι δοφῆς ἐλεούμενοι γίνονται· καὶ τῷ ὀνείρων μισοῦντες τὰ δράγματα, μετ' οὐ πολὺ τῷ ἀληθινῶν δραγμάτων ἱκέται καθίστανται.

Οἱ μὲν ἐν τῷ φύσιν καπηλεύοντες, ὡς ἐνόμιζον, νοσοῦμενον δουλείᾳ τὸν παῖδα καταδικάζουσιν. Εἰκόνι δὲ φόνου τὸν χιτῶνα διατιθέμενοι, ὥσπερ οὐ δυνάμενοι σβέσαι χοὰς αἱμάτων τὸν φόνον, χερσὶ προσάγουσι πατρικαῖς, καταψευδόμενοι θανάτου, πρὸς ἀληθινὸν πάθος τὸν προσβύτην ἀνάπτοντες, δίκας ἀπαιτοῦντες τοῦ φίλτρου τὸν φύσαντα. Τοῦτο τῷ Ἰωσὴφ ἀθλημάτων τὸ προοίμιον. Φέρων δὲ τῷ κινδύνων ὁ νέος τὰς ἀπαρχὰς εὐχαρίστῳ προθέσει, τὸν Ἀγωνοθέτην τιμᾷ. Διαπλεύσας δὲ τοῦ φθόνου τὰ κύματα, καταλαμβάνει τοῦ Αἴγυπτον, καὶ γίνεται δοῦλος τῷ σώματι ὁ ἀδούλωτος τῷ φρονήματι· οὐ συναποβάλλων τῷ χήματι τῆς ψυχῆς τοῦ εὐγένειαν, οὐδὲ περιστάσεσι βιαίοις τοῦ ἐλευθερίαν ἐνόθευεν. Οὐ γὰρ συμμετέβαλε τοῦ γνώμου τοῖς πράγμασιν· οὐδὲ δουλείας συνήθεια κατὰ μικρὸν τοῦ ἐλευθερίαν ἐσύλησεν· ἀλλ' ὢν καὶ δουλεύων τῆς Ἀβραὰμ εὐγενείας ἀπόγονος· διεδέχε-

το δὲ τῶν ἀδελφῶν τὸ μῖσος, δεσποίνης ἐχύσης ἀκόλασον φίλτρον τῆς μίσες βαχύτερον· καὶ πάλιν ἀγῶνες, καὶ σκάμματα, καὶ Ἰωσὴφ στεφανύμενος. Ὁ μὲν ἓν ἀγὼν τοσοῦτος, ὁ δὲ παλαίων, μειράκιον. Ἡλικία, σωφροσύνης προδότις, πρὸς ἡδονῆς βίαν ὐάλωτος. Δουλείας παπείνωσις, γενναίαν καπασέλλουσα φρόνημα. Δεσποίνης συνεχεῖς κολακεῖαι ταῖς ἐλπίσι τὸν τόνον ἐκλύουσαι· καὶ σιωπῶ τὰς ἔξωθεν, ὡς γυναικὸς, μηχανὰς χρωμάτων, ῥημάτων, σχημάτων, τὰς δι' ὀμμάτων ἀπάτας, τὰς δι' ὀσφρήσεως λυκύθους, τὰς δι' ἀκοῶν τῆς ψυχῆς πολιορκίας, τὰς διὰ φύσεως κλάσεις τοῦ σώματος· δι' ὅλων γὰρ ὧδευε τῷ αἰθητηρίων τὰ θέλγειν ἰσχύοντα· πάντα δὲ πρὸς ἕνα σκοπὸν, τὸν νέον ἐφέροντο· ἀλλ' ὁ τοσούτοις ὅπλοις πανταχόθεν βαλλόμενος, ὅπλον εἶχε πρὸς πάντα τὸν μνήμην τοῦ πλάσαντος. Ἡ μὲν γὰρ εἶχεν ἄχρυπνον τὸ βλέμμα, τὴν τοῦ Ἰωσὴφ σωφροσύνην λησθεῖν ἐλπίζουσα, λοχῶσα τοὺς χρόνους, ἐπιτηροῦσα καιρὸς, παρακαλοῦσα συνεχῶς. Τῷ γὰρ πάθει πραθεῖσα, συγκαταπατᾷ τῇ τῆς ἀκολασίας δουλείᾳ πρόσεδρα τὸν σώφρονα. Συμπράττων δὲ ταῖς τῆς γυναικὸς ἐπιβουλαῖς ὁ διάβολος, ἐρημίαν τῷ παρόντων, ἐξ ἑορτῆς δαιμονικῆς κατεσκεύασεν· ἐγένετο γάρ, φησι, τοιαύτης ἡμέρα, καὶ ἦν οὐδεὶς ἐν τῇ οἰκίᾳ ἔσω. Εἰσῆλθε δὲ Ἰωσὴφ ποιεῖν τὰ ἔργα αὐτῆς, καὶ οὐδεὶς ἦν ἐν τῇ οἰκίᾳ ἔσω· καὶ ἐπεπάσατο τοῦ Ἰωσὴφ τῶν ἱματίων, λέγουσα αὐτῷ κοιμήθητι μετ' ἐμοῦ. Ὦ πόσῃ ἡ τῆς σωφροσύνης ἀξία! Ὦ πηλίκοις ὁ τῆς σεμνότητος στέφανος! Ὡς δῆλος ἐφάνη, καὶ ὡς δεσπότης παρὰ δεσποίνης ἱκετεύεται. Ὦ πόσῃ τῆς ἀκολασίας ἡ πτῶσις! τοῦ γὰρ δήλου τῷ δέσποιναν ἔδειξε δούλῳ. ἡ γὰρ τὴν ψυχὴν τῷ πάθει πωλήσασα, καὶ τῷ ἔξωθεν ἀξίαν ἀπώλεσε. Κοιμήθητι μετ' ἐμοῦ. ὦ τῆς ἀκολάστου τυραννίδος! Δεσμώτην κατέχει τὸν σώφρονα, καὶ κολακείᾳ ῥημάτων χεῖρας βίαν ἀνέμιξεν. Ὦ τῶν ἀμηχάνων κακῶν! Ὦ τῆς ἀλύτου συμφορᾶς! Ἐν μεσοδικτύοις ἀπή-

πήλειπτο θήραμα δίκαιον. ὁ δὲ δίκαιος τί ἐποίησεν; εἴδωμεν τῆς σωφροσύνης ἐν κινδύνοις τὰς τέχνας, καὶ μετ' αὐτῆς τὸ νικᾶν διδασκώμεθα. Πρῶτον ἐπισομίζειν πειρᾶται τὸ πάθος, καὶ ζόπον ἀκόλασον χαλινὸν ῥημάτων σεμνότητι. Εἰ ὁ κύριός με οὐ γινώσκει δι' ἐμὲ οὐδέν, κὴ τὰ ἑξῆς. Ἐπιμελητήν με τῆς οἰκίας ὁ δεσπότης κατέστησεν, οἰκέτας ὑπέταξεν, ἐνεχείρισε χρήματα, τὰς ἐμὰς φροντίδας τοῖς οἰκείοις ὅπλωσε κτήμασι. Τί ἓν; ὁ χρημάτων φροντίζων τῲ κοίτῳ συλήσω; ὁ τῲ κτῆσιν φυλάττων, τὴν δίκῃ καθυβρίσω; ὁ κτήμασιν εὔνους, περὶ τὸ μέρος πολέμιος; καὶ πῶς πρὸς τὸν Θεὸν ἀναβλέψω; ποίοις ὀφθαλμοῖς τὸν δεσπότην θεάσωμαι; πῶς ποιήσω τὸ ῥῆμα τοῦτο; φεύγω, γύναι, τῲ φωνήν· σὺ τὴν πρᾶξιν αἰτεῖς; πέπλημμαι ἐγὼ τῲ ἀκοῇ, καθάπερ ξίφει, τῷ ῥήματι. Πῶς ποιήσω; πῶς ἀκοὰς μολυνθείσας ἰάσωμαι; πῶς τῷ σῶν ῥημάτων ἀποσμήξω τὸν βόρβορον; Τοιαύταις ἐπωδαῖς σωφροσύνης ὁ δίκαιος χρώμενος, ἀκόλασον θηρίον οὐκ ἔπεισεν· ἀλλὰ καὶ χεῖρας ἐπέβαλον ὡπλισμένας τοῖς πάθεσι. Παρῆν καὶ συναγωνιστὴς τῇ γυναικὶ διάβολος, ὁ τῆς μοιχείας ἀγωνοθέτης, κὴ τῆς ἀκολασίας νυμφαγωγός. Ἠγνόει δὲ ἄρα πρὸς ἀθλητὴν σωφροσύνης παλαίων. Τῇ κρατούσῃ χειρὶ τὸν κρατούμενον χιτῶνα προσείλας, τὰς ἀκολάστους διαδιδράσκει λαβάς, ὅπλῳ τῇ φυγῇ πρὸς ἀσιστείαν χρησάμενος, καὶ γίνεται τοῦ χιτῶνος προδότης, ἵνα φύλαξ γένηται σωφροσύνης, κὴ ἔχει γυμνὸς ἀριστεῖς τὸν ὑπὲρ ἀρετῆς ἀγῶνα δραμών, κὴ γυμνᾶται χιτῶνος, ἵνα μὴ γυμνωθῇ σωφροσύνης. Τῷ δὲ γυναίῳ συνηντηθεὶς ὁ στρατηγὸς τῆς ἀκολασίας διάβολος, ἑτέρως πάλιν ὁπλίζεται, καὶ πρὸς θυμὸν μετασκευάζει τὸ φίλτρον, καὶ χαλκεύει τὸν πόθον εἰς ὅπλον, κὴ γλῶτταν ἐγείρει κατήγορον, κὴ χιτῶνα δεικνῦσα πιστεύεται. Ὦ παραδόξου συκοφαντίας, κὴ ἀνοίας βαρβαρικῆς! Χιτῶνα φέρουσα τῷ χειρῶν τὸν κατήγορον, γλώττῃ κατηγορούσῃ πιστεύεται· καὶ τὸ δεσμωτήριον

εἶχεν ὁ Ἰωσὴφ οἰκέτης ὁμῶ, καὶ δεσμώτης γενόμενος. Ἀλλὰ τοσούτοις περισάσεως κύμασιν ὁ νέος ἀντλούμενος, τῷ ψυχῷ ἀνάλωτος ἔμεινεν· ὁ δὲ ἀφῆκε φωνὴν δυσχερῆ, τὴν θείαν κηδεμονίαν καταμεμφόμενος· αὗται, λέγων, τῆς ἀρετῆς αἱ ἀμοιβαί; ἕτος ὁ τῆς σωφροσύνης καρπός; οὗτός μοι τῆς εἰς πατέρα θεραπείας μισθός; βασκανία, καὶ φρᾶσις, καὶ παρὰ βαρβάροις δουλεία; καὶ οἶκος τὸ δεσμωτήριον, καὶ σιδήρῳ κατάδικος; καὶ τῆς μοιχείας τῷ πρᾶξιν νικήσαντες, τῇ τῆς μοιχείας τιμωρίᾳ πρέμεθα; τούτων οὐδὲν διὰ γλώττης ἐφθέγγετο, ἀλλὰ πᾶσιν ὑπομονῇ ἀντιπάξας, ἀχαρίστῳ γνώμῃ τοὺς κινδύνους ὑπέφερε, καὶ σιωπῶν κατεδικάζετο, τῷ δικαίῳ κριτῇ τῷ κρίσιν παμιδόμενος· καὶ σιωπᾷν ἔπειθε γλῶτταν, ὀφθαλμοῖς ἀθανάτοις τὴν δίκην πισθόσας. Εἰ τοῦτο θαυμάζεις, ἀγαπητέ, τὸ μεῖζον ἐκπλάγηθι. Ὅρα γὰρ τὸ νέου μακροθυμίαν· ὅρα φιλοσοφίας ἑτέρας ἀκρότητα, ἵνα καὶ σὺ τὴν γνώμην μιμούμενος ἀρέσῃς τῷ κτίσαντι. Τοιαῦτα γὰρ πεπονθὼς, οὐδὲ ῥήματι τοὺς ἠδικηκότας ἠμύνετο, οὐδὲ φωνῇ ἀφῆκε πικρὰν, κατὰ τῷ συμφορᾶς αὐτὸν περιβαλόντων πικρᾶς. Τοῖς γὰρ παρὰ τοῦ Βασιλέως μὲν δεσμώταις ἐν τῷ δεσμωτηρίῳ συνδιέτριβεν· οἷς λύσας τὸ τῷ ὀνείρων ἀμήχανον, διηγεῖσθαι τὰ καθ' ἑαυτὸν ἠναγκάζετο, καὶ τῷ οἰκείων δεσμῶν τὴν αἰτίαν ἐκτίθεσθαι. Καί φησιν· ὅτι κλοπῇ ἐκλάπην ἐκ τῆς Ἑβραίων, καὶ ὧδε ἐποίησα οὐδέν. Ποία γλῶττα φρὸς ἀξίαν τοὺς λόγους ὑμνήσειεν, ὁ καὶ μέχρι λόγου φρὸς πολεμοῦντας φιλάνθρωπος· ὁ τοῦ φθόνου μνησθεὶς, ὁ τῆς ἀδελφικῆς κατηγορήσας ὠμότητος, οὐ τὴν πρᾶσιν διηγησάμενος, οὐ τοῦ φθόνου τὴν μελέτην ἐκθέμενος, ὁ τῆς γυναικὸς τὸν ἀκόλαστον ἔρωτα, οὐ τῷ ἑαυτοῦ σωφροσύνῃ, ὁ τῷ ἐκείνης ἐπήρειαν. Ὦ γλῶττα τοῦ Δαβὶδ ἐν φυλακῇ μελετῶσα τοῦτο! Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. Ἀλλὰ γὰρ ἔτω διὰ πασῶν ὁδεύσας τῷ ἀρετῷ, καὶ καθάπερ ἐν

πυρὶ

περὶ τοῖς πειρασμοῖς χωνδθείς, καὶ φανεὶς ἀθλητὴς δοκιμώτατος, ἆθλον ἀρετῆς τὴν βασιλείαν κομίζεται. Διαδέχεται θρόνος τὸ δεσμωτήριον, καὶ γίνεται τῆς Αἰγύπτου δεσπότης, ὁ τῆς μοιχαλίδος δεσμώτης, φύλαξ ἀθηνίας, καὶ λιμῶ κυβερνήτης. Ἀδελφικῶ γὸ φθόνω γίνεται δήμιος, καὶ δικαστὴς, καὶ φέρει ζοφῆς ἱκέτας, τὰς τῇ φράσει ζαφέντας, καὶ τῇ ὀνείρων ὀρθῶται τὰ δράγματα. Λαβὼν τοίνυν τλὼ τὸ ἀμυνάσθαι δυνάμιν, εἰδωμεν οἷος ἐγένετο. Ἆρα μὴ τὰς λάμποντας τῆς ἀρετῆς χαρακτῆρας ἠμαύρωσε; ἆρα μὴ γέγονεν ἡ τῆς ἀξίας ὑπόθεσις, κατορθωμάτων ὑπόπτωσίς τε, καὶ ὑφαίρεσις; ἐδαμῶς. Λαβὼν γὸ ὑπὸ χεῖρα τὰς ἀδικήσαντας, καὶ κολάζειν ἐκ ἀδελφὰς, ἀλλὰ πολεμίας δυνάμενος, τί ποιεῖ; Ὅρα παράδοξον ἐκδικήσεως ζόπον. Φθόνον, καὶ φράσιν, καὶ θηριώδη μανίαν διὰ φιλανθρωπίας ἀμύνεται· παίζει τὸν φόβον, καὶ ἀπειλῶ δραματεργεῖ, καὶ ὀργλῶ ὑποκείνεται. Οὐκ ἐνεγκὼν δὲ οὐδὲ τοῦ θυμοῦ τλὼ ὑπόκεισιν, δάκρυσιν ἀληθινοῖς τὸ φράγμα διέλυσε· καὶ τῷ πόθῳ νικηθεὶς, ἐξαγγέλλει τὰ πλάσματα. Ἀπολογίαν ὑπὲρ τῶν ἀδικησάντων, ὁ ἀδικήμενος ζητεῖ, καὶ τλὼ ψυχλὼ ἐκκαλύψας, εἰλικρινῶς τὰς ἀδελφὰς περιπτύσσεται, καὶ χείλεσι γνησίοις ἀσπάζεται τὰς ἀνηλεῶς τοῖς ὀδοῖσι σταράξαντας. Ἔχεις τὸ Ἰωσὴφ τὴν ζωὴν, ἀρετῆς παντοίας διδάσκαλον. Εἶδες παῖκὸ γήρως θεραπευτλὼ, προσάγμασι θείοις ἀκόλουθον, ἀγαπῶντα μισοῦντας, τῆς νέας διαθήκης τὸ πολίτευμα προσφωνοῦντα, ἥμερον πωλέμενον καὶ ὑπομένοντα, δελεάζοντα, καὶ μὴ τὴν ἐλευθερίαν ἀποτιθέμενον, ὀφθαλμοῖς δεσποίνης βαλλόμενον, καὶ τῷ σωφροσυνῆς πόθῳ νικῶντα πόθον ἀκόλαστον, συκοφαντέμενον, καὶ σιωπῶντα, ἐν ἐξουσίαις φιλανθρωπεν, καὶ ἐν δυνάμει σραότατον μιμητὴν τῆς θείας ἀγαθότητος· ὧν γένοιτο μαθητὰς γενομένους, τῷ ἐπουρανίων ἀγαθῶν ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΜΩΥΣΗΝ.

Πολλὰ τὰ πρὸς ὕμνον κινοῦντα τὸ Θεὸ τοὺς ἀνθρώπους, πολλὰ τὰ πρὸς εὐχαριστίαν τοὺς εὐγνώμονας ἄγοντα· ὅποι γάρ τις περιενέγκοι αὖ τὸ βλέμμα, εὐεργεσίας πηγὰς ἀεὶ χεομένας ὁρᾷ. Ἥλιος μὲν ἐπιτάγματι τρέχων, καὶ τοῖς ἐν γῇ βαδίζουσι τὰς ἀκτῖνας ἐπιχέων· σελήνη δὲ διαδεχθεῖσα τὸ φέγγος, καὶ τῆς νυκτὸς ἡμεροῦσα τὸ πάθος· αὐξήσει δὲ, καὶ μειώσει ποικιλομένη, τοὺς τοῦ ἀέρος εὐπρεπεῖς ἀπεργάζεται κράσεις. Ἀστέρες τὸν οὐρανὸν στεφανοῦντες, καιρῶν σημεῖα τοῖς ἀνθρώποις ὑπάρχουσι· γῆ ποσὶ μὲν ὑποβέβηκε σχῆμα, χερσὶ δὲ καὶ χρείαις ἀνθρώπων ὑπέστρωται, τὰς δὲ τῶν καρπῶν ὠδῖνας ἀνθρώπῳ μόνῳ προσφέρει. Εἰ δὲ καὶ τῶν ἀλόγων ἡ φύσις παραπολαύει τῆς δωρεᾶς, ἀλλ' ἀνθρώπῳ κυρίως ἡ τῆς γῆς παρεσκεύασται τράπεζα· καὶ τοῦτο σαφῶς ὁ λυρῳδὸς Προφήτης ἀναμιμνήσκων οἶδεν· ἐξανατέλλων γάρ, φησι, χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· Ὡς ἀνθρώπου θεράποντας τρέφει τῶν ἀλόγων τὰ γένη, ὡς τῆς τούτων τροφῆς ἀνθρώπου γινομένης τιμῆς. Τοιγαροῦν, τῆς ὑπὲρ τούτων εὐχαριστίας, μόνος ὀφειλέτης καθέστηκεν ἄνθρωπος, καὶ μόνος εὐγνωμοσυνῆς τῷ Δεσπότῃ χρεώστης. Πολλὰ μὲν οὖν, ὡς ἔφην, τὰ πρὸς ὑμνῳδίαν κινοῦντα τὸν κτίσαντος· μοχθηρίᾳ δὲ γνώμης ἄνθρωποι πολλάκις κινούμενοι τὸν εὐεργέτην ὡς ἐπίβουλον μέμφονται· ἕτεροι δὲ τὰς τῆς εὐεργεσίας προφάσεις εἰδώλοις ἀνάπτουσιν· ἄλλοι πρὸς βλασφημίαν τὴν γλῶτταν ἐγείρουσιν· ἕτεροι ταῖς θείαις οἰκονομίαις πολεμοῦσιν, καὶ αἰσχυνόμενοι· ἕτεροι μηχαναῖς λογισμῶν τῆς θείων βουλευμάτων κρατῆσαι βιάζονται. Φερέσθω μάρτυς ἡμῖν τῆς εἰρημένων, τὰ κατ' Αἴγυπτον πράγματα, ἡ Φαραὼ πρὸς Θεὸν φιλονεικία, Μωϋσέως ἡ γένησις, ἢ καὶ πολε-

μοῦν-

μεντες πεπτώκασιν οἱ Αἰγύπτιοι· θαυμάσας γάρ πότε Θεὸς τοῦ Ἀβραὰμ τὸ τῆς γνώμης φιλόθεον, δι' γενείας φύσεως τὸν τρόπον ἀμείβεται· καὶ Πατέρα πολλῶν ἀναγράψας, ψάμμῳ θαλάττης, καὶ ἄστροις Οὐρανῦ συνέτεινε τὸ γένος τὸν ἀριθμόν· ὑποχόμενος, τοῖς ἔργοις ἐκύρωτὰ ἐπαγγέλματα· εἶτα δὲ ἡ φύσις τῷ πλάσῃ, πλεσίας τὸ γένες τὰς ἀντιδόσεις εἰργάζετο. Ἀλλ' Αἴγυπτος ἀντεστρατήγει Θεῷ, καὶ Φαραὼ φιλονεικῶν τῷ Θεῷ, τὴν τὸ γένες αὔξησιν κολοβῦν ἐπεχείρει· δεῦτε γάρ, φησι, κατασοφισώμεθα αὐτὸς, καὶ ἐὰν μὲν ᾖ ἄρρεν, εἰς τὸν ποταμὸν ῥίψατε αὐτό· ἐὰν δὲ θῆλυ, ζωοποιήσατε. Καὶ τὸ ἄρρεν γονὸ καταδικάζει τῷ φιλανθρώπῳ, κείρων μὲν τὰς τῆς φύσεως ἀφορμὰς, δρόμον δὲ γαστρὸς ἐπέχων τοῖς ἐπιτάγμασι· καὶ πᾶσαν γράμμα βασιλέως ἐπολιόρκει τὴν φύσιν, καὶ ἦν δράμα παράδοξον. Τοῦ Δημιουργοῦ μὲν ἔπλαττον χεῖρες, βασιλέως δὲ χεῖρες τοῖς ὕδασι τὸ πλάσιν ἀπήλειφον, καὶ πανταχῆ τῷ ὠδίνων ἦσαν κατάσκοποι, καὶ ποταμὸς τῶν τικτομένων ἐχειροτονεῖτο δήμιος. Νόμος ἐγράφετο, καὶ φύσις ὑπεθύνετο, καὶ φάσις ἐκρίνετο, ὠδῖνες κατεδικάζοντο, καὶ τόκος ἐδοκιμάζετο, καὶ φύσεως παρρησία σεσύλητο. Ἐλόχα δὲ ποταμὸς τὰ τικτόμενα, καὶ διεδέχετο τὰς τῶν μητέρων γαστέρας, ἡ τῶν ῥευμάτων γαστήρ. Ἄρτι βρέφος ἐτίκτετο, καὶ μήπω τὰς ἡλιακὰς ἀκτῖνας θεώμενον, πρὸς τὰς τὸ ποταμὸ ὠδῖνας ἐπέμπετο. Πρᾶγμα πάντων ἐλεεινότατον! Φονεὺς ὁμῦ, καὶ τάφος ὁ ποταμὸς τῶν τικτομένων ἐγίνετο, καὶ τόκος τῷ θανάτῳ σύγχρονος. Ἀναίρεσις τῇ γεννήσει συνέβεχε, καὶ μητέρες ἅμα τῶν ὠδίνων ἐρχόμεναι, γενέσθαι μητέρες ἀπηύχοντο, ἀγνοίᾳ τὸ τικτόμενα σωῦαι τὰς ὠδῖνας δι'χόμεναι, προλαβεῖν ἐπιθυμοῦσαι τῷ θανάτῳ τὸν τόκον, ἵνα μὴ τῷ ποταμῷ μητέρες ὑπάρξωσι. Πένθος ἦν αὐταῖς πρὸ τὸ τόκε τὸ τικτόμενον, καὶ γαστέρες ἄκαρποι μετὰ γόνον καὶ τόκον νομίσμοντο, καὶ τῶν ὠδίνων τὰ βέλη δεχόμεναι, δεῖξαι τῶν πόνων

τοὺς καρπὸς ἐκ ἠδυύαντο· τὰς ὠδῖνας ὑπέμενον, καὶ τῆ ὠδίνων τὸν καρπὸν οὐκ ἐδέχοντο· ἄωροι βότρυες ἐτρυγῶντο τῆς φύσεως.

Τοιαύτη μὲν ἡ τῆ ἀνθρώπων πρὸς τὸν Θεὸν φιλονεικία. Ἠνέχετο δὲ τέως Θεὸς ὑπὸ ἀνθρώπων ἐμποδιζόμενος, καὶ τοῖ ὑπόχεσιν ἀδικημένοι ὁρῶν, ἐκαρτέρει, μετανοίας ἐλπίδι τὴν τιμωρίαν ἀναβαλλόμενος· ἐπέχων τοῖ πόλασιν, ἵνα ἐνέγκῃ πρὸς αἴθησιν. Ὁρῶν δὴ μόνον τὸ τῆς γνώμης ἀνένδοτον, περιβέπει τὰ μηχανήματα· καὶ Μωϋσέα τεχθέντα βέφειν αὐτὸν τὸν τῆς γεννήσεως κωλύοντα παρεσκεύαζε. Φοβέμενοι γὰρ μετὰ τόκον τὸν ἔλεγχον οἱ γεννήσαντες, φόβῳ καὶ πόθῳ τὸ βρέφος μερίζεσι, καὶ μετὰ τῆς κιβωτοῦ τῆ τοῦ ποταμοῦ ῥείθρῳ πιστεύσι, τῇ τῆς ἐπινοίας περιβολῇ τὸ βρέφος τειχίσαντες. Ὁ δὲ φέρεται μὲν ἀκινδύνως τῆ ῥεύματι κατὰ τοῦ πολεμοῦντος νόμου σωζόμενος. Ἐφείδετο γὰρ βρέφους ὁ ποταμὸς κελεύόμενος, οὗ τῇ ῥάβδῳ μετ' ὀλίγου καὶ τὸ πέλαγος ἀνεκόπτετο. Ἐφείδετο τοῦ βρέφους ὁ ποταμὸς, οὗ τῇ ῥάβδῳ καὶ αὐτὸς πληττόμενος εἰς αἷμα τὸ νᾶμα μετέβαλε. Πλέοντος ἓν παραδόξως τῷ βρέφει, θεωρὸς ἡ τῶ κακῶ νομοθέτε θυγάτηρ ἐπέμπετο, καὶ ἁλοῦσα τῇ θέᾳ, τῆ πόθῳ μήτηρ ἐγίνετο, καὶ Φαραὼ συνοικεῖ τὸ βρέφος μηκέτι φοβέμενον τὸν κίνδυνον. Ἀληθὴς ὁ δραστόμενος τοὺς σοφεὺς ἐν τῇ πανουργίᾳ αὐτῆ· ὁ τῆ νόμῳ σφαγεὺς, ὁ πᾶς τικτόσας ἓν εἶναι μητέρας, τὴν μὴ τεκοῦσαν συνεχώρει γενέσθαι μητέρα· καὶ βρέφος ἐσώζετο, καὶ νόμος ἐλύετο, παιδίῳ κρατεῖν ὁ δυνάμενος. Ὦ τῆς ἀπορρήτε, καὶ θείας ὄντως οἰκονομίας! ἕτερος νομοθέτης φιλανθρωπίας κατ' Αἰγυπτίων ἐτρέφετο. Φόβος ἔξω, καὶ δικασήρια κατὰ τῆς φύσεως, καὶ ὁ τικτόμενος ἐκολάζετο, ἔγκλημα φέρων τοῖ γεννῆσιν, ὅτι προῆλθε τῆς μήτρας τιμωρούμενος, καὶ νόμος Αἰγύπτιος κατὰ τοῦ νόμου τῆς φύσεως ἐστρατεύετο· κύδον δὲ Μωϋσῆς ἐν ταῖς τῆ φοβέντων ἀγκάλαις ἐτρέφετο, τῆ παιδοκτόνῳ νό-

νόμῳ ζωὴν δεικνύων ἀντίπαλον, καὶ τὴν τοῦ Φαραὼ τυραννίδα παῦσαι, ὑπὸ τοῦ πατρὸς πεμφθείς. Αὐξηθεὶς δὲ τὸ βρέφος γίνεται πρὸς τὸ γενναῖον αὐτόμολον, καὶ βασιλικῆς ἀξίας τὰς ἐλπίδας ἀποσειόμενον, τὴν ἐξ Ἀβραὰμ ἐπόθει συγγένειαν· καὶ ἀσεβοῦς πλούτου τιμὴ μετ' εὐσεβείας πενία πρωτιμοτέραν ἐνόμιζε. Καὶ ὅτε ξοφῆ τὴν γνώμην μετέβαλεν, ὅτε χρόνος τὸν ξόπον μετέσησεν· ἀλλὰ τῆς θείας ἦν ἐρασὴς θεραπείας, διδοὺς τοῦ Παύλῳ περὶ αὐτοῦ μετ' αὐτὸν ἀναφθέγγεσθαι· μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τοῦ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν. Ὀργὴ τοῦ Βασιλέως ἐντεῦθεν, ὑπόθεσιν ἔχουσα τιμὴν εὐσέβειαν· ὁ δὲ Μωϋσῆς ἐν φυγῇ, μεταβαίνων αὖτις ξόπους τόπον. Ἐπιφαίνεται Θεὸς ἐν τοῦ ὄρει ποιμαίνοντι· συγχωρεῖ γὰρ αὐτῷ καὶ ποιμαίνειν Θεὸς, ἵνα ἐκ ποιμνίου προβάτων, ποιμνία τοῦ Ἰσραὴλ ἀναδείξῃ, καὶ ποιμαντικὴν ἐν μικροῖς μελετήσαντι, τὴν τοῦ ὁμοφύλων ἡγεμονείαν πιστεύσειεν. Ἐν τούτοις δὲ ὄντι Θεὸς ἐπιφαίνεται, ἆθλον τὴν ἀθέατον θέαν ὑπὲρ εὐσεβείας πόνων δωρούμενος· καὶ δείκνυσι πῦρ ἐπὶ βάτου φλεγόμενον, καὶ τὰ πυρὸς ἐκ ἐργαζόμενον, ἄνθος πρεὶ σεφανούμενον, καὶ φυτὸν εὐτελὲς φλογὸς ἀναπτομένης ἀντίπαλον· καὶ φωνὴ φερομένη, τὸν Μωϋσέα κατ' Αἰγυπτίων καθώπλιζε, στρατηγικὸν ὑπὲρ τοῦ λαοῦ δοῦσα τὸ σύνθημα. Τούτοις παρορμισθεὶς ὁ Μωϋσῆς τὸν λαὸν ἐξήγειτο· ἀντιφράττοντος δὲ πάλιν τοῦ Φαραὼ, θεηλάτοις Αἴγυπτος ἐτιμώρησετο μάστιξιν. Ἐκεῖ ποταμὸς ῥάβδῳ τυπτόμενος ἐφοινίσσετο· ἐκεῖ βατράχων ἔνυδρα κατ' Αἰγυπτίων καθώπλιζε στρατόπεδα· ἐξ ἀέρος ἀκρίδες νέφη τῇ πτήσει μιμούμεναι· πάλιν σκότος ἐπεκράτει τοῦ φωτὸς, καὶ ἐκ τῆς ἡμέρας ὁ χρόνος, νυκτὸς παραπάλωμα· ἐκεῖ χάλαζα τοῦ πυρὶ συνεφράττετο, καὶ παρὰ φύσιν ὠμονόει τὰ τῇ φύσει μαχόμενα, τὸν τῆς φύσεως πόλεμον κατ' Αἰγυπτίων μεταγοντα· ἐκεῖ θανάτου τοῦ πρωτοτόκων τοῦ πρωτευόντων ὠδίνων κατεβόσκετο, καὶ τοῦ τόκων ἡ τάξις

θανάτῳ πλῆσις ἐγένετο· καὶ τῷ μαστίγων ὁ δρόμος ἐφέρετο, ἕως ἡ θάλαττα πλησεῖσα τῇ ῥάβδῳ, τοῖς μὲν ὁδὸς, τοῖς δὲ τάφος ἐγίνετο· καὶ πέλαγος τοῖς μὲν ἐξ Ἀβραὰμ φρὸς ἤπειρον μετεπήγνυτο, τὰς δὲ τοῖς κύμασιν ἐσαγωΐδισε. Τὸ πλεόμενον ἐπεζοδίετο, καὶ πόδες ἀνθρώπων κεκονισμένοι τὸν βυθὸν ἐσαδίδων. Οὕτως ἀντιφράττοντας φέρειν μὲν οἶδε διὰ μακροθυμίαν Θεὸς, τῇ τῆς τιμωρίας ὑπερθέσει φροθεσμίαν διδοὺς εἰς μετάγνωσιν· ὁρῶν δὲ φρὸς τὸ τῆς φιλανθρωπίας ἐχ ὑπείκοντας φάρμακον, φρὸς δικασὴν τὸν ἰαζὸν μεταβάλλει, καὶ σωφρονίζει κολάσεσι τοὺς τὰς συμβελὰς ἀτιμάσαντας. Αἰγυπτίους μὲν ἂν ἔπω κολάζει Θεός. Μωϋσῆς δὲ τὸ λαὸ παιδευτὴς κατασὰς, τὸ τῆς θεογνωσίας παραδίδωσι μάθημα. Ἐβούλετο γὸ ἐξελθόντας Αἰγύπτου, μηδὲν ἐπάγεσθαι τῆς Αἰγυπτιακῆς ἀσεβείας ἐφόδιον. Οὗτος γίνεται τῷ τῆς κτίσεως ἀπορρήτων συγγραφεὺς, ὁ τὸ κόσμου τὴν ποίησιν, βιβλίον ἀπεργασάμενος· ὁ τὴν πολυπλανήτον σήσας ἀσέβειαν διὰ τῆς κοσμοποιΐας ὠδίνσαν· ὁ λύσας κατηγορίαν τῆς κτίσεως. Ὁ φρῶτος ἐμβοήσας ἀνθρώποις Θεὸν εἶναι τὸ παντὸς ποιητὴν, καὶ πείσας μὴ μεταφέρειν ἀπὸ τὸ κτίσαντος φρὸς τὰ κτισθέντα τὸ σέβας· ὁ διδάξας μὴ φροσκυνεῖν τῳ ὁμόδουλον, εἰπών· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν ὐρανὸν, καὶ τὴν γῆν. Εἰ θαυμάζεις, ἀγαπητὲ, τὰ κτισθέντα, φροσκυνῶν τὸν ἐργασάμενον· εἰ χαίρεις τοῖς κτίσμασι, μὴ ἀτιμάσῃς τὸν κτίσαντα, μηδὲ τὸ δημιουργὸ τὴν δόξαν τοῖς γεγονόσι περίβαλε. Ἀρνεῖται γὸ τὸ τὸ κτίσαντος ἡ κτίσις ὑποδέχεθαι σέβας· φοβεῖται τῳ τιμῳ ὡς ἀπωλείας ὑπόθεσιν. Προσκυνεῖν πέφυκεν, ὲ φροσκυνεῖσθαι μεμάθηκε. Καὶ πάλιν ἐτέρωθι· Κύριος ὁ Θεός σε, Κύριος εἷς ἐστι. Πρόῤῥιζος εἰδωλολατρείας αἵρεσις· πολυπλανήτε δουλείας ἐλευθερία· φρὸς ποικίλας δαιμόνων θεραπείας τῳ ψυχῳ ἐῤῥιμμένην αἴτησι. Τί γὰρ τῷ τῆς κτίσεως μερῶν ὑπῆρχε τοῖς ἀνθρώποις

ἀθρή-

ἀθρήσκευτον; οἵγε ἄχρις ἑρπετῶν, καὶ κτηνῶν, τὸ τοῦ κτίσαντος κατεβίβασαν σέβας, καὶ φύσις ἄλογος ὑπὸ τῶν λογικῶν ἐθρησκεύετο. Παρ' Αἰγυπτίοις δὲ τὸ πάθος εἶχεν ἐπίπασιν. Οὐκ ἠρκοῦντο γὰρ τοῖς ἠπειρώταις, ἀλλὰ καὶ παρὰ τὸ ὕδατος Θεοὺς ἐδανείζοντο· καὶ πάντα Θεὸς παρ' ἐκείνοις. Ταύτην καὶ παρ' Ἑβραίοις τὴν νόσον ὁρῶν ὁ Μωϋσῆς ἐμφωλεύουσαν, ἐκμοχλεύων τὸ πάθος ἐβόα· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. Οὔπω γὰρ τῷ Τριάδα κηρύττειν καιρὸς, ἔπω τὰς ὑποστάσεις κηρύττειν ἠδύνατο· ἔτι γάλακτι ζέφει θεογνωσίας τὰς νηπιώδεις τῷ σύνοιαν· ἠρκέθη μόνῃ τῇ τῆς θεογνωσίας διδασκαλίᾳ μίαν αὐτοῖς φύσιν ὑπαγορεύων εἶναι Θεότητος, ἵνα δῆμον ὅλον Θεῶν τῆς ψυχῆς ἐξορίσῃ· ἤρκει γὰρ τοῖς ἐκ τοιαύτης πλάνης ἀποσωμένοις τὰ πρῶτα τῆς θεογνωσίας μαθήματα. Διὰ τοῦτο διδάξας τὴν Μονάδα τῆς φύσεως, τὴν Τριάδα τῶν ὑποστάσεων διδάσκειν κατὰ καιρὸν ὑπερέθετο· τὸ γὰρ τῆς ψυχῆς δυσπαθὲς, ἐπισφαλὲς πρὸς ἐπίγνωσιν. Φοβεῖται γὰρ μὴ Τριάδα διδάσκων Θεότητος, πολλούς τινας Θεοὺς παρ' Ἰουδαίοις κηρύττειν νομίζηται. Αἰνίγμασι δὲ μόνοις τέως χειραγωγεῖ τοὺς ἀκούοντας, καὶ μικρὸν τῆς αὐγῆς ὑπανοίγων ἐπαύετο. Καθάπερ οἱ τὰς ἄρτι τοῦ νοσεῖν ὀφθαλμοὺς παυσαμένους πρὸς τὸ φέγγος γυμνάζοντες, τὰ μὲν ἡλίου τὰς ἀκτῖνας τοῖς πεπονθόσιν ἀποτειχίζουσι, διά τινος δὲ παραπετάσματος τοὺς ὀφθαλμοὺς τῷ φωτὶ ἀποκναίουσι. Τοῦτο ποιῶν ὁ μακάριος Μωϋσῆς, καὶ τυφλώττοντα τῷ τῆς εἰδωλολατρείας πάθει τὸν λαὸν διὰ θεογνωσίας ἰώμενος, ἔπω θαρρεῖ τῷ ἅπασαν τῆς γνώσεως αὐγὴν ἐκπετάσαι· ἀμυδροῖς δὲ φέγγεσι τοῖς αἰνίγμασι χρώμενος, ὑπανοίγει τῆς Τριάδος τὸ φῶς. Τί γάρ φησι; Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. Ἕνα μηνύει, καὶ ζῆτον ἐπονομάζει. Περὶ οὗ διαλέγεται, καὶ ζηπλασιάζει τὴν φωνὴν, ἵνα τὰς ὑποστάσεις μαρτύρηται. Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. Μονονουχὶ λέγων, εἷς τὴν οὐσίαν,

ἀλλ'

ἀλλ' ἐν ζισὶν ὑποσάσεσι. Καὶ πάλιν ἑτέρωθι· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καθ' ὁμοίωσιν· τῇ τῆς φωνῆς φοφορᾷ τὰς ὑποσάσεις αἰνίττεται. Καὶ πάλιν· δεῦτε καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. Καὶ πολλαχοῦ τῆς θείας Γραφῆς τὰς τοιάσδε διαπείρει σιναθήρας, ἵνα μὲν τοῖς ἀσθενέσιν ὀφθαλμοῖς ἐξαπλώσας τὸ φέγγος, τοῖς δὲ τελείοις τῆς σερεᾶς ζοφῆς ταμιεύομενος τὴν ἀπόλαυσιν. Καὶ μὴ θαυμάσῃς ὁρῶν Ἰουδαῖον ἐναπομένοντα τῇ πολυετεῖ νηπιότητι, ὁπότε μετὰ Μωσέα, καὶ Προφήτας, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, μετὰ τὴν τῶν Μυστηρίων ἐπίγνωσιν, αἱρετικῶν σίφος τῷ κτίσαντι μάχεται, τὸν Δημιουργὸν ὑπουργὸν ὀνομάζοντες, καὶ δοῦλον τὸν Δεσπότην προσαγορεύοντες· ἕτεροι δὲ τὸν πρὸς τὸ πνεῦμα πόλεμον ἀνεδέξαντο, καὶ φέρουσιν ὄνομα τῆς μάχης τὸ σύμβολον. Ἕτεροι γίνεσθαι Θεὸν ἐφαντάσθησαν ἄνθρωπον, δι' ἑτέρας ὁδοῦ πρὸς κτίσματος φύσιν τὸν κτίσην καταγοντες, τῷ τῆς σαρκὸς λήψιν, γενέσιν τοῦ λαβόντος ὑπολαμβάνοντες, καὶ πάθεσιν ἀνθρωπίνοις τὸν ἀπαθῆ καταδικάζοντες. Ἀλλ' ἡμεῖς τῷ τοῦ μακαρίου Παύλου σαφῶς πρὸς αὐτοὺς ἀναβοῶμεν φωνῇ. Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Λαβὼν δι' ἡμῶν, ὃ γενόμενος καθ' ἡμᾶς. Μεμένηκε γὰρ ὃ ἦν, λαβὼν ὃ οὐκ ἦν· τοῦ Εὐαγγελίου λέγοντος· καὶ ὁ λόγος σὰρξ ἐγένετο· δηλονότι, ὃ οὐκ ἦν ἐγένετο, μείνας ὅπερ ἦν. Καὶ ἄπω δογματίζεται τοῖς Θεοφόροις, κατὰ τὸν εἰπόντα Προφήτην· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΒΑΣΙΛΕΙΟΥ

ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας,

ΛΟΓΟΣ ΕΙΣ ΒΑΡΛΑΑΜ ΜΑΡΤΥΡΑ.

Πρότερον μὲν τῶν Ἁγίων οἱ θανάτοι κοπετοῖς ἐκοσμοῦντο καὶ δάκρυσιν. Ἔκλαυσε σφοδρῶς τὸν Ἰακὼβ Ἰωσὴφ τεθνεῶτα· ἐκόψαντο καὶ τὸν Μωϋσέως τελευτὴν ὀλίγοι Ἰουδαῖοι· πολλοῖς καὶ τὸν Σαμουὴλ τετιμήκασι δάκρυσι. Νῦν δὲ ἐπὶ ταῖς τῶν Ὁσίων τελευταῖς σκιρτῶμεν· ἡ γὰρ τῶν λυπηρῶν μετὰ τὸν Σταυρὸν μεταβέβληται φύσις. Οὐκ ἔτι θρήνοις τὰς τῶν Ἁγίων δορυφορεῖμεν θανάτους, ἀλλ' ἐνθέοις χορείαις, τοῖς ἐκείνων ἐπορχούμεθα τάφοις· ὕπνος δὲ τοῖς δικαίοις ὁ θάνατος· μᾶλλον δὲ πρὸς κρείττω ζωὴν ἐκδημία. Ἐντεῦθεν σκιρτῶσι σφαττόμενοι Μάρτυρες· ὁ γὰρ τῆς μακαριωτέρας ζωῆς πόθος τὴν τῆς σφαγῆς ὀδύνην νεκρὰν ἀπεργάζεται· ὃ βλέπει τὰς κινδυνώδους, ἀλλὰ τὰς σεφανους ὁ Μάρτυς· οὐ φείττει τὰς πληγὰς, ἀλλ' ἀριθμεῖ τὰ βραβεῖα· ἐχ ὁρᾷ τοὺς κάτω μαστιγοῦντας δημίους, ἀλλὰ τοὺς ἄνωθεν Ἀγγέλους διφημοῦντας φαντάζεται· ὃ σκοπεῖ τῶν κινδυνων τὸ πρόσκαιρον, ἀλλὰ τὸ τῶν ἐπάθλων αἰώνιον. Λαμπρὸν καὶ παρ' ἡμῖν ἤδη τὸν ἀρραβῶνα καρπεῖται, ταῖς παρὰ πάντων ἐνθέοις διφημίαις κροτούμενος, καὶ μυρίας ἐκ πάντων σαγηνευόμενος δεσμίας. Τοῦτο δὴ τὸ τῷ γενναίῳ τήμερον Βαρλαὰμ πεπραγμένον· ἤχησε γὰρ ἡ πολεμικὴ τοῦ Μάρτυρος σάλπιγξ, καὶ τοὺς τῆς δυσεβείας ὁπλίτας, ὡς ὁρᾶτε, σωμήγαγεν. Ὁ τοῦ Χριστοῦ κείμενος ἀθλητὴς ἐκηρύχθη, καὶ τὸ τῆς Ἐκκλησίας ἀνεπτέρωσε θέαζον· καὶ (ὡς ἔλεγε τῶν πιστῶν ὁ Δεσπότης, ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται)

σεται) τέθνηκεν ὁ γενναῖος Βαρλαάμ, καὶ συγκροτεῖ πανηγύρεις· κατεωάλωται πάφῳ, καὶ συγκαλεῖ φρὸς ἑσίασιν. Νῶ ἡμῖν ἀναβοῆσαι καιρός· πῦ σοφός; πῦ γραμματεύς; ποῦ συζητητὴς τῦ αἰῶνος τέτε; Ἄγροικος ἡμῖν σήμερον ἡ ἀήττητος τῆς δυσεβείας διδασκαλία· ὃν εἶλκε μὲν τύραννος ὡς ἀνάλωτον θήραμα, ἔγνω δὲ μετὰ τεῦ θήραν ὁπλίτην ἀχείρωτον· ὃν ἐγέλα μὲν παρακεκομμένα φθεγγόμενον, ἔφριξε δὲ Ἀγγελικὰ νεανιευόμενον· οὐ γὰ συνεβαρβάριζεν ὁ τρόπος τῇ τῆς γλώττης ὀργανῳ, οὐδὲ ταῖς συλλαβαῖς συγχωλεύων ὁ λογισμὸς ἑωρᾶτο· ἀλλ' ἰῶ δεύτερος Παῦλος, μὴ Παύλου φθεγγόμενος, εἰ κὴ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. Ἐνάρκησαν μασίζοντες δήμιοι, ἀλλ' ἀκμαιότερος ὁ Μάρτυς ἐφείσκετο. Αἱ τῷ ξεόντων ἐξενευρίζοντο χεῖρες, ἀλλ' ὁ τῦ ξεομένυ λογισμὸς ὐκ ἐκάμπτετο. Τὰς τῷ νεύρων αἱ μάσιγες ἁρμονίας παρέλυσαν, ἀλλ' ὁ τῆς πίστεως ἀκριβέστερον ἐπεσφίγγετο τόνος. Διασκαπτόμεναι πλευραὶ δεδαπάνηντο, ἀλλ' ἡ τῦ φρονήματος ἰῶθει φιλοσοφία. Τῆς σαρκὸς αὐτοῦ τὸ πλέον νενέκρωτο, ἀλλ' ὡς μήπω τῷ ἀγώνων ἀρξάμενος ἤκμαζεν. Ὅταν γὰ ὁ τῆς δυσεβείας ἔρως τεῦ ψυχεῦ φροκατάσχῃ, ἅπαν αὐτῇ πολέμων καταγέλαστον εἶδος, κὴ πάντες αὐτεῦ ὑπὲρ τῦ ποθεμένυ καταξέοντες τέρπεσι μᾶλλον, ἢ πλήττεσι. Μαρτυρεῖ μοι τῷ Ἀποστόλων ὁ πόθος, τερπνὰς αὐτοῖς ποτὲ τὰς παρὰ Ἰουδαίων ἐργαζόμενος μάστιγας. Ἐπορεύοντο γάρ, φησι, χαίροντες ἀπὸ φροσώπυ τῦ συνεδρίυ, ὅτι ὑπὲρ τῦ ὀνόματος αὐτῦ καταξιώθησαν ἀτιμασθῆναι.

Τοιῦτος κὴ ὁ πάρεδρον ἡμῖν ὁπλίτης ὑμνούμενος, δι' ἀφροσύνην τὰς πολάσεις ἡγούμενος, ῥόδοις τισὶ βάλλεσθαι νομίζων ταῖς μάσιξι, τὰς τῆς ἀσεβείας σκιὰς δραπετεύων, ὡς φέλη. Καπνῦ σκιὰν τὸν δικαστικὸν θυμὸν λογιζόμενος, τάγματα δορυφόρων ἀπηχρειωμένα γελῶν, ὡς ἐπὶ σεφάνοις, τοῖς κινδυνίοις χορεύων· ταῖς πληγαῖς ὡς τιμαῖς ἐφραινόμενος, ταῖς σφοδροτέραις τιμωρίαις,

ὡς

ὡς βραβείοις ἐνσκιρτῶν λαμπροτέροις. Εἶφη διαπτύων γυμνέμενα· χεῖρας δημίων ὡς κηρῶ μαλακωτέρας δεχόμενος. Κολαστήριον ξύλον ὡς σωτήριον ἀσπαζόμενος· κλείσμασι δεσμωτηρίων, ὡς λειμῶσι τερπόμενος· βασανῶν ἐπινοίαις, ὡς ἀνθέων ποικιλίαις ἡδόμενος. Πυρὸς δὲ τονωτέραν δεξιὰν κεκτημένος· (ὃ δὴ τελευταῖον αὐτῷ παρὰ τῶν πολεμούντων προσῆκτο μηχάνημα). Βωμὸν δὲ πρὸς τὴν τῶν δαιμόνων ἀτιμίαν ἀνακαύσαντες, ἱστᾶσι παρ' αὐτῷ ἀγαγόντες τὸν Μάρτυρα, καὶ τῷ βωμῷ τὴν δεξιὰν ὑπτίαν ἐπαιωρῆσαι κελεύσαντες, ὡς χαλκῷ θυσιαστηρίῳ τῇ χειρὶ κατεχήσαντο, λιβανωτὸν αὐτῇ καιόμενον ἐνθέντες φλεγόμενον· ἤλπιζον γὰρ τῇ τοῦ πυρὸς βίᾳ τὴν χεῖρα καταπαλαισθεῖσαν, ἀνάγκη τῷ βωμῷ ταχέως λιβανωτὸν ἐπαφῆσειν· φεῦ τῆς πολυπλόκου τῶν ἀσεβῶν μαγγανείας! ἐπειδὴ μυρίοις; φησὶ, τὴν γνώμην οὐκ ἐκάμψαμεν ξαύμασι, κάμψωμεν ἐν φλογὶ τῷ φιλονείκου παλαισθῆναι τὴν χεῖρα. Ἐπειδὴ ποικίλαις μηχαναῖς τὴν ψυχὴν οὐκ ἐσείσαμεν, τὴν δεξιὰν γοῦν πυρὶ προσαγαγόντες σαλεύσωμεν. Ἀλλ' ὧδε ταύτης οἱ δείλαιοι τῆς ἐλπίδος ἀπώναντο· ἡ μὲν γὰρ φλὸξ τὴν χεῖρα διέξωσεν. ἔμενε δὲ ἡ χεὶρ, ὡς τέφραν τὴν φλόγα βασάζουσα· οὐκ ἔδωκε τῷ πολεμίῳ πυρὶ κατὰ τὰς φυγάδας τὰ νῶτα, ἀλλ' ἄπτερτος εἰστήκει καὶ φλογὸς ἀρισεύουσα, καὶ τὰς τῶ Προφήτα λέγειν τῷ Μάρτυρι διδοῦσα φωνάς· εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, καὶ τὰς δακτύλους μου εἰς πόλεμον. Πῦρ χειρὶ συνεπλέκετο, καὶ τοῦ πυρὸς τὰ τῆς ἥττης εἴδεσκετο· φλογὶ καὶ Μάρτυρος δεξιᾷ συνεκροτεῖτο πάλη, ἀλλ' ἰῷ τῆς δεξιᾶς καινήτις τῷ παλαισμάτων ἡ νίκη· τῆς μὲν φλογὸς διὰ μέσου τῆς χειρὸς ἐκπιπτούσης, τῆς χειρὸς δὲ ἔτι τεταμένης πρὸς πάλην. Ὦ χειρὸς φιλονεικοτέρας πυρός! ὦ χειρὸς κάμπτεσθαι ὑπὸ πυρὸς μὴ μαθούσης! ὦ πυρὸς ἥττᾶσθαι χειρὶ διδαχθέντος! σίδηρος τῇ τοῦ πυρὸς εἴκει τυραννίδι χαυνόμενος· χαλκὸς τῇ τοῦ πυρὸς παραχωρεῖ δυνα-

νασεία. Οἶδε τούτῳ καὶ λίθων αὐτιτυπία νικᾶσθαι· ἀλλ' ὁ πάντα τοῦ πυρὸς βιαζόμενος τόνος, Μάρτυρος νῦν δεξιὰν τεταμένην οὐκ ἔκαμψε κατακαίων. Εἰκότως αὖ ὁ Μάρτυς ἐπὶ τούτῳ πρὸς τὸν Δεσπότην βοήσειεν· Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με.

Τί σε, ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα, προσείπω; ἀνδριάντα καλέσω; πολύσε τῆς καρτερίας ὑλάτπωσα. Τὸν μὲν γὰρ πῦρ μαλάττει δεξάμενον· σοῦ δὲ τὴν δεξιὰν ὀφθῆναι μόνον κινουμένην οὐκ ἔπεισεν. Ἂν σίδηρον ὀνομάσω, καὶ τὴν τοιαύτην τῆς σῆς ἀνδρείας δυσίσκω λειπομένην εἰκόνα· σὺ γὰρ μόνος ἔπεισας φλόγα μὴ βιάζεσθαι χεῖρα· σὺ μόνος ἐκπίσω θυσιαστήριον δεξιάν· σὺ μόνος δεξιᾷ φλεγομένῃ τὰ τῶν δαιμόνων ἐρράπισας πρόσωπα· καὶ τότε μὲν ἀπωθρακωμένῃ χειρὶ τὰς ἐκείνων κεφαλὰς συγκατέπηξας· νῦν δὲ τεφρωθείσῃ ταύτῃ τὰς αὐτῶν στρατιὰς ἀποτυφλοῖς καταπαπῶν. Ἀλλὰ τί παιδικοῖς ἐλαττῶ τὸν ἀριστέα ψελλίσμασι; ταῖς μεγαλοπρεπεστέραις τῶν εἰς αὐτὸν ὕμνων παραχωρήσωμεν γλώτταις· τὰς μεγαλοφωνοτέρας τῶν διδασκάλων ἐπ' αὐτῷ καλέσωμεν σάλπιγγας. Ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι· τινὰ τὸ στρατηγικὸν κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλυνάτε τέχναις· ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. Ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ Μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ. Χαίρω τῇ τοιαύτῃ τῆς ὑμετέρας ἰσχύος σήμερον νίκῃ ἡττώμενος, ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκλινέστερον παρ' ὑμῶν γραφομένου τινὰ πάλιν. Ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαισθέντα γεγραμμένον εἰκόνος. Κλαυσάτωσαν δαίμονες, καὶ νῦν ταῖς τοῦ Μάρτυρος ἐν ὑμῖν ἀρετείαις πλητόμενοι. Φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύθω· ἐγγραφέσθω τῷ πίνακι, καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟ-

ΛΟΓΟΣ ΕΣ ΤΟΥΣ ΑΓΙΟΥΣ

ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΜΑΡΤΥΡΑΣ.

Μαρτύρων μνήμης τις αὖ γένοιτο κόρος τῷ φιλομάρτυρι; διότι ἡ πρὸς ἀγαθὰς τῷ ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην διανοίας· δῆλον γὰρ, ὅτι ὁ τὰς γενναίας ἄνδρας ἀποδεχόμενος, ἐν τοῖς ὁμοίοις καιροῖς οὐκ ἀπολειφθήσεται τῆς μιμήσεως. Μακάριστον γνησίως τὸν μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει, καὶ ἐκβὰς χωρὶς διωγμοῦ, χωρὶς πυρὸς, χωρὶς μαχαίρας, τῷ ἰσοτίμῳ ἐκείνοις μισθῶν ἠξιωμένος. Ἡμῖν δὲ, οὐχ ἕνα πρόκειται θαυμάζειν, οὐδὲ δύο μόνους, οὐδὲ μέχρι δεκάδος· ὁ ἀριθμὸς πρόεισι τῷ μακαριζομένῳ, ἀλλὰ τεσσαράκοντα Ἄνδρες, ὡς μίαν ψυχὴν ἐν διηρημένοις σώμασιν ἔχοντες, ἐν μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τῆς πίστεως, μίαν καὶ τιμὴν πρὸς τὰ δεινὰ καρτερίαν, τὴν ὑπὲρ τῆς εὐσεβείας ἔνστασιν ἐπεδείξαντο. Πάντες παραπλήσιοι ἀλλήλοις, ἴσοι τὴν γνώμην, ἴσοι τιμὴν ἄθλησιν· διὸ καὶ ὁμοτίμων τῶν στεφάνων τῆς δόξης κατηξιώθησαν. Τίς αὖ ἂν ἐφίκοιτο λόγος τῆς τούτων ἀξίας; οὐδὲ τεσσαράκοντα γλῶσσαι ἐξήρκεσαν αὖ τοσούτων ἀνδρῶν ἀρετὴν ἀνυμνῆσαι· καί τοι εἰ καὶ εἰς ἦν ὁ θαυμαζόμενος, τήν γε τῷ ἡμετέρων λόγων δυνάμιν ἐξήρκει καταπαλαῖσαι, μὴ ὅτι πλῆθος τοσοῦτον, φάλαγξ στρατιωτικὴ, σύστημα δυσκαταγώνιστον, ὁμοίως ἔντε πολέμοις ἀήττητον, καὶ ἐν ἐπαίνοις ἀπρόσιτον. Δεῦρο δὴ ἂν εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς ὑπομνήσεως, κοινὴν ἀπ' αὐτῶν τὴν ὠφέλειαν τοῖς παροῦσι κατασησώμεθα, προδείξαντες πᾶσιν, ὥσπερ ἐν γραφῇ τὰς τῷ ἀνδρῶν ἀρετὰς. Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες, καὶ πολλοὺς ἐπήγειραν πρὸς ἀνδρείαν ἑκά-

κάτεροι· ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν. Οὕτως δὴ καὶ ἡμεῖς ἀναμνήσομεν τῆς ἀρετῆς τῶν ἀνδρῶν τοὺς παρόντας· καὶ οἱονεὶ ὑπ' ὄψιν αὐτῶν ἀγαγόντες τὰς πράξεις, κινήσωμεν πρὸς τὴν μίμησιν τοὺς γενναιοτέρους, καὶ οἰκειοτέρους αὐτοῖς τὴν προαίρεσιν. Τοῦτο γάρ ἐστι Μαρτύρων ἐγκώμιον, ἡ πρὸς ἀρετὴν παράκλησις τῶν συνειλεγμένων· οὐδὲ γὰρ καταδέχονται νόμοις ἐγκωμίων δουλεύειν οἱ περὶ τῶν Ἁγίων λόγοι· διότι οἱ ἀφημοῦντες, ἐκ τοῦ τῶν κόσμου ἀφορμῶν τὰς ἀρχὰς τῶν ἀφημιῶν λαμβάνουσιν· οἷς δὲ ὁ κόσμος ἐσαύρωται, πῶς δυνατόν τι τῶν ἐν αὐτῷ ἀφορμὴν παρέχειν εἰς περιφάνειαν; Οὐκ ἦν μία πατρὶς τοῖς Ἁγίοις· ἄλλος γὰρ ἀλλαχόθεν ὥρμητο. Τί οὖν; ἀπόλιδας αὐτοὺς εἴπωμεν, ἢ τῆς εἰκουμένης πολίτας; ὥσπερ γὰρ ἐν ταῖς τῶν ἐρανῶν συνεισφοραῖς, τὰ παρ' ἑκάστου καταβληθέντα, κοινὰ τῶν εἰσενεγκάντων γίνεται, οὕτω καὶ ἐπὶ τῶν Μακαρίων τούτων ἡ ἑκάστου πατρὶς, κοινὴ πάντων ἐστί· καὶ πάντες εἰσὶ πανταχόθεν, ἀντιδόντες ἀλλήλοις τὰς ἐνεγκούσας. Μᾶλλον δὲ, τί δεῖ τὰς χαμαὶ κειμένας περιζητεῖν, ἔξὸν τὴν νῦν αὐτῶν πόλιν, ἥτις ἐστὶν ἐννοεῖν; Πόλις τοίνυν Μαρτύρων ἡ πόλις ἐστὶ τοῦ Θεοῦ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεὸς, ἡ ἄνω Ἱερουσαλὴμ, ἡ ἐλευθέρα, ἡ μήτηρ Παύλου, καὶ τῶν ἐκείνων παραπλησίων. Γένος δὲ, τὸ μὲν ἀνθρώπινον, ἄλλο ἄλλου· τὸ δὲ πνευματικὸν, ἓν ἁπάντων· κοινὸς γὰρ πατὴρ αὐτῶν ὁ Θεός· καὶ ἀδελφοὶ πάντες, οὐκ ἀπὸ ἑνὸς καὶ μιᾶς γεννηθέντες, ἀλλ' ἐκ τοῦ υἱοθεσίας τοῦ πνεύματος, εἰς τὸν διὰ τῆς ἀγάπης ὁμόνοιαν ἀλλήλοις συναρμοσθέντες. Χορὸς ἕτοιμος, προθήκη μεγάλη τῶν ἀπ' αἰῶνος δοξαζόντων τὸν Κύριον· οὐ καθ' ἕνα συναθροισθέντες, ἀλλ' ἀθρόως μετατεθέντες. Τίς δὲ ὁ τρόπος τῆς μεταθέσεως; ὅτι, μεγέθει σώματος, καὶ ἡλικίας ἀκμῇ, καὶ δυνάμει τῶν καθ' ἑαυτοὺς ἁπάντων διενεγκόντες, εἰς τὰς στρατιωτικὰς τελεῖν ἐπάχθησαν καταλόγους· καὶ τὴν ἐμπειρίαν πολε-

μι-

μικὴν καὶ ἀνδρείαν ψυχῆς, ἤδη τὰς πρώτας εἶχον παρὰ βασιλέως τιμὰς, ὀνομαστοὶ παρὰ πᾶσιν ὄντες δι' ἀρετήν. Ἐπειδὴ δὲ περιηγγέλθη τὸ ἄθεον ἐκεῖνο καὶ ἀσεβὲς κήρυγμα, μὴ ὁμολογεῖν τὸν Χριστὸν, ἢ κινδύνους ὑποδέχεσθαι· ἠπειλήθη δὲ παῦ εἶδος κολάσεως, καὶ πολὺς ὁ θυμὸς καὶ θηριώδης παρὰ τῶν κειτῶν τῆς ἀδικίας κατὰ τῶν εὐσεβούντων κεκίνητο· ἐπιβουλαὶ δὲ καὶ δόλοι κατ' αὐτῶν συνεράπτοντο, καὶ ποικίλα εἴδη βασανων ἐπετηδεύετο· καὶ οἱ αἰκιζόμενοι ἀπαραίτητοι, τὸ πῦρ ἕτοιμον, τὸ ξίφος ἠκόνητο, ὁ σαυρὸς ἐπεπήγει, ὁ βόθρος, ὁ ξοχὸς, αἱ μάσιγες· οἱ μὲν ἔφευγον, οἱ δὲ ὑπέκυπτον, οἱ δὲ ἐσαλεύοντο· τινὲς δὲ πρὸ τῆς πείρας, μόνῳ τὴν ἀπειλὴν κατεπλάγησαν· ἕτεροι δὲ ἐγγὺς γενόμενοι τῶν δεινῶν ἐλιγγίασαν· ἄλλοι δὲ τοῖς ἀγῶσιν ἐμβαντες, εἶτα διαρκέσαι πρὸς τὸ πέρας τῶν πόνων ἀδυνατήσαντες, περὶ τὰ μέσα που τῆς ἀθλήσεως ἀπειπόντες, ὥσπερ οἱ ἐν πελάγει χειμαζόμενοι, καὶ ἃ εἶχον ἤδη ἀγώγιμα τῆς ὑπομονῆς ἐναυάγησαν. Τότε δὴ σὺν οἱ ἀήττητοι καὶ γενναῖοι τῷ Χριστῷ στρατιῶται, παρελθόντες εἰς μέσους, ἐπιδεικνυμένου τοῦ ἄρχοντος τὰ Βασιλέως γράμματα, καὶ τῷ ὑπακοῷ ἀπαιτοῦντος, ἐλευθέρᾳ τῇ φωνῇ, θαρσῶς καὶ ἀνδρείως, οὐδὲν ὑποπτήξαντες τῶν ὡρωμένων, οὐδὲ καταπλαγέντες τὰ ἀπειλούμενα, εἰς μέσους παρελθόντες, Χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν.

Ὦ μακαρίαι γλῶσσαι, ὅσαι τῷ ἱερῷ ἐκείνῳ ἀφῆκαν φωνῷ, ᾧ ἀὴρ μὲν δεξάμενος ἡγιάσθη, Ἄγγελοι δὲ ἀκούσαντες ἐπεκρότησαν, διάβολος δὲ μετὰ δαιμόνων ἐτραυματίσθη, Κύριος δὲ ἐν Οὐρανοῖς ἀπεγράψατο! Εἶπον τοίνυν ἕκαστος εἰς τὸ μέσον παρελθών· Χριστιανός εἰμι· καὶ ὥσπερ οἱ ἐν τοῖς σταδίοις οἱ ἐπ' ἀθλησιν παροδεύοντες, ὁμῶ τε λέγουσιν ἑαυτῷ τὰ ὀνόματα, καὶ ἐπὶ τὸν τόπον τῆς ἀγωνίας μεθίστανται, ὅπου δὴ καὶ ἔποι τότε, ῥίψαντες τὰς ἀπὸ γενέσεως αὐτοῖς ἐπιφυομιθείσας προσηγορίας, ἀπὸ τῆς κοινῆς Σωτῆρος ἐκα-

κασος ἑαυτὸν ἀνηγόρδυον. Τῦτο ἐποίουν ἅπαντες, τῷ προλαβόντι ἑαυτὸν συνάπτων ὁ ἑφεξῆς, ὥστε ἐγένετο πάντων προσηγορία μία. Οὐκ ἔτι γὰρ ὁ δεῖνα, ἢ ὁ δεῖνα, ἀλλὰ Χριστιανοὶ πάντες ἀνεκηρύττοντο. Τί οὖν ὁ κρατῶν τότε; (δεινὸς γὰρ ὢν καὶ ποικίλος, τὰ μὲν θωπείαις ὑπελθεῖν, τὰ δὲ ἀπειλαῖς παρατρέψαι) πρῶτον μὲν αὐτὸς κατεγνώσθη ταῖς θωπείαις, τὸν τόνον τῆς δυσεβείας ἐκλῦσαι πειρώμενος. Μὴ προδῶτε ὑμῶν, λέγων, τὴν νεότητα, μηδὲ θανάτου ἄωρον τῆς ἡδείας ταύτης ζωῆς διαμείψητε. Ἄτοπον γὰρ τὰς ἐν τοῖς πολέμοις ἀεισθένειν συνειθισμένας, τὸν τῶν κακούργων θανάτου ἀποθνήσκειν. Πρὸς τούτοις χρήματα, τὰ μὲν ὑπισχνεῖτο, τὰ δὲ ἐδίδου. Τιμὰς ἐκ βασιλέως, καὶ ἀξιωμάτων διανομὰς, καὶ μυρίαις αὐτὰς ἐπινοίαις κατεστρατήγει. Ὡς δὲ οὐκ ἐνεδίδοσαν πρὸς τὴν πεῖραν ταύτην, ἐπὶ τὸ ἕτερον εἶδος τῆς μηχανῆς μετῆλθε, πληγὰς αὐτοῖς καὶ θανάτους καὶ κολάσεων ἀνηκέστων πεῖραν ἐπανετείνετο. Καὶ ὁ μὲν τοιαῦτα· τὰ δὲ τῶν Μαρτύρων ὁποῖα; Τί, φησι, δελεάζεις ἡμᾶς, ὦ θεομάχε, ἀποσῆναι ἀπὸ Θεοῦ ζῶντας, καὶ δουλεύειν δαίμοσιν ὀλεθρίοις, προτεινόμενος ἡμῖν τὰ σὰ ἀγαθά; Τί τοσοῦτον δίδως, ὅσον ἀφελέσθαι σπουδάζεις; μισῶ δωρεάν, ζημίας πρόξενον· οὐ δέχομαι τιμὴν ἀτιμίας μητέρα. Χρήματα δίδως τὰ ἀπομένοντα, δόξαν τὴν ἀπανθοῦσαν, γνώμην ποιεῖς Βασιλεῖ; ἀλλὰ τοῦ ὄντως Βασιλέως ἀλλοτρίοις. Τί μικρολογῶν ὀλίγα τῶν ἐκ τοῦ κόσμου προτείνεις; ὅλος ἡμῖν ὁ κόσμος καταπεφρόνηται· οὐκ ἔστιν ἡμῖν τῆς ἐπιθυμουμένης ἐλπίδος ἀνάξια τὰ ὁρώμενα. Ὁρᾷς τὸν Οὐρανὸν τοῦτον; ὡς καλὸς ἰδεῖν, ὡς δὲ μέγας; καὶ τὴν γῆν ἡλίκη, καὶ τὰ ἐν αὐτῇ θαύματα; οὐδὲν τούτων ἐξισοῦται τῇ μακαριότητι τῶν δικαίων. Ταῦτα μὲν γὰρ παρέρχεται, τὰ δὲ ἡμέτερα μένει. Μιᾶς ἐπιθυμῶ δωρεᾶς, τοῦ στεφάνου τῆς δικαιοσύνης· περὶ μίαν δόξαν ἐπτόημαι, τὴν ἐν τῇ βασιλείᾳ τῶν Οὐρανῶν. φιλότιμός εἰμι πρὸς τὴν ἄνω τιμήν. Κόλασιν δέδοικα

τὴν

τιὼ ἐν τῇ γεένῃ· πῦρ, ἐκεῖνό μοι φοβερόν. Τὸ δὲ παρ' ὑμῶν ἀπειλούμενον, ὁμόθυλόν ἐσιν. Οἶδεν αἰδεῖσθαι τὰς εἰδώλων καταφρονέντας. Βέλη νηπίων λογίζομαι τὰς πληγὰς ὑμῶν. Σῶμα γὰρ τύπτεις, ὅπερ, ἂν ἐπὶ πλεῖον ἀντίσχῃ, λαμπρότερον στεφανοῦται· ἂν δὲ θᾶττον ἀπαγορεύσῃ, οἴχεται ἀπαλλαγὴ δικασῶν οὕτω βιαίων, οἳ σωμάτων ὑπηρεσίαν παραλαβόντες, ἔτι καὶ τῆς ψυχῶν κατάρχειν φιλονεικεῖτε· οἵ γε εἰ μὴ καὶ τὸ Θεὸ ἡμῶν προτιμηθείητε, ὡς τὰ ἔσχατα ὑβρισμένοι παρ' ἡμῶν, χαλεπαίνετε, καὶ τὰς φοβερὰς ταύτας κολάσεις ἐπανατείνεσθε, ἔγκλημα ἡμῖν ἐπάγοντες, τιὼ δυσέβειαν. Ἀλλὰ γὰρ ἐ δειλοῖς, ἐδὲ φιλοζώοις, οὐδ' ἀκαταπλήκτοις ἐντυγχάνετε. Ὑπὲρ τῆς εἰς Θεὸν ἀγάπης, οἶδε ἡμεῖς καὶ προχίζεσθαι, καὶ σφαγῆναι, καὶ καταπίμπρασθαι, καὶ παῦ εἶδος βασανιστηρίων ἕτοιμοι καταδέχεσθαι.

Ἐπειδὴ τούτων ἤκουσεν ὁ ἀλαζὼν ἐκεῖνος καὶ βάρβαρος, οὐκ ἐνεγκὼν τῆς ἀνδρῶν τιὼ παῤῥησίαν, ὑπερζέσας τῷ θυμῷ, ἐσκόπει τίνα ἂν ἐξεύροι μηχανιὼ, ὥσε μακρόν τε αὐτοῖς καὶ πικρὸν ὁμῦ κατασκευάσαι τὸν θάνατον. Εὗρε δὴ ἓν ἐπίνοιαν, καὶ σκοπεῖτε ὡς χαλεπιύ. Περιστεφάμενος γὰρ τὴν φύσιν τῆς χώρας, ὅτι κρυμώδης, καὶ τιὼ ὥραν τὸ ἔτας ὅτι χειμέριος, νύκτα ἐπιτρήσας, ἐν ᾗ μάλισα τὸ δεινὸν ἐπιτείνεται· ἄλλως τε καὶ τότε βορέα αὐτὴν ἐπιπνέοντος, ἐκέλευσε παύτας γυμνωθέντας, ὑπὸ τὸ αἴθριον, ἐν μέσῃ τῇ λίμνῃ πηγνυμένης ἀποθανεῖν. Παύτες δὲ ἴσε, οἱ πεπειραμένοι χειμῶνος, ὡς ἀφόρητόν ἐσι τῆς βασάνε τὸ εἶδος· ἐδὲ γὰρ δυνατὸν ἄλλοις ἐνδείξαθαι, ἢ τοῖς προαποκείμενα ἔχεσιν ἐκ τῆς πείρας αὐτῆς τῆς λεγομένων τὰ ὑποδείγματα. Σῶμα γὰρ κρύει παραπεσὸν, πρῶτον μὲν, ὅλον ἐσὶ πελιδνὸν, πηγνυμένε τὸ αἵματος· ἔπειτα, κλονεῖται καὶ ἀναβράσσεται, ὀδόντων ἀρασσομένων, στομένων δὲ τῆς ἰνῶν, καὶ παντὸς τὸ ὄγκε ἀφαιρέτως συνελκομένε. Ὀδυνᾷ δέ τις δεινεῖα, καὶ

πόνος ἄῤῥητος αὐτῷ καθικνέμενος τῶν μυελῶν, δυσφορωτάτην ποιεῖται τοῖς πηγυμοίοις τὴν αἴθησιν· ἔπειτα ἀκροπελάζεται, ὥσπερ ἀπὸ πυρὸς, καιομένων τῶν ἄκρων. Ἀποδιωκόμενον δὲ τὸ θερμὸν ἀπὸ τῶν περάτων τοῦ σώματος, καὶ συμφεύγον ἐπὶ τὸ βάθος, τὰ μὲν ὄθεν ἀπέστη, νεκρὰ καταλείπει· τὰ δὲ ἐφ' ἃ συνωθεῖται, ὀδυναις δίδωσι, κατὰ μικρὸν τοῦ θανάτου διὰ τῆς πήξεως προϊόντος. Τότε τοίνυν αἴθριοι διανυκτερεύειν κατεδικάσθησαν, ὅτε λίμνη μὲν, περὶ ἣν ἡ πόλις κατῴκισαι, ἐν ᾗ ταῦτα διήθλουν οἱ Ἅγιοι, οἷόν τι πεδίον ἱππήλατον ἦν, μεταποιήσαντος αὐτὴν τοῦ κρυσάλλου, καὶ ὑπειρωθεῖσα τῷ κρύει, ἀσφαλῶς ὑπὲρ νώτων πεζεύειν παρείχετο τοῖς περιοίκοις. Ποταμοὶ δὲ ἀέναα ῥέοντες, τῷ κρυσάλλῳ δεθέντες, τῷ ῥείθρων ἔσησαν· ὅτε εἰπαλὴ τοῦ ὕδατος φύσις, πρὸς τὴν τῶν λίθων ἀντιτυπίαν μετεποιήθη. Βορέου δὲ δεινοῖαι πνοαὶ τὸ ἔμψυχον ἅπαν ἐπὶ τὸν θανάτον ἤπειγον. Τότε τοίνυν ἀκέσαντες τοῦ πρασάγματος, (καὶ σκόπει ἐνταῦθα τῶν ἀνδρῶν τὸ ἀήττητον) μετὰ χαρᾶς ἀπορῤῥίψαντες ἕκαστος καὶ τὸν τελευταῖον χιτῶνα, πρὸς τὸν διὰ τοῦ κρύους ἐχώρουν θανάτον, ὥσπερ ἐν σκύλων διαρπαγῇ ἀλλήλοις ἐγκελευόμενοι· μὴ δὲ ἱματίου, φησιν, ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· δύχαεισεθμεν Κύριε, τῷ ἱματίῳ τούτῳ τὴν ἁμαρτίαν συναποβάλλοντες· ἐπειδὴ διὰ τὸν ὄφιν ἐνεδυσάμεθα, διὰ τὸν Χριστὸν ἐκδυσώμεθα. Μὴ αἰτισχώμεθα ἱματίων διὰ τὸν Παράδεισον, ἐν ἀπωλέσαμεν. Τί ἀνταποδῶμεν τῷ Κυρίῳ; ὀξεδύθη ἡμῶν ὁ Κύριος· τί μέγα δοῦλῳ τὰ τοῦ Δεσπότου παθεῖν; μᾶλλον δὲ καὶ αὐτὸν τὸν Κύριον ἡμεῖς ἐσμεν οἱ ἐκδύσαντες· στρατιωτῶν γὰρ ἐκεῖνο τὸ τόλμημα, ἐκεῖνοι ὀξέδυσαν καὶ διεμερίσαντο τὰ ἱμάτια· ἀνάρραπτον ἔν ἡμῶν κατηγορίαν δι' ἑαυτῶν ἀπαλείφωμεν. Δειμὺς ὁ χειμὼν, ἀλλὰ γλυκὺς ὁ Παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις· μικρὸν ἀνα-

ναμείνωμεν, καὶ ὁ κόλπος ἡμᾶς θάλψει τῆς Παζιάρχε· μιᾶς νυκτὸς ὅλον αἰῶνα ἀνταλλαξώμεθα. Καυθήτω ὁ πῆς, ἵνα διηνεκῶς μετ' Ἀγγέλων χορεύῃ. Ἀπορρύήτω ἡ χειρ, ἵνα ἔχῃ παῤῥησίαν πρὸς τὸν Δεσπότην ἐπαίρεσθαι. πόσοι τῆς στρατιωτῶν τῆς ἡμετέρων ἐπὶ παρατάξεως ἔπεσον, Βασιλεῖ φθαρτῷ τὴν πίστιν φυλάξαντες; ἡμεῖς δὲ ὑπὲρ τῆς εἰς τὸν ἀληθινὸν Βασιλέα πίστεως τιὼ ζωὼ ταύτην οὐ προησόμεθα; πόσοι τὸν τῆς κακύργων ὑπέστησαν θανατον ἁλόντες ἐπ' ἀδικήμασιν; ἡμεῖς δὲ ὑπὲρ δικαιοσωύης τὸν θανατον οὐχ ὑποίσομεν; μὴ ἐκκλίνωμεν, ὦ συστρατιῶται, μὴ δῶμεν τόπον τῷ διαβόλῳ· σάρκες εἰσί. Μὴ φεισώμεθα· ἐπειδὴ δεῖ πάντως ἀποθανεῖν, ἀποθανώμεν ἵνα ζήσωμεν. Γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σε Κύριε, καὶ προσδεχθείημεν ὡς θυσία ζῶσα εὐάρεστός σοι, τῷ κρύει τάτῳ ὁλοκαυτούμενοι. Καλὴ ἡ προσφορά· καινὸν τὸ ὁλοκαύτωμα, οὐ διὰ πυρὸς, ἀλλὰ διὰ κρύος ὁλοκαρπούμενον.

Τάτας τὰς παρακλητικὰς ἐνδιδόντες ἀλλήλοις, καὶ ἄλλος ἄλλῳ ἐγκελευόμενοι, ὥσπερ τινα προφυλακὴν ἐν πολέμῳ πληρῶντες, τὴν νύκτα παρέπεμπον, φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, καταγελῶντες τῆς αὐτιπάλε· Μία δὲ ἦν πάντων ψυχή· Τεσσαράκοντα εἰσήλθομεν εἰς τὸ σάδιον, οἱ τεσσαράκοντα σεφανωθείημεν Δέσποτα. Μὴ λείψῃ τῷ ἀριθμῷ μηδὲ εἷς· τίμιός ἐστιν, ὃν ἐτίμησας τῇ νηστείᾳ τῷ τεσσαράκοντα ἡμερῶν, δι' ἣν νομοθεσία εἰσῆλθεν εἰς τὸν κόσμον. Τεσσαράκοντα ἡμέραις ἐν νηστείᾳ Ἠλίας ἐκζητήσας τὸν Κύριον, τῆς θέας ἔτυχε. Καὶ ἡ μὲν ἐκείνων ψυχὴ, τοιαύτη. Εἷς δὲ τοῦ ἀριθμοῦ ὀκλάσας πρὸς τὰ δεινὰ, λειποτακτήσας ὤχετο, πένθος ἀπαραμύθητον τοῖς Ἁγίοις καταλιπών· ἀλλ' ὁ θὸ ἀφῆκεν αὐτῷ ἀτελεῖς γενέσθαι τὰς δείσεις ὁ Κύριος. Ὁ θὸ τὴν φυλακὴν τῶν Μαρτύρων πεπισευμένος, ἐγγύθεν ἀπό τινος γυμνασίε διαθαλπόμενος, ἀπεσκόπει τὸ μέλλον, ἕτοιμος προσδέχεσθαι τῷ στρατιωτῷ τοὺς προσφεύγοντας. Καὶ γὰρ

αὖ καὶ τοῦτο ἐγγύθεν εἶναι λουτρὸν ἐπενοήθη, ὀξεῖαν τῷ βοήθειαν τοῖς μεταβαλλομένοις ἐπαγγελλόμενον· ὅπερ μέντοι τοῖς ἐναντίοις κακέργως ἐπενοήθη, τοιοῦτον ἐξευρεῖν τῆς ἀθλήσεως τόπον, ἐν ᾧ τὸ ἕτοιμον τῆς παραμυθίας ἐκλύειν ἔμελλε τῶν ἀγωνιζομένων τὴν ἔνστασιν, τοῦτο λαμπροτέραν ἐδείκνυε τῷ ὑπομονῷ τῶν Μαρτύρων· ἐν ᾧ ὁ ἀπορῶν τῶν ἀναγκαίων, καρτερικὸς, ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς. Ὡς δὲ οἱ μὲν ἠγωνίζοντο, ὁ δὲ ἐπετήρει τὸ ἐνβησόμενον, εἶδε θέαμα ξένον, Δυνάμεις τινὰς ἐξ Οὐρανῶν κατιούσας, καὶ οἷον παρὰ Βασιλέως δωρεὰς μεγάλας διανεμούσας τοῖς στρατιώταις. Αἱ τοῖς μὲν ἄλλοις πᾶσι διήρουν τὰ δῶρα, σὺν δὲ μόνον ἀφῆκαν ἀγέρασον, ἀνάξιον κρίνασαι τῶν ἐρανίων τιμῶν. Ὃς δὲ θοὺς ποὸς τὸς πόνες ἀπαγορεύσας, ποὸς τὸς ἐναντίες ἀπηυτομόλησεν· ἐλεεινὸν θέαμα τοῖς δικαίοις, ὁ στρατιώτης φυγὰς, ὁ ἀειεδὺς αἰχμάλωτος, τὸ τὲ Χριστοῦ ποόβατον θηριάλωτον. Καὶ τόγε ἐλεεινότερον, ὅτι καὶ τῆς ἐρανίε ζωῆς διήμαρτε, καὶ ἐδὲ ταύτης ἀπήλαυσεν, δὶ θὺς αὐτῷ τῆς σαρκὸς ἐν τῇ ποοσβολῇ τῆς θέρμης διαλυθείσης· καὶ ὁ μὲν φιλόζωος ἔπεσεν ἀνομήσας διακονῆς· ὁ δὲ δήμιος, ὡς εἶδεν αὐτὸν ἐκκλίναντα, καὶ τὴν ποὸς τὸ βασανεῖον ἀποδραμόντα, ἑαυτὸν εἰς τὴν τὲ λειποτακτήσαντος χώραν ἀντεκατέστησε, καὶ ῥίψας τὰ περιβόλαια, τοῖς γυμνοῖς ἑαυτὸν συνεγκατέμιξε, πράζων τὴν αὐτὴν βοὴν τοῖς Ἁγίοις, Χριστιανός εἰμι· καὶ τῷ ἀθρόῳ τῆς μεταβολῆς ἐκπλήξας τὲς συμπαρόντας τόν τε ἀριθμὸν ἀνεπλήρωσε, καὶ τῷ ἐπὶ τῷ καταμαλακισθέντι λύπῃ τῇ παρ' ἑαυτῷ ποοθήκῃ παρεμυθήσατο· μιμησάμενος τὲς ἐπὶ παρατάξεως, οἳ τὲ κατὰ τῶν ποώτην ἀσπίδα πεσόντος, θὺς ἀναπληροῦσι τὴν φάλαγγα, ὡς μὴ τὸν συνασπισμὸν αὐτοῖς διακοπῆναι τῷ λείποντι. Τοιοῦτον δήτι καὶ αὐτὸς ἐποίησεν· εἶδε τὰ ἐρανία θαύματα, ἐπέγνω τῷ ἀληθειαν, ποοσέφυγε τῷ Δεσπότῃ, συνηριθμήθη τοῖς Μάρτυσι· τὰ τῷ Μα-

θη-

θητῶν ἀνεπεώσατο· ἀπῆλθεν Ἰούδας, καὶ ἀντεισήχθη Ματθίας· μιμητὴς ἐγένετο Παύλου, ὁ χθὲς διώκτης σήμερον δὲ ἀγγελιζόμενος· ἄνωθεν ἔσχε καὶ αὐτὸς τὸ λῆσιν, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων ἐπίσευσεν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐβαπτίθη εἰς αὐτὸν, οὐχ ὑπὸ ἄλλου, ἀλλ' ὑπὸ τῆς οἰκείας πίστεως· οὐκ ἐν ὕδατι, ἀλλ' ἐν τῷ ἰδίῳ αἵματι, καὶ ὅπως ἡμέρας ἀρχομένης, ἔτι ἐμπνέοντες, τῷ πυρὶ παρεδόθησαν· καὶ τὰ τοῦ πυρὸς λείψανα, ἐπὶ τὸν ποταμὸν ἀπερρίφη· ὥστε διὰ πάσης τῆς κτίσεως, διεξελθεῖν τῷ Μακαρίων τὴν ἄθλησιν· ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαι, τῷ πυρὶ παρεδόθησαν, τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο. Ἐκείνων ἐστὶν ἡ φωνή· Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ὑμᾶς εἰς ἀναψυχήν. Οὗτοί εἰσιν οἱ τὸν καθ' ἡμᾶς χώρον διαλαβόντες, οἱονεὶ πύργοι τινὲς συνεχεῖς, ἀσφάλειαν ἐκ τῆς τῶν ἐναντίων καταδρομῆς παρεχόμενοι· οὐκ εἰς τόπον ἑαυτοὺς κατακλείσαντες, ἀλλὰ πολλοῖς ἤδη ἐπιζεσωσμένοις χωρίοις, καὶ πολλὰς πατρίδας κατακοσμήσαντες. Καὶ τὸ παράδοξον, ὅτι καθ' ἕνα διαμεριθέντες τοῖς δεχομένοις ἐπιφοιτῶσιν, ἀλλ' ἀναμιχθέντες ἀλλήλοις, ἡνωμένως χορεύουσιν· Ὦ τοῦ θαύματος! ὅτε ἐλλείπουσι τῷ ἀριθμῷ, ὅτε πλεονασμὸν ἐπιδέχονται. Ἐὰν εἰς ἕκαστον αὐτοὺς διέλῃς, τὸν οἰκεῖον ἀριθμὸν οὐκ ἐκβαίνουσιν· ἐὰν εἰς ἓν συναγάγῃς, τεσσαράκοντα καὶ ὕστερον μένουσι, κατὰ τὴν τοῦ πυρὸς φύσιν· καὶ γὰρ ἐκεῖνο καὶ ὡρὸς τὸν ἐξάπτοντα μεταβαίνει, καὶ ὅλον ἐστὶ παρὰ τῷ ἔχοντι· καὶ οἱ τεσσαράκοντα, καὶ πάντες εἰσὶν ὁμοῦ, καὶ πάντες εἰσὶ παρ' ἑκάστῳ. Ἡ ἄφθονος δι' ἐργεσία, ἡ μὴ δαπανωμένη χάρις, ἑτοίμη βοήθεια Χριστιανοῖς, ἐκκλησία Μαρτύρων, σῶμα τοῦ ζωοποιοῦντος χορὸς δοξολογούντων τὸν Κύριον. Πόσα αὐτῶν ἔκαμες, ἵνα ἐναπορρύῃς ὑπὲρ σοῦ δυσωπῆσαι τὸν Κύριον; τεσσαράκοντά εἰσι, σύμφωνον ἀναπέμποντες προσευχήν. Ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου, ἐκεῖ ἐστιν ἐν μέ-

σῳ ἀνίῳ· ὅπου δὲ τεσσαράκοντα, τίς ἀμφιβάλλει Θεοῦ παρουσίαν; Ὁ θλιβόμενος, ἐπὶ τὰς τεσσαράκοντα καταφεύγει· ὁ διῳκόμενος, ἐπ' αὐτὰς ἀποδέχει· ὁ μὲν, ἵνα εὕρῃ λύσιν τῶν δυσχερῶν· ὁ δὲ, ἵνα φυλαχθῇ αὐτῷ τὰ χρησότερα. Ἐνταῦθα γυνὴ δυσεβὴς ὑπὲρ τέκνων δυχομένη καταλαμβάνεται, ἀποδημοῦντι ἀνδρὶ τὴν ἐπάνοδον αἰτουμένη, ἀρρωστοῦντι τιμὴ σωτηρίαν. Μετὰ Μαρτύρων γενέσθω τὰ αἵματα ὑμῶν. Οἱ νεανίσκοι τὰς ἡλικιώτας μιμήσασθω. Οἱ Πατέρες, τοιούτων εἶναι παίδων Πατέρες δυχέσθωσαν. Αἱ Μητέρες, καλῆς Μητρὸς διήγημα διδαχθήτωσαν. Μήτηρ ἑνὸς τῶν Μακαρίων ἐκείνων, θεασαμένη τοὺς ἄλλους ἤδη τῶν κρύει τελειωθέντας, τὸν δὲ ἑαυτῆς υἱὸν ἔτι ἐμπνέοντα ὑπότε ῥώμης ἢ τῆς πρὸς τὰ δεινὰ καρτερίας, καταλιμπανόντων αὐτὸν τῶν δημίων ὡς δυνάμενόν τι μεταβουλεύσασθαι, αὐτὴ ταῖς οἰκείαις χερσὶν ἀραμένη, ἐπέθηκε τῇ ἀμάξῃ, ἐφ' ἧς οἱ λοιποὶ συγκείμενοι πρὸς τιμὴν πυρὰν ἤγοντο. Μάρτυρος ὄντως μήτηρ· οὐ γὰρ δάκρυον ἀφῆκεν ἀγενές, οὐδ' ἐφθέγξατο ταπεινόν τι καὶ ἀνάξιον τοῦ καιροῦ. Ἀλλ' ἄπιθι, φησιν, ὦ παῖ, τιμὴ ἀγαθῇ πορείαν μετὰ τῶν ἡλικιωτῶν, μετὰ τῶν συσκήνων. Μὴ ἀπολειφθῇς τῆς χορείας. Μὴ δεύτερος τῶν ἄλλων ἐμφανισθῇς τῷ Δεσπότῃ. Οὕτως ἀγαθῆς ῥίζης ἀγαθὸν βλάστημα. Ἔδειξεν ἡ γενναία μήτηρ, ὅτι δόγμασιν δυσεβείας ἐξέθρεψεν αὐτὸν μᾶλλον, ἢ γάλακτι· καὶ ὁ μὲν, οὕτω τραφεὶς, ὕπω προεπέμφθη παρὰ μητρὸς δυσεβοῦς· ὁ δὲ διάβολος ἀπῆλθε κατηχυμένος· ἅπασαν γὰρ ἐπ' αὐτοὺς κινήσας τὴν κτίσιν, πάντα εὗρεν ἡττώμενα τῆς τῶν ἀνδρῶν ἀρετῆς, νύκτα δυσήνεμον, παῖδα χειμέριον, τὴν ὥραν τοῦ ἔτους, τῶν σωμάτων τὴν γύμνωσιν. Ὦ χορὸς ἅγιος! Ὦ συνταγμα ἱερόν! Ὦ συναστρισμὸς ἀρραγής! ὦ κοινοὶ φύλακες τοῦ γένους τῶν ἀνθρώπων! Ἀγαθοὶ κοινωνοὶ φροντίδων, δεήσεως συνεργοὶ, πρεσβευταὶ δυνατώτατοι, ἀστέρες τῆς Οἰκουμένης, ἄνθη τῶν Ἐκκλησιῶν, ἐγὼ δέ φημι νοητὰ τε καὶ αἰσθητά. Ὑμᾶς οὐχ

ἡ

ἡ γῆ κατέκρυψεν, ἀλλ' Οὐρανὸς ὑπεδέξατο. Ἠνοίγησαν ὑμῖν Παραδείσου πύλαι, ἄξιον θέαμα τῇ στρατιᾷ τῶν Ἀγγέλων, ἄξιον Πατριάρχαις, Προφήταις, Δικαίοις. Ἄνδρες ἐν αὐτῷ τῷ ἄνθει τῆς νεότητος, τοῦ βίου καταφρονήσαντες, ὑπὲρ γονεῖς, ὑπὲρ τέκνα τὸν Κύριον ἀγαπήσαντες. Αὐτὸ τῆς ἡλικίας ἄγοντες τὸ βιώσιμον, ὑπερεῖδον τῆς προσκαίρου ζωῆς, ἵνα δοξάσωσι τὸν Θεὸν ἐν τοῖς μέλεσιν ἑαυτῶν, θέατρον γενόμενοι τῷ κόσμῳ, καὶ Ἀγγέλοις, καὶ ἀνθρώποις. Τὰς πεπωκότας ἤγειραν, τὰς ἀμφιβόλους ἐβεβαιώσαντο, τοῖς δυσεβέσι τὴν ἐπιθυμίαν ἐδιπλασίασαν, οὗ ὑπὲρ τῆς δυσεβείας ἅπαντες ἀνασήσαντες ζόπαιον, σὺν καὶ τῷ στεφάνῳ τῆς δικαιοσύνης κατεκοσμήθησαν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ
ΚΑΤΑ ΤΩΝ ΟΡΓΙΖΟΜΕΝΩΝ.

Ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν ἀκριβῶς, καὶ κατὰ τὸν λόγον τῆς τέχνης γίγνηται, μετὰ τὴν πεῖραν μάλιστα, τὸ ἀπ' αὐτῶν ὠφέλιμον διαδείκνυται· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν μαρτυρῆσαν, λάβῃ τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου, καὶ τὴν τῶν πειθομένων τελείωσιν ἀναφαίνεται. Ἀκούοντες μὲν οὖν τῶν Παροιμιῶν διαῤῥήδην ἀποφαινομένων, ὅτι ὀργὴ ἀπόλλυσι καὶ φρονίμους· ἀκούοντες δὲ καὶ Ἀποστολικῶν παραινέσεων· πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ· καὶ τοῦ Κυρίου λέγοντος, τὸν ὀργιζόμενον εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ ἔνοχον εἶναι τῇ κρίσει· νῦν ὅτε εἰς πεῖραν ἤλθομεν τοῦ πάθους ἐκ ἐν ἡμῖν γενομένου, ἀλλ' ἔξωθεν ἡμῖν προσπεσόντος, ὥσπερ καταιγίδος τινὸς ἀδοκήτου, τότε μάλιστα τὸ θαυμαστὸν τῶν θείων παραγγελμάτων ἐπέγνωμεν. Δόντες μὲν αὐτοὶ τῇ ὀργῇ τόπον ὥσπερ ῥεύματι βιαίῳ διέξοδον, καταμανθάνοντες δὲ ἐν ἡσυχίᾳ τὴν ἀχήμονα παραχὴν τῶν ὑπὸ τοῦ πάθους κατεχομένων, ἐπέγνωμεν ἐπὶ τῶν ἔργων τὴν ἀκρίβειαν τοῦ ῥήματος· ὅτι ἀνὴρ θυμώδης οὐκ ἀχήμων. Ἐπειδὰν γὰρ ἅπαξ παρωσάμενον τοὺς λογισμοὺς τὸ πάθος αὐτὸ τὴν δωμαστείαν τῆς ψυχῆς παραλάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον, καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ, οὐκέτι ἔχοντα τὴν ἐκ τοῦ λόγου βοήθειαν. Ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ὁ ἰὸς, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμὸς γίνεται· ὁρμῶσι, πηδῶσι, λυσσῶσιν ὥσπερ οἱ κυνες, ἅπτονται ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. Οἶδε καὶ ἡ Γραφὴ τοὺς ὑπὸ τοῦ πάθους κεκρατημένους ταῖς τῶν θηρίων προσηγορίαις ἀποκαλεῖν, οἷς ἑαυτοὺς διὰ

τῆς πονηρίας ἀπειώσαν. Κυάς γὰρ ἐννεὰς, καὶ ὄφεις, γεννήματα ἐχιδνῶν, καὶ τὰ τοιαῦτα προσαγορεύει. Οἱ γὰρ ἕτοιμοι πρὸς τὴν κατ' ἀλλήλων φθοράν, καὶ τὴν κατὰ τῶν ὁμοφύλων βλάβην, εἰκότως ἂν θηρίοις καὶ ἰοβόλοις συναριθμοῖντο· οἷς ἀδιάλλακτον ἐκ φύσεως ἐνυπάρχει πρὸς ἀνθρώπους τὸ μῖσος. Διὰ θυμὸν ἀχάλινοι γλῶσσαι, καὶ ἀπύλωτα στόματα, χεῖρες ἀκρατεῖς, ὕβρεις, ὀνείδη, κακηγορίαι, πληγαὶ, καὶ τὰ ἄλλα ὅσα ἐδ' ἂν ἐξαριθμήσαιτό τις, ὀργῆς, καὶ θυμοῦ ἔκγονά ἐστι πάθη. Διὰ θυμὸν, καὶ ξίφος ἀπονᾶται, θανάτου ἀνθρώπου ἐκ χειρὸς ἀνθρωπείας τολμᾶται. Διὰ τοῦτον ἀδελφοὶ μὲν ἀλλήλους ἠγνόησαν, γονεῖς δὲ καὶ τέκνα τῆς φύσεως ἐπελάθοντο. Ἀγνοοῦσι μὲν γὰρ ἑαυτοὺς πρῶτον οἱ ὀργιζόμενοι, ἔπειτα καὶ πάντας τοὺς ἐπιτηδείους. Ὥσπερ γὰρ αἱ χαράδραι πρὸς τὰ κοῖλα συῤῥέουσαι τὸ προστυχὸν παρασύρουσιν, ἕτως αἱ τῆς ὀργιζομένων ὁρμαὶ βίαιοι καὶ ἀκάθεκτοι διὰ πάντων ὁμοίως χωροῦσιν. Οὐ πολιὰ τοῖς θυμουμένοις αἰδέσιμος, οὐκ ἀρετὴ βίου, οὐκ οἰκειότης γένους, οὐ προλαβοῦσαι χάριτες, οὐκ ἄλλοτι τῆς τιμίων. Μανίατις ἐστὶν ὀλιγοχρόνιος ὁ θυμὸς, εἴγε καὶ εἰς πρῶτον κακὸν ἑαυτοὺς πολλάκις ἐμβάλλουσι, τῇ πρὸς τὸν ἄμυναν σπουδῇ τοῦ καθ' ἑαυτοὺς ἀμελοῦντες. Οἰθνεὶ γὰρ οἴστρῳ, τῇ μνήμῃ τῆς λελυπηκότων περικεντούμενοι, σφαδάζοντος αὐτοῖς τοῦ θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπολήγουσι, πρὶν ἢ κακόν τι δοῦναι τῷ παροξύναντι, ἢ τι καὶ προσλαβεῖν, ἐὰν τύχῃ. Ὥσπερ που πολλάκις τὰ βιαίως καταῤῥηγνύμενα ἔπαθέ τι πλέον, ἢ ἔδρασε τοῖς ἀντιτύποις περιθραυσθέντα· τίς ἂν ἐφίκοιτο τοῦ κακοῦ; ὅπως οἱ ὀξύῤῥοποι πρὸς θυμὸν ὑπὸ τῆς τυχούσης προφάσεως ἐξαπτόμενοι, βοῶντες καὶ ἀγριαίνοντες, καὶ τίνος οὐχὶ τῶν ἰοβόλων ἀναιδέστερον ἐφορμῶντες, οὐ πρότερον ἴσανται, πρὶν ἢ διὰ μεγάλου καὶ ἀνηκέστου κακοῦ, οἷον πομφόλυγος αὐτοῖς τῆς ὀργῆς ἐκραγείσης, διαπνευσθῇ τὸ φλεγμαῖνον. Οὔτε γὰρ ξίφους ἀκμὴ, οὔτε πῦρ, οὔτε ἄλλοτι τῶν φοβερῶν, ἱκανὸν τῶν

ὑπὸ

ὑπὸ τῆς ὀργῆς ἐκμανεῖσαν ψυχὴν ἐπιχεῖν. Οὐ μᾶλλόν γε, ἢ τὰς ὑπὸ δαιμόνων καταχεθούτας, ὧν ἐδὸν ἔτε κατὰ τὸ χῆμα, ἔτε κατὰ τλὺ τῆς ψυχῆς διάθεσιν οἱ ὀργιζόμενοι διαφέρεσιν· ὀρεγομένοις γὸ τῆς ἀντιλυπήσεως, περιζεῖ μὲν τῇ παρδίᾳ τὸ αἷμα, ὥσπερ βίᾳ πυρὸς κυκώμενον καὶ παφλάζον, φρὸς δὲ τλὺ ἐπιφάνειαν ἐξανθῆσαν, ἐν ἄλλῃ μορφῇ τὸν ὀργιζόμενον ἔδειξε, τὴν συνήθη πᾶσι καὶ γνωρίμην, ὥσπερ τι φροσωπεῖον ἐπὶ σκηνῆς ὑπαλλάξαν· ὀφθαλμοὶ μὲν γὸ ἐκείνοις οἱ οἰκεῖοί τε καὶ συνήθεις ἠγόνηνται· παράφορον δὲ τὸ ὄμμα, καὶ πῦρ ἤδη βλέπει· καὶ παραθήγει τὸν ὀδόντα καθ' ὗ συῶν τὰς ὁμόσε χωρῶντας. Πρόσωπον πελιδνὸν καὶ ὕφαιμον, ὄγκος τῶ σώματος ἐξοιδαίνων· φλέβες διαρρηγνύμεναι, ὑπὸ τῆς ἔνδοθεν ζάλης κλονουμένω τῶ πνεύματος· φωνὴ βαχεῖα καὶ ὑπερτεινομένη, καὶ ὁ λόγος ἀνάρθρος καὶ εἰκῇ φροεκπίπτων, ἀ κατὰ μέρος, οὐδὲ διάκπως, οὐδὲ δι' σήμως φροϊών. Ἐπειδὰν δὲ εἰς τὸ ἀνήκεσον ὥσπερ φλοξ ὕλης ἀφθονίᾳ τοῖς παροξύνουσιν ἐξαφθῇ, τότε δὴ τότε τὰ ἔτε λόγῳ ῥητὰ, ἔτε ἔργῳ φορητὰ ἐπιδεῖν ἐστι θεάματα. Χεῖρας μὲν διηρμένας κατὰ τῆ ὁμοφύλων, καὶ πᾶσι μέρεσι τῶ σώματος ἐπιφερομένας, πόδας δὲ ἀφειδῶς τοῖς καιριωτάτοις ἐναλλομένους, παῶ δὲ τὸ φανὸν, ὅπλον τῇ μανίᾳ γινόμενον. Ἐὰν δὲ καὶ ἐκ τῶ ἐναντίω τὸ ἴσον κακὸν ἀντιστρατεύομενον εὕρωσιν, ὀργὴ ἄλλῃ καὶ μανίαν ὁμότιμον, τότε δὴ καὶ συμπεσόντες ἔδρασαν ἀλλήλους, καὶ ἔπαθον, ὅσα εἰκὸς τὰς ὑπὸ τοιούτω δαίμονι σκαπτομένους παθεῖν. Πυρώσεις γὰρ μελῶν, ἢ καὶ θανάτους πολλάκις· ἄθλα τῆς ὀργῆς οἱ μαχόμενοι ἀπηνέγκαντο. Ἦρξε χειρῶν ἀδίκων, ὁ δὲ ἠμύνατο, ὁ δὲ ἀντεπήνεγκεν, ὁ δὲ οὐχ ὑφίεται· καὶ τὸ μὲν σῶμα ταῖς πληγαῖς διακόπτεται, ὁ δὲ θυμὸς τῶ ἀλγεινῶ τὴν αἴσθησιν παραιτεῖται. Οὐ γὸ ἄγεσι χολλὼ φρὸς τλὺ ὧν πεπόνθασιν αἴσθησιν, ὅλης αὐτοῖς τῆς ψυχῆς φρὸς τλὺ ἄμυναν τῶ λελυπηκότος κεκινημένης. Μὴ δὴ κακῷ τὸ κακὸν ἰᾶσθε, μηδὲ

ἐπι-

ἐπιχειρεῖτε ἀλλήλοις ὑπερβαίνειν ταῖς συμφοραῖς. Ἐν
γὰρ ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀ-
πέρχεται τὸ πλεῖον ἔχων τῆς ἁμαρτίας. Μὴ τοίνυν
γενώμεθα κακῶν πλημμελὴς ἐραστὰς, μηδὲ πονηρᾷ δανείσα πονη-
ρότερος ἐκτισάμενος. Ὕβρισεν ὀργισθείς; σῶσον τῇ σιωπῇ
τὸν κακόν. Σὺ δὲ ὥσπερ ῥεῦμα τῷ ἐκείνου ὀργῷ εἰς
τὴν ἰδίαν καρδίαν ὑποδεξάμενος, τὰς ἀνέμους μιμῇ,
διὰ τῆς ἀντιπνοίας ἀντιδιδόντας τὸ ἐνεχθέν. Μὴ διδασ-
κάλῳ χρῆσῃ τῷ ἐχθρῷ, μηδὲ ὃ μισεῖς, τοῦτο ζηλώσῃς,
μηδὲ γένῃ, ὥσπερ κάτοπτρον τῷ ὀργίλῳ, τὸν ἐκείνου
μορφὴν ἐν σεαυτῷ δεικνύς. Ἐρυθρὸς ἐκεῖνος· σὺ δὲ
οὐκ ἐφοινίχθης; ὀφθαλμοὶ ὕφαιμοι· οἱ δὲ σοὶ, εἰπέ
μοι, γαλήνην βλέπουσι; φωνὴ τραχεῖα· ἡ δὲ σὴ ἡ-
πία; οὐδὲ ἡ ἐν ταῖς ἐρημίαις ἠχὼ ἔτως ἀνέκλαθη ἀ-
κεραία πρὸς τὸν φθεγξάμενον, ὡς ἐπὶ τὸν λοίδορον αἱ
ὕβρεις ἐπαναστρέφουσι, μᾶλλον δὲ ὁ μὲν ἦχος ὁ αὐτὸς
ἀπεδόθη, ἡ δὲ λοιδορία μυρίαις προσθήκαις ἐπαύξησιν. Οἷα
γὰρ ἀλλήλοις ἐφυβρίζοντες ἀντιφθέγγονται; ὁ μὲν εἶπεν
ἀφρὸν καὶ ἐξ ἀφρῶν· ὁ δὲ ἀπεκάλεσεν οἰκοτρίβων
οἰκότριβα. Οὗτος πεύκην, ἐκεῖνος ἀλήτην· οὗτος ἀ-
μαθῆ, ἐκεῖνος παραπλῆγα, ἕως αὖ αὐτοῖς αἱ ὕβρεις
ὥσπερ τοξεύματα, ἐπιλίπωσιν. Εἶτα ἐπειδὰν πᾶσαν
λοιδορίαν διὰ τῆς γλώττης ἐκσφενδονήσωσιν, ἔπω λοι-
πὸν πρὸς τὴν διὰ τῶν ἔργων χωρῶσιν ἄμυναν. Θυμὸς
μὲν γὰρ ἐγείρει μάχην, μάχη δὲ γεννᾷ λοιδορίας,
αἱ δὲ λοιδορίαι πληγὰς, αἱ δὲ πληγαὶ τραύματα, ἐκ
δὲ τραυμάτων πολλάκις θάνατοι.

Ἀπὸ τῆς πρώτης ἀρχῆς τὸ κακὸν ἐπίσχωμεν, τῷ
ὀργῷ πάσῃ μηχανῇ τὸν ψυχῶν ἐξελόντες. Οὕτω γὰρ
ἂν δυνηθείημεν τὰ πλεῖστα τῶν κακῶν, ὥσπερ ῥίζῃ τι-
νὶ τῇ ἀρχῇ τοῦ πάθους τούτου συνεκτεμεῖν. Ἐλοιδόρησε;
σὺ δὲ εὐλόγησον. Ἐτύπτησε; σὺ δὲ ὑπόμεινον. Δια-
πτύει, καὶ τὸ μηδὲν ἡγεῖταί σε; σὺ δὲ ἔννοιαν λάβε σεαυ-
τοῦ, ὅτι ἐκ γῆς ὑφέστηκας, καὶ εἰς γῆν πάλιν ἀναλυθήσῃ.
Ὁ γὰρ τούτοις τοῖς λόγοις ἑαυτὸν προκαταχὼν, πᾶσαν

ἀτι-

ἀτιμίαν ἐλάττονα δίρήσει τῆς ἀληθείας. Οὕτω δὲ καὶ τῷ ἐχθρῷ ἀμήχανον κατασκευάσεις τιὼ ἄμυναν, ἄξιον σεαυτὸν ταῖς λοιδορίαις δεικνὺς, καὶ σεαυτῷ μέγαν τῆς ὑπομονῆς προξενήσεις τὸν στέφανον, τὴν ἑτέρα μανίαν ἀφορμιὼ οἰκείας φιλοσοφίας ποιούμενος· ὥστε αὖ ἐμοὶ πείθη καὶ ἐπιδαψιλεύσῃ τῷ ὕβρεων. Ἀφανῆ σε εἶπε καὶ ἄδοξον, καὶ μηδένα μηδαμόθεν; σὺ δὲ γῆν εἰπὲ καὶ σποδὸν σεαυτόν. Οὐκ εἶ σεμνότερος τὸ Παῖδὸς ἡμῶν Ἀβραὰμ, ὃς ἑαυτὸν ταῦτα ἀπεκάλει, ἀμαθῆ καὶ πτωχὸν, καὶ τὸ μηδενὸς ἄξιον; σὺ δὲ σκώληκα σεαυτὸν εἰπὲ, καὶ ἀπὸ κοφρίας ἔχειν τιὼ γένεσιν, τὰ τοῦ Δαβὶδ λέγων ῥήματα. Τύπτοις πρόθες καὶ τὸ τὸ Μωϊσέως καλόν. Ἐκεῖνος ὑπὸ Ἀαρὼν καὶ Μαρίας λοιδορηθεὶς, ὐ κατενέτυχε τῷ Θεῷ, ἀλλὰ προσηύχετο ὑπὲρ αὐτῷ. Τίνων βέλει μαθητὴς εἶναι μᾶλλον, τῷ θεοφίλων καὶ μακαρίων ἀνδρῶν, ἢ τῷ ὑπὸ τὸ πνεύματος τῆς πονηρίας πεπληρωμένων; Ὅταν σοι κινηθῇ τῆς λοιδορίας ὁ πειρασμὸς, νόμιζε κρίνεσθαι σεαυτὸν, πότερον διὰ τῆς μακροθυμίας προχωρεῖς τῷ Θεῷ, ἢ διὰ τῆς ὀργῆς ἀποτρέχεις πρὸς τὸν ἀντίδικον. Δὸς καιρὸν τοῖς λογισμοῖς σεαυτὸ, τιὼ ἀγαθιὼ ἐκλέξασθαι μερίδα· ἢ γὰ ὠφέλησάς τι κἀκεῖνον τῷ ὑποδείγματι τῆς πραότητος, ἢ χαλεπώτερον ἠμυνω διὰ τῆς ὑπεροψίας. Τί γὰ ἂν γένοιτο ὀδυνηρότερον τῷ ἐχθρῷ, ἢ τὸν ἐχθρὸν ἑαυτὸ ὁρᾶν ὕβρεων ὑψηλότερον; μὴ καταβάλῃς σεαυτὸ τὴν γνώμην, μηδὲ ἀνάσχῃ γενέσθαι ἐφικτὸς τοῖς ὑβρίζουσιν. Ἔασον αὐτὸν ἄφρακτά σε καθυλακτεῖν. Ἐφ' ἑαυτῷ διαῤῥηγνύσθω· ὥσπερ γὰ ὁ τύπτων τὸν μὴ ἀλγοῦντα, ἑαυτὸν τιμωρεῖται (ὅτε γὰρ τὸν ἐχθρὸν ἠμυσατο, καὶ τὸν θυμὸν ὐκ ἀνέπαυσεν) ὅπως ὁ τὸν ἀλοιδόρητον ὀνειδίζων, παραμυθίαν δίρεῖν τὰ πάθος δύναται. Τὐναντίον μὲν ἔν, ὅπερ ἔφην, καὶ διαπρέπεται· δίθὺς γὰ ἐκ τῷ παρόντων, οἷα ἑκάτερος ὑμῶν προσαγορδίεται; ὁ μὲν λοίδορος, σὺ δὲ μεγαλόψυχος· ὁ μὲν ὀργίλος καὶ χαλεπὸς, σὺ δὲ μακρόθυμος καὶ πρᾶος·

φρᾶος· ὁ μὲν μεταγνώσεται ἐφ' οἷς ἐφθέγξατο, σὺ δὲ οὐδέποτε μεταμελήσῃ τῆς ἀρετῆς. Τί δεῖ τὰ πολλὰ λέγειν; τῷ μὲν ἀπέκλεισε τὴν τῶν Οὐρανῶν βασιλείαν ἡ λοιδορία· λοίδοροι γὰρ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· σοὶ δὲ ἡτοίμασε τὴν βασιλείαν ἡ σιωπή· ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. Ἀμυνόμενος δὲ καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καὶ ἀπολογήσῃ; ὅτι παρώξυνε κατάρξας; καὶ ποίας τοῦτο συγγνώμης ἄξιον; οὐδὲ γὰρ ὁ πόρνος ἐπὶ τὴν ἑταίραν τὴν αἰτίαν μετατιθεὶς ὡς φορὸς τὴν ἁμαρτίαν διαρρεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται, οὔτε σέφανοι χωρὶς ἀνταγωνιστῶν, οὔτε πτώματα χωρὶς ἀντιπάλων. Ἀκούεις τοῦ Δαβὶδ λέγοντος· ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκὶ παροξυνώθην, οὐδὲ ἠμυνάμην, ἀλλ' ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. Σὺ δὲ παροξυνθῇς μὲν ὡς ἐπὶ φαύλῃ τῇ λοιδορίᾳ, μιμοῦ δὲ πάλιν ὡς ἀγαθόν. Ἰδοὺ γὰρ ἔπαθες ἃ ἐγκαλεῖς· ἢ τὸ μὲν ἀλλότριον κακὸν ἐπιμελῶς καταβλέπεις, τὸ δὲ σεαυτοῦ αἰσχρὸν οὐδαμοῦ τίθης; πονηρὸν ἡ ὕβρις; φύγε τὴν μίμησιν· οὐ γὰρ δὴ τὸ ἕτερον κατάρξαι, ἱκανὸν εἰς παραίτησιν. Δικαιότερον μὲν ἦν, ὡς ἐμαυτὸν πείθως, καὶ ἐπιτεῖναι τὴν ἀγανάκτησιν· διότι ὁ μὲν οὐκ εἶχε τὸ σωφρονίζον ὑπόδειγμα· σὺ δὲ βλέπων ἀκριβῶς τὸν ὀργιζόμενον, οὐκ ἐφυλάξω αὐτοῦ τὴν ὁμοίωσιν. Ἀλλ' ἀγανακτεῖς, καὶ χαλεπαίνεις, καὶ ἀντοργίζῃ, καὶ γίνεταί σοι τὸ πάθος ἀπολογία τοῦ προλαβόντος· αὐτοῖς γὰρ οἷς ποιεῖς, κἀκεῖνον αἰτίας ἀφίης, καὶ σεαυτὸν κατακρίνεις. Εἰ μὲν γὰρ πονηρὸν ὁ θυμός, τί οὐκ ἐξέκλινας τὸ κακόν; εἰ δὲ συγγνώμης ἄξιον, τί χαλεπαίνεις τῷ θυμουμένῳ, ὥστε εἰ δεύτερος ἦλθες πρὸς τὴν ἀντίδοσιν, οὐδέν σε τοῦτο ὠνήσει· οὐδὲ γὰρ ἐν τοῖς στεφανίταις ἀγῶσιν ὁ κατάρξας τῶν παλαισμάτων, ἀλλ' ὁ ὑπερβαλλόμενος στεφανοῦται· καὶ κατακρίνεται τοίνυν, οὐχὶ μόνον ὁ καθυβρισάμενος τὸ δεινὸν, ἀλλὰ καὶ ὁ πονηρῷ ἡγεμόνι πρὸς τὴν ἁμαρτίαν ἐξα-

ἐξακολουθήσας. Ἐαν πενητά σε προσείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον; μήτε πρὸς ἐπαίνους χαυνωθῇς τὰς ὑπὲρ τοῦ ἀληθείαν· μήτε πρὸς ὕβρεις ἀχριανῇς τὰς ἐκ ἀπτομένας σου. Οὐχ ὁρᾷς τὰ τοξεύματα; πῶς τῆς μὲν σερρῶν καὶ αὐτιτύπων πέφυκε διεκπίπτειν, ἐν δὲ τοῖς ἀπαλοῖς καὶ ὑπείκουσι τὴν ὁρμὴν ὑπεκλύειν; τοιοῦτον δήτι νόμιζε εἶναι καὶ τὸ τῆς λοιδορίας. Ὁ μὲν αὐτιβαίνων, εἰς ἑαυτὸν καταδέχεται· ὁ δὲ ἐνδιδοὺς καὶ ὑπείκων ἐν τῇ ἀπαλότητι τὸ ῥόπτρον, τὴν ἐπ' αὐτὸν φερομένην πονηρίαν διέλυσε. Τί δέ σε παράσσει ἡ προσηγορία τὸ πενήτος; μνήσθητι τῆς φύσεως σεαυτοῦ, ὅτι γυμνὸς εἰς τὸν κόσμον εἰσῆλθες, γυμνὸς καὶ ἀπελεύσῃ. Τί δὲ γυμνῆ πενιχρότερον; ὑδρὶ ἥκασας δεινόν, ἐὰν μὴ σεαυτῷ οἰκειώσῃς τὰ εἰρημένα. Τίς ποτε ἀπήχθη διὰ πενίαν εἰς δεσμωτήριον; οὐ τὸ πένεσθαι ἐπονείδισον, ἀλλὰ τὸ μὴ φέρειν ἀγενῶς τὴν πενίαν. Μνήσθητι τοῦ Δεσπότου, ὅτι πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς. Ἐαν ἄφρονά σε καὶ ἀμαθῆ προσαγορεύσῃ, ὑπομνήσθητι τῶν Ἰουδαϊκῶν ὕβρεων, αἷς τὴν ἀληθινὴν Σοφίαν ἐλοιδορήσαντο. Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις; Ἐὰν μὲν ἔν ὀργισθῇς, ἐβεβαίωσας τὰ ὀνείδη. Τί γὰρ ὀργῆς ἀφρονέστερον; Ἐαν δὲ μείνῃς ἀόργητος, ἤχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος. Ἐῤῥαπίσθης; καὶ σὺ καὶ ὁ Κύριος. Ἐνεπτύσθης; ἀλλὰ καὶ ὁ Δεσπότης ἡμῶν. Οὐ σὺ ἀπέστρεψε τὸ πρόσωπον ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Ἐσυκοφαντήθης; καὶ γὰρ καὶ ὁ κριτής. Περιέῤῥηξάν σε τὸν χιτωνίσκον; ἀπέδησαν μὲ καὶ τὸν Κύριον, καὶ διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς. Οὕτω κατεκρίθης, ἵνα σεσωρεύθης. Πολλά σοι λείπει, ἵνα φθάσῃς αὐτὸν πρὸς τὴν μίμησιν. Τοίνυν ἔκεισον ὑποδέχεσθω σε τὴν διάνοιαν, καὶ κατασελλέσθω τὴν φλεγμονήν. Αἱ γὰρ τοιαῦται προπαρασκευαὶ καὶ διαθέσεις, οἷον πηδήματα τῆς καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσαι, εἰς εὐσάθειαν καὶ γαλήνην τοὺς

λό-

λογισμὺς ἐπανάγεσι· καὶ τοῦτό ἐστιν ἄρα τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, ὅτι ἠταράχθην καὶ οὐκ ἐλάλησα.

Δεῖ τοίνυν τὸ μανικὸν καὶ ἔκπληκτον κίνημα τῆς ψυχῆς κατασβέσαι τῇ μνήμῃ τῶν μακαρίων ὑποδειγμάτων. Πῶς ὁ μέγας Δαβὶδ ῥᾳθύμως ἠνείχετο τοῦ παροινίας τοῦ Σεμεΐ; ὁ γὰρ εἰδὼς καιρὸν τῇ ὀργῇ κινηθῆναι, θεὸς τὸν Θεὸν μεταφέρων τοῦτο αἰτίαν· ὅτι Κύριος, εἶπε, φησὶ, τῷ Σεμεΐ κατηρᾶσθαι τὸν Δαβίδ. Διόπερ ἀκόλαστος αἱμάτων ἀνὴρ, καὶ ἀνὴρ παράνομος, οὐκ ἐκείνῳ ἐχαλέπαινεν, ἀλλ' ἑαυτὸν ἐταπείνου, ὡς κατὰ τὴν ἀξίαν αὐτῷ τῆς ὕβρεως ἀπαντώσης. Δύο δὴ ταῦτα περίελε σεαυτοῦ· μήτε σεαυτὸν μεγάλων ἄξιον κρίνῃς, μήτε ἀνθρώπων τινὰ παραπολὺ ἐλαττοῦσθαί σου κατὰ τὴν ἀξίαν νομίσῃς. Οὕτω γὰρ οὐδέποτε ὁ θυμὸς ἐν ταῖς ἐπαγομέναις ἡμῖν ἀτιμίαις ἐπαναστήσεται. Δεινὸν μὲν τὸν διεργετηθέντα καὶ ταῖς μεγίσταις ὑπόχρεων χάρισι, θεὸς τῷ ἀχαρίστῳ ἔτι καὶ ὕβρεως καὶ ἀτιμίας καταρξαι· δεινὸν μὲν, ἀλλὰ τῷ ποιοῦντι μεῖζόν ἐστι κακὸν ἢ τῷ πάσχοντι. Ἐκεῖνος ὑβριζέτω· σὺ δὲ μὴ ὑβρίζου. Γυμνάσιόν σοι θεὸς φιλοσοφίαν ἔστω τὰ ῥήματα. Ἐὰν μὴ δηχθῇς, ἄξωτος εἶ· ἐὰν δὲ καὶ πάθῃς τι τοῦτο ψυχικὸν, ἐν σεαυτῷ κάπασχε τὸ λυπηρόν. Ἐν ἐμοὶ γάρ, φησιν, ἐταράχθη ἡ καρδία μου, τουτέστιν, ὁ διεδόθη θεὸς τὸ ἔξω τὸ πάθος, ἀλλ' οἷόν τι κῦμα εἴσω τοῦ αἰγιαλῶν κατακλασθὲν ἐσορέθη. Καθησύχασόν μοι τὴν καρδίαν ὑλακτοῦσαν καὶ ἀχριαίνουσαν· αἰδείσθω τὰ πάθη τὸ ἐν σοὶ λέγω τὴν ἐπιφάνειαν, ὥσπερ τὸ ἐν παισὶν ἄπακτον ἀνδρὸς αἰδεσίμου παρουσίαν. Πῶς οὖν ἐν ἐκφύγοιμεν τὴν ἐκ τοῦ ὀργίζεσθαι βλάβην; ἐὰν πείσωμεν τὸν θυμὸν μὴ θορυβαίνειν τοὺς λογισμούς. Ἀλλὰ τοῦτο θεῶτον ἐπιμελώμεθα, ὡς μηδέποτε αὐτὸν θορυβεῖσθαι τῆς διανοίας· ἔχομεν δὲ ὥσπερ ἵππον ὑπεζευγμένον ἡμῖν, καὶ οἷον χαλινῷ τινι τῷ λόγῳ καταπειθῆ, μηδαμοῦ τῆς τάξεως ἐκβαίνοντα τῆς οἰκείας, ἀγόμενον δὲ ὑπὸ τοῦ λόγου, ἐφ' ὅπερ ἂν καθηγεῖται

Ἔστι γὰρ φησὶ πολλὰ τῆς ἀρετῆς ἔργων ἐπίτηδειον, ἡμῶν τῆς ψυχῆς τὸ θυμοειδὲς, ὅταν, ὥσπερ τις στρατιώτης παρὰ τῷ στρατηγῷ τὰ ὅπλα θέμενος, ἐπίμως ἐπὶ τὰ παραγγελλόμενα τὰς βοηθείας παρέχηται, καὶ σύμμαχος ἢ τῷ λόγῳ κατὰ τῆς ἁμαρτίας. Νεῦρον γάρ ἐστι τῆς ψυχῆς ὁ θυμὸς, τόνον αὐτῇ φησὶ πρὸς τὴν τῶν καλῶν σύστασιν ἐμποιῶν. Εἰ γάρ ποτε λάβοι αὐτὴν ὑφ' ἡδονῆς ἐκλυθεῖσαν, οἱονεὶ βαφῇ σιδήρου τομώσας, αὐστηρὰν αὐτῇ καὶ ἀνδρείαν ἐκ μαλακῆς ἄγαν καὶ ἀνειμένης ἐποίησεν. Οὐ γὰρ, εἰ μὴ θυμωθείης κατὰ τὸ πονηρὸν, δυνατόν σοι μισῆσαι αὐτὸν ὅσον ἄξιον. Δεῖ γὰρ, οἶμαι, τῷ ἴσῳ σπουδῷ ἔχειν περί τε τὸ ἀγάπῃ τῆς ἀρετῆς, καὶ περὶ τὸ μῖσος τῆς ἁμαρτίας, πρὸς ὅπερ μάλιστα χρήσιμος ὁ θυμός. Ἐπειδὰν οἷον κύων ποιμένι, ὅπως ὁ θυμὸς τῷ λογισμῷ παρεπόμενος, πρᾴος μενῇ καὶ χειροήθης τοῖς ὠφελοῦσι, καὶ δυσπάλλητος τῷ λογισμῷ, πρὸς μὲν τὴν ἀλοξίαν, καὶ φωνῇ καὶ ὄψει ἐξαχριούμενος, κἂν θεραπείαν ἔχειν δοκῇ, τὸ δὲ συνήθως αὐτῷ καὶ φίλου ἐμβοήσαντος, ὑποπτήσσων· αὕτη ἀρίστη ἐστὶ καὶ ἔμμεσος τῷ φρονίμῳ τῆς ψυχῆς μέρει παρὰ τὸ θυμοειδὲς ἡ συνεργία· ὁ γὰρ τοιοῦτος ἀδιάλλακτος ἔσαι τοῖς ἐπιβούλοις καὶ ἄσπονδος· μηδέ ποτε τὴν πρὸς τὸ βλάπτον φιλίαν καταδεχόμενος, ἀλλὰ τὴν ἐπίβουλον ἡδονὴν ὥσπερ τινα λύκον ὑλακτῶν ἀεὶ καὶ σπαράσσων· τοιοῦτον μὲν δὴ τὸ ἀπὸ τοῦ θυμοῦ ὠφέλιμον, τοῖς εἰδόσι μεταχειρίζεσθαι· ἐπεὶ καὶ τῶν ἄλλων δυνάμεων ἑκάστη παρὰ τὸν τρόπον τῆς χρήσεως, ἢ κακὸν, ἢ ἀγαθὸν τῷ κεκτημένῳ γίνεται. Οἷον τῷ ἐπιθυμητικῷ τῆς ψυχῆς, ὁ μὲν εἰς ἀπόλαυσιν σαρκὸς καὶ τῶν ἀκαθάρτων ἡδονῶν ἀποχρησάμενος, βδελυκτὸς καὶ ἀκόλαστος· ὁ δὲ ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ τρέψας, καὶ τὴν ὄρεξιν τῶν αἰωνίων ἀγαθῶν, ζηλωτὸς καὶ μακάριος· καὶ πάλιν τὸ λογιστικὸν, ὁ μὲν καλῶς μεταχειριζόμενος, φρόνιμός ἐστι καὶ σωφρὼν· ὁ δὲ ἐπὶ βλάβῃ τῶν πλησίον ἠκονημένος τὸν νοῦν, κακοτέχνης ἐστὶ καὶ κακοῦργος.

Μὴ

Μὴ δὴ ἦν τὰ πρὸς σωτηρίαν ἡμῖν δεδομένα παρὰ τοῦ κτίσαντος, ἀφορμὴν ἑαυτοῖς ἁμαρτίας ποιήσωμεν. Οὕτω δὴ καὶ ὁ θυμός, ὅτε δεῖ, καὶ ὡς δεῖ κινούμενος, ἀνδρίαν ποιεῖ, καὶ ὑπομονήν, καὶ ἐγκράτειαν· παρὰ δὲ τὸν ὀρθὸν λόγον ἐνεργῶν, μανία γίνεται. Διὰ τοῦτο καὶ ἡμᾶς ὁ Ψαλμὸς νουθετεῖ, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· καὶ ὁ Κύριος πῶς μὲν ὀργιζομένῳ εἰκῇ τισὶ κρίσιν ἐπανατείνεται. τὸ δὲ ἐφ' ἃ δεῖ κεχρῆσθαι τῇ ὀργῇ, ὡς ἐν φαρμάκου εἴδει, ἀ παραιτεῖται. Τὸ γὰρ, ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ τοῦ ὄφεως· καὶ τὸ, ἐχθραίνετε τοῖς Μαδιωναίοις, διδάσκοντός ἐστι κεχρῆσθαι τῷ θυμῷ ὥσπερ ὅπλῳ. Διὰ τοῦτο Μωϋσῆς, ὁ πάντων ἀνθρώπων πραότατος, ἐνδικῶν τινὶ εἰδωλολατρείαν, τὰς τῶν Λευϊτῶν χεῖρας πρὸς τὸν τῶν ἀδελφῶν φόνον ἐξώπλισε· θέσθω, φησὶ, τὴν ῥομφαίαν ἕκαστος ἐπὶ τὸν μηρὸν αὐτοῦ, καὶ διέλθετε ἀπὸ πύλης εἰς πύλην, καὶ ἀνακάμψατε διὰ τῆς παρεμβολῆς, καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ πλήσιον, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ. Καὶ μετ' ὀλίγα· καὶ εἶπε, φησὶ, Μωϋσῆς· ἐκπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον τῷ Κυρίῳ, ἕκαστος ἐν τῷ Υἱῷ αὐτοῦ, καὶ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν. Τί δὲ τὸν Φινεὲς ἐδικαίωσεν; ἆρ' οὐ δικαία ὀργὴ κατὰ τῶν πορνευσάντων, ὃς τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τινὶ πορνείαν τοῦ Ζαμβρὶ καὶ τῆς Μαδιανίτιδος ἀναφανδὸν καὶ ἀπηυθριασμένως γενομένην, ἐδὲ συγκαλυπτόντων αὐτῷ τῆς αἰσχύνης. τὴν ἀχήμονα θέαν οὐκ ἀναχόμενος, εἰς δέον ἐχρήσατο τῷ θυμῷ, δι' ἀμφοῖν ἐλάσας τὸν σειρομάστην; Σαμουὴλ δὲ τὸν Ἀγὰγ τὸν βασιλέα τοῦ Ἀμαλὴκ ὑπὸ τοῦ Σαοὺλ παρὰ τὸ πρόσταγμα τοῦ Θεοῦ περισωθέντα, οὐχ ὑπὸ δικαίας ὀργῆς εἰς μέσον ἀγαγὼν κατεφόνευσεν; ὅπου γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν πράξεων ὑπηρέτης. Ἠλίας δὲ ὁ ζηλωτὴς. πεντήκοντα καὶ τετρακοσίους ἄνδρας Ἱερεῖς τῆς αἰσχύνης, καὶ τετρακοσίους ἄνδρας Ἱερεῖς τῶν ἀλσῶν, ἐσθίοντας τράπεζαν Ἰεζάβελ, λογισμῷ θυμῷ καὶ σώφρονι, εἰς ὃ-

φελος παντὸς τοῦ Ἰσραὴλ ἐθαπάτησε. Σὺ δὲ ὀργίζῃ τῷ ἀδελφῷ σε εἰκῇ· πῶς γὰρ οὐκ εἰκῇ, ἄλλε ἐνεργοῦντος, ἄλλῳ χαλεπαίνων αὐτός; ἢ ποιεῖς τὸ τῶν κυνῶν, οἳ τὰς λίθους δάκνουσι, τὰ βάλλοντος ἀποσαπτόμενοι· ὁ ἐνεργοῦμενος, ἐλεεινός· ὁ δὲ ἐνεργῶν, μισητός. Ἐκεῖ τὸν θυμὸν μετάθες, ἐπὶ τὸν ἀνθρωποκτόνον, τὸν τοῦ φόνου πατέρα, τὸν ἐργάτην τῆς ἁμαρτίας. Τῷ δὲ ἀδελφῷ, ἢ συμπάθησον· ὅτι ἐὰν ἐπιμείνῃ τῇ ἁμαρτίᾳ, μετὰ τὰ διαβόλε παραδοθήσεται τῷ αἰωνίῳ πυρί. Ὡς περ δὲ τὰ ὀνόματα διάφορα θυμὸς ἢ ὀργῆς, οὕτω καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πλεῖσον ἀλλήλων διαφέρει. Ἔστι γὰρ θυμὸς μὲν, οἷον ἔξαψίς τις ἢ ἀναθυμίασις ἐξεῖα τὰ πάθες· ὀργὴ δὲ, ἔμμονος λύπη ἢ ὁρμὴ διαρκὴς, πρὸς τίνα τῶν ἠδικηκότων ἀντίδοσιν, ὥσπερ ὀργώσης τῆς ψυχῆς πρὸς τὴν ἄμυναν. Εἰδέναι δὲ χρὴ, ὅτι κατ' ἀμφοτέρας τὰς διαθέσεις πλημμελοῦσιν οἱ ἄνθρωποι, ἢ μανικῶς ἢ ἐμπλήκτως κατὰ τῶν παροξυνόντων κινούμενοι· ἢ δολερῶς ἢ ἐπιβούλως τοὺς λυπήσαντας ἐνεδρεύοντες, ἅπερ ἀμφότερα φυλακτέον ἡμῖν. Πῶς οὖν ἂν μὴ κινοῖτο πρὸς ἃ μὴ δεῖ τὸ πάθος; πῶς; εἰ παιδευθείης τὴν ταπεινοφροσύνην ἣν ὁ Κύριος ἢ λόγῳ διετάξατο ἢ ἔργῳ ὑπέδειξε· νῦν μὲν λέγων, ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔσω πάντων ἔσχατος· νῦν δὲ, πραΰς καὶ ἀκινήτως τὰ τύπτοντος ἀνεχόμενος. Ὁ γὰρ οὐρανὰ καὶ γῆς Ποιητὴς ἢ Δεσπότης, ὁ παρὰ πάσης τῆς νοητῆς, ἢ αἰσθητῆς κτίσεως προσκυνούμενος, ὁ φέρων τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως αὐτῦ, οὐχὶ ζῶντα ἔπεμψεν αὐτὸν εἰς τὸν ᾅδην, τῆς γῆς ὑπορραγείσης τῷ δυσσεβεῖ, ἀλλὰ νουθετεῖ ἢ διδάσκει· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τὰ κακά, εἰ δὲ καλῶς, τί με δέρεις; ἐὰν γὰρ ἐθισθῇς πάντων ἔσχατος εἶναι, κατὰ τὴν ἐντολὴν τὰ Κυρίε, πότε ἀγανακτήσεις, ὡς παρὰ τὴν ἀξίαν καθυβριζόμενος; Ὅταν σε παιδίον νήπιον λοιδορήσῃ, γέλωτος ἀφορμὴν ποιῇ τὰ λοιδορήματα· ἢ ὅταν ὑπὸ φρενίτιδος ἐξεστηκὼς τὴν διάνοιαν,

φθέγ-

φθέγγηται ῥήματα ἀτιμίας, ἐλεεινὸν ἡγοῦ μᾶλλον, ἢ μίσους ἄξιον. Οὐ τοίνυν τὰ ῥήματα πέφυκε τὰς λύπας κινεῖν, ἀλλ' ἡ κατὰ τὸ λοιδορήσαντος ἡμᾶς ὑπεροψία, καὶ ἡ ἑκάστου περὶ ἑαυτὸν φαντασία· ὥστε αὐ ἀφέλῃς τῆς ἑαυτοῦ διανοίας τύπων ἑκάτερον, ψόφος ἐστὶν ἄλλως διακενῆς ἠχῶν τὰ φερόμενα. Παύσαι οὖν ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμὸν, ἵνα φύγῃς τῆς ὀργῆς τὴν πεῖραν τῆς ἀποκαλυπτομένης ἀπ' Οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων. Ἐὰν γὰρ λογισμῷ σώφρονι ἐκτεμεῖν δυνηθῇς τὴν πικρὰν ῥίζαν τοῦ θυμοῦ, πολλὰ τῶν παθῶν τῇ ἀρχῇ ταύτῃ συναναιρήσεις. καὶ γὰρ τὸ δολερὸν, καὶ ὕποπτον, καὶ ἄπιστον, καὶ κακόηθες, καὶ ἐπίβουλον, καὶ θρασὺ, καὶ πᾶν τὸ τῶν τοιούτων πονηρὸν σμῆνος, ταύτης τῆς κακίας ἐστὶν ἀποβλαστήματα. Μὴ δὴ οὖν εἰσαγώμεν ἑαυτοῖς κακὸν τοσοῦτον, ἀῤῥωσίαν ψυχῆς, σκότωσιν λογισμῶν, ἀπὸ Θεοῦ ἀλλοτρίωσιν, οἰκειότητος ἄγνοιαν, ἀρχὴν πολέμου, συμφορῶν πλήρωμα, δαίμονα πονηρὸν αὐταῖς ἡμῶν ταῖς ψυχαῖς ἐντικτόμενον· καὶ ὥσπερ τινα σύοικον αἰδῆ προκατέχοντα ἡμῶν τὰ ἔνδον, καὶ τῷ Ἁγίῳ Πνεύματι τὴν πάροδον ἀποκλείοντα. Ὅπου γὰρ ἔχθραι, ἔρις, θυμοὶ, ἐριθείαι, φιλονεικίαι, θορύβους ἀσιγήτους ταῖς ψυχαῖς ἐμποιοῦντα, ἐκεῖ τὸ πνεῦμα τῆς χαρᾶς οὐκ ἀναπαύεται. Ποιθέντες δὲ τῇ παραινέσει τοῦ μακαρίου Παύλου, πᾶσαν ὀργὴν, καὶ θυμὸν, καὶ κραυγὴν ἄρωμεν ἀφ' ἡμῶν σὺν πάσῃ κακίᾳ, καὶ γενώμεθα εἰς ἀλλήλους χρηστοὶ καὶ εὔσπλαγχνοι, ἀναμένοντες τὴν μακαρίαν ἐλπίδα τὴν τοῖς χαρᾶσιν ἐπηγγελμένην· μακάριοι γὰρ οἱ χαρεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΚΑΘΕΛΩ ΜΟΥ

Τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω.

Διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν· ἢ γὰρ αἱ θλίψεις βασανίζουσι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ, διὰ τῆς ὑπομονῆς τὸ δοκίμιον αὐτῶν ἀπελέγχουσαι· ἢ καὶ πολλάκις αὐταὶ αἱ δι' ἠθῶν τῷ βίῳ αἰτίαι πειρατηρίῳ γίνονται τοῖς πολλοῖς· ὁμοίως γάρ ἐσι χαλεπὸν, εἴτε ταῖς δυσπολίαις φραγμάτων ἀπαπείνωτον τὴν ψυχὴν διασώσασθαι, καὶ ἐν ταῖς περιφανείαις (τοῦ βίου) μὴ ἐπαρθῆναι πρὸς ὕβριν. Παράδειγμα δὲ τοῦ μὲν πρότερα εἴδους τῶν πειρασμῶν, ὁ μέγας Ἰὼβ, ὁ ἀπαταγώνισος ἀθλητής· ὃς πᾶσαν τὴν Διαβόλου τὴν βίαν, ὥσπερ χειμάρρου φοράν, ἀσείσῳ καρδίᾳ καὶ λογισμοῖς ἀῤῥέπτοις ὑποδεξάμενος, τοσούτῳ μείζων τῶν πειρασμῶν ἀνεφάνη, ὅσῳ μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι τὰ παλαίσματα. Τῶν δὲ κατὰ τὴν διημερείαν τοῦ βίου πειρασμῶν ὑποδείγματα ἄλλα τέ τινα, καὶ ὅτος ὁ νῦν ἡμῖν ἀναγνωσθεὶς πλοῦτος· ὃς τὸν μὲν εἶχε πλοῦτον· τὸν δὲ ἤλπιζε, τοῦ φιλανθρώπου Θεοῦ ἐξ ἀρχῆς αὐτὸν ἐπὶ τῇ ἀγνωμοσύνῃ τῶν τρόπων μὴ καταπείνοντος, ἀλλ' ἀεὶ τῷ προϋπάρχοντι πλούτῳ, πλοῦτον ἕτερον προσιθέντος, εἴπως αὐτῷ κόρον ἐμποιήσας ποτὲ, πρὸς τὸ κοινωνικὸν καὶ ἥμερον τὴν ψυχὴν αὐτοῦ ἐκκαλέσαιτο. Ἀνθρώπου γάρ, φησι, πλουσίου ηὐφόρησεν ἡ χώρα; καὶ διελογίζετο καθ' ἑαυτόν· τί ποιήσω; καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. Διὰ τί δὲ ηὐφόρησεν ἡ χώρα ἀνθρώπου μηδὲν ἀγαθὸν ἐκ τῆς διαφορᾶς ποιήσειν μέλλοντος; ἵνα μᾶλλον ἡ τοῦ Θεοῦ μακροθυμία φανῇ, καὶ μέχρι τῶν τοιούτων ἐκτεινομένης αὐτοῦ τῆς χρηστότητος· βρέχει γὰρ ἐπὶ δικαίους, καὶ ἀδί-

ἀδίκως· καὶ ἀνατέλλει τὸν Ἥλιον αὐτὸς ἐπὶ πονηροὺς, καὶ ἀγαθούς. Ἡ δὲ τοιαύτη τοῦ Θεοῦ ἀγαθότης, μείζονα συνάγει τοῖς πονηρευομένοις τὴν κόλασιν. Ἤνεγκε τὰς ὄμβρους ἐπὶ τὴν ὑπὸ τῶν πλεονεκτικῶν χειρῶν γεωργουμένην γῆν· Ἔδωκε τὸν Ἥλιον ἐκθάλπειν τὰ σπέρματα καὶ πολυπλασιάζειν τοὺς καρποὺς διὰ τῆς διφορίας. καὶ τὰ μὲν παρὰ Θεοῦ τοιαῦτα, γῆς ἐπιπδειότης, ἀέρων εὔκρατοι καταστάσεις, σπερμάτων ἀφθονίαι, βοῶν συνεργίαι, τὰ ἄλλα, οἷς γεωργία πέφυκεν διθλωεῖσθαι· τὰ δὲ παρὰ τοῦ ἀνθρώπου, οἷα; τὸ πικρὸν τοῦ ἤθους, ἡ μισανθρωπία, τὸ δυσμετάδοτον. Ταῦτα τῷ εὐεργέτῃ ἀντεπεδείκνυτο. Οὐχ ἐμνήσθη τῆς κοινῆς φύσεως· οὐχ ἡγήσατο χρῆναι τὸ περιττεῦον τοῖς ἐνδεέσι καταμερίσαι· οὐκ ἔχει τινὰ λόγον τῆς ἐντολῆς· μὴ ἀπόχῃ εὖ ποιεῖν ἐνδεῖ, καὶ ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσαν σε, καὶ διάθρυπτε πεινῶντι τὸν ἄρτον σου· καὶ πάντες Προφῆται, καὶ πάντες Διδάσκαλοι ἐμβοῶντες οὐκ εἰσηκούοντο· ἀλλ' αἱ μὲν ἀποθῆκαι διερρήγνυντο τῷ πλήθει τῶν ἀποκειμένων στενοχωρούμεναι· ἡ δὲ φιλώλους καρδία, οὐκ ἐνεπίμπλατο. Ἀεὶ γὰρ τὰ νέα τοῖς παλαιοῖς προσιθεὶς, καὶ ταῖς κατ' ἔτος προσθήκαις τὴν διπορίαν προσαύξων, εἰς τὴν ἀδιέξοδον ταύτην ἀμηχανίαν ἐνέπεσεν· ὑποχωρεῖν μὲν τοῖς παλαιοῖς διὰ τὴν πλεονεξίαν μὴ συγχωρῶν, ὑποδέχεσθαι δὲ τὰ νέα διὰ τὸ πλῆθος μὴ ἐξαρκῶν. Διὰ τοῦτο ἀνήνυτα μὲν αὐτῷ τὰ βουλεύματα, ἄποροι δὲ αἱ φροντίδες. Τί ποιήσω; τίς οὐκ ἂν ἐλεήσειε τὸν ὕπω πολιορκούμενον; Δείλαιος τῆς διπορίας, ἐλεεινὸς τῶν παρόντων ἀγαθῶν, ἐλεεινότερος τῶν προσδοκωμένων. Μὴ γὰρ προσόδους αὐτῷ φέρει ἡ γῆ; σεσαγμὸς αὐτῷ φύει. Μὴ γὰρ καρπῶν αὐτῷ διφορίαν συνάγει; φροντίδας, καὶ λύπας, καὶ ἀμηχανίαν δεινήν. Ὅμοια τοῖς πενομένοις ὀδύρεται· ἢ οὐχὶ ταύτῃ ἀφίησι τὴν φωνὴν, καὶ ὁ διὰ πολυχείαν στενοχωρούμενος; τί ποιήσω; πόθεν τροφαί; πόθεν ἐνδύματα; ταῦτα καὶ ὁ πλούσιος φθέγγεται.

Ο᾽διωᾶται τὴν καρδίαν ὑπὸ τῆς μερίμνης διεθιόμενος· ὁ γὰρ τὰς ἄλλας διφραίνει, τοῦτο πίνει τὸν πλουσίου· οὐ γὰρ χαίρει, πάντων αὐτῷ πεπληρωμένων τὴν ἔνδον· ἀλλὰ νύσσει τὴν ψυχὴν αὐτοῦ πενιχρέων ὁ πλοῦτος, καὶ τὴν πανιέων ὑπερχεόμενος, μή που καὶ φορὸς τοὺς ἔξωθεν παρανύσας, ἀγαθοῦ τινος ἀφορμὴ τοῖς ἐνδεέσι γένηται. Καί μοι δοκεῖ τὸ πάθος αὐτοῦ τῆς ψυχῆς, τῷ τὴν γαστριμάργων φορσιοικεῖσθαι, οἳ διαῤῥαγεῖσαι μᾶλλον ὑπὸ λαιμαργίας αἴρονται, ἢ τὴν λειψάνων μεταδοῦναι τοῖς ἐνδεέσι. Σύνες ἄνθρωπε τὸ δεδωκότος. Μνήσθητι σεαυτοῦ τίς εἶ, τί οἰκονομεῖς, παρὰ τίνος ἔλαβες, διὰ τί τῶν πολλῶν φορτικείθης. Ἀγαθοῦ Θεοῦ γέγονας ὑπηρέτης, οἰκονόμος τῶν ὁμοδούλων. Μὴ πάντα οἴου τῇ γαστρὶ τῇ σῇ παρεσκευάσθαι. Ὡς περὶ ἀλλοτρίων βουλεύου τὴν ἐν χερσίν. Μικρὸν διφρανεῖ σε χρόνον· εἶτα διαῤῥυήσεται, τὸν δὲ ἐπ᾽ αὐτοῖς λόγον ἀπαιτηθήσῃ μετὰ ἀκριβείας. Σὺ δὲ πάντα ὁμοῦ θύραις καὶ μοχλοῖς ἐναποκλείσας ἔχεις· καὶ καταδήσας σφραγῖσιν, ἐπαχρυπνεῖς ταῖς μερίμναις, καὶ βουλεύῃ κατ᾽ σαυτὸν, ἄφρονι συμβούλῳ σεαυτῷ κεχρημένος. Τί ποιήσω; ἕτοιμον ἐστὶ εἰπεῖν· ὅτι ἐμπλήσω τὰς ψυχὰς τῶν πεινώντων· ἀνοίξω τὰς ἀποθήκας, καὶ πάντας καλέσω τοὺς ἐνδεεῖς· μιμήσομαι τὸν Ἰωσὴφ τῷ τῆς φιλανθρωπίας κηρύγματι· φθέγξομαι φωνῇ μεγαλόψυχον, ὅσοι ὑστερεῖσθε ἄρτων, ἔλθετε φορός με, τῆς παρὰ Θεοῦ δεδομένης χάριτος τὸ ἀρκοῦν ἕκαστος, οἷον ἐκ κοινῶν πηγῶν, συμμεθέξοντες· Ἀλλ᾽ ὁ τοιοῦτος σὺ· πόθεν; ὃς γε βασκαίνεις μὲν τοῖς ἀνθρώποις τῆς ἀπολαύσεως· πονηρὸν δὲ βιβλιδίριον ἐν τῇ ψυχῇ συγκροτήσας, φροντίζεις, οὐχ ὅπως μεταδῷς ἑκάστῳ τὸ φορὸς τὴν χρείαν, ἀλ᾽ ὅπως πάντα ὑποδεξάμενος, πάντας τῆς ἀπ᾽ αὐτῷ ὠφελείας ἀποστερήσῃς.

Παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες, κἀκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ διελέγετο. Ταύτῃ τῇ νυκτὶ παραλαμβάνετο, ᾗ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζε-

το.

το. Συνεχωρήθη πάντα βελτίσασθαι, καὶ φανεραὶ ἑαυτὰς ποιῆσαι τὴν γνώμην, ἵνα ἀξίαν τῆς προαιρέσεως δέξηται τιὼ ἀπόφασιν, ὃ μὴ πάθῃς σύ· διὰ τοῦτο γὰρ γέγραπται, ἵνα φύγωμεν τὴν ὁμοίωσιν· μίμησαι τὴν γλῶ, ἄνθρωπε, καρποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς ἀψύχου. Ἐκείνη μὲν ὃν τὰς καρπὰς οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψε. Σὺ δὲ ὃν αὖ ἐπιδείξῃ τῆς διποιΐας καρπὸν, σεαυτῷ τοῦτον συνάγεις· διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τὰς διδόντας ἐπανασρέφουσιν. Ἔδωκας τῷ πεινῶντι, καὶ σὸν γίνεται τὸ δοθὲν μετὰ προθήκης ἐπανελθόν. Ὥσπερ γὼ ὁ σῖτος εἰς τὴν γῆν πεσὼν, κέρδος τῷ προϊεμένῳ γίνεται, ὅπως ὁ ἄρτος εἰς τὸν πεινῶντα καταβληθεὶς, πολύχουν τὴν ὠφελείαν εἰς ὕσερον ἀναδίδωσιν. Ἔσω ὄνσοι τὸ πέρας τῆς γεωργίας, ἀρχὴ τῆς ἐπουρανίου ὡρᾶς. Σπείρατε γάρ, φησιν, ἑαυτοῖς εἰς δικαιοσύνην. Τί ὃν ἀδημονεῖς; τί κόπτεις σεαυτὸν, πηλῷ καὶ πλίνθοις τὸν πλοῦτον ἐγκαποκλεῖσαι φιλονεικῶν; Κρεῖσσον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν. Εἰ δὲ θαυμάζεις τὰ χρήματα διὰ τιὼ ἀπ' αὐτῶ τιμὴν, σκόπει πόσῳ πρὸς δόξαν λυσιτελέσερον, μυρίων παίδων Πατέρα προσαγορεύεσθαι, ἢ μυρίας ἔχειν σατρας ἐν βαλαντίῳ. Τὰ μὲν γε χρήματα καταλείψεις ἐνταῦθα καὶ μὴ βελόμενος· τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν Δεσπότην, ὅταν δῆμος ὅλος ἐπὶ τὸ κοινοῦ κριτὸ περισάντες σε, ξοφέα, καὶ δίεργέτην, καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. Οὐχ ὁρᾷς τοῖς ἐν τοῖς θεάτροις παγκρατιασταὶς, καὶ μίμοις, καὶ θηριομάχοις τισὶν ἀνθρώποις, ὃς κἂν βδελύξαιτό τις προσιδεῖν, ὑπὲρ τῆς ἐν ὀλίγῳ τιμῆς καὶ τῶ παρὰ τοῦ δήμου θορύβων καὶ κρότων τὸν πλοῦτον προεμένους; καὶ σὺ μικροπρεπὴς εἶ περὶ τὰς δαπάνας, τηλικαύτης μέλλων ἐπιβήσεσθαι δόξης; Θεὸς ἔσται ὁ ἀποδεχόμενος, Ἄγγελοι δίφημοῦντες, οἱ ἀπὸ κτίσεως ἄνθρωποι μακαρίζοντες. Δόξα αἰώνιος, στέφανος δι-

δικαιοσύνης, βασιλεία τῆς Οὐρανῶν, ἀθλά σοι ἔσται τῆς τῆς φθαρτῆς τέτων οἰκονομίας· ὧν κόσμος φροντίζεις, τῇ περὶ τὰ παρόντα σπουδῇ τῆς ἐλπιζομένων ὑπερορῶν. Δεῦρο δὴ ἔν ποικίλως διάθες τὸν πλοῦτον, φιλότιμος καὶ λαμπρὸς περὶ τὰς δαπάνας τῶν δεομένων γινόμενος. Λεγέσθω καὶ περὶ σοῦ· ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. Μὴ βαρύτιμος ἔσο, ταῖς χρείαις ἐπιτιθέμενος· μὴ ἀνάμενε σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα. Ὁ γὰρ τιμιωλκῶν σῖτον, δημοκατάρατος. Μὴ λιμὸν ἐκδέχου διὰ χρυσόν· μὴ κοινὴν σύδειαν, δι' ἰδιοπρέπειαν ἰδίαν· μὴ γίνε κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τιμὴ ὀργὴν τοῦ Θεοῦ, καιρὸν ποιήσῃ περιουσίας χρημάτων· μὴ ἐπιξαίνῃς βαύματα κεκακωμένων ταῖς μάσιξι. Σὺ δὲ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δὲ ἀδελφὸν ὑ προσβλέπεις· καὶ τὸ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα, καὶ τὸ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ ἀδελφὸν παρὰ τὴν χρείαν παντελῶς ἀγνοεῖς· καὶ ἡ μὲν εὐχροιά σε τοῦ χρυσοῦ ὑπερήδει· ὅσος δέ σοι ἀκολουθεῖ τοῦ ἐνδεοῦς ὁ στεναγμός, οὐ λογίζῃ. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος; ἐκεῖνος περισκεψάμενος τὸ σῶδον, ὁρᾷ ὅτι χρυσὸς μὲν αὐτῷ ὅτε ἐστὶν, οὔτε γενήσεται πώποτε· σκιὰν δὲ καὶ ἐσθῆτα τοιαύτα, οἷα ἂν γένοιτο πτωχῶν κτήματα, ὀλίγων τὰ πάντα ὀβολῶν ἄξια. Τί δῆτα; ἐπὶ τοὺς παῖδας λοιπὸν ἄγει τὸν ὀφθαλμὸν, ὥστε αὐτοὺς ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν αἱρέσθαι τοῦ θανάτου παραμυθίαν. Νόησον ἐνταῦθα μάχην ἀνάγκης λιμοῦ, καὶ διαθέσεως πάθικῆς· Ἢ μὲν τὸν οἰκτιστον θάνατον ἀπειλεῖ· ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν τοῖς τέκνοις πείθουσα· καὶ πολλάκις ὁρμήσας· καὶ πολλάκις ἀνακοπείς, τελευταῖον ἐκρατήθη ὑπὸ τῆς ἀναγκαίας καὶ ἀπαραιτήτου χρείας ἐκβιασθείς· καὶ οἷα βυλεύεται ὁ Πατήρ; τίνα πρῶτον ἀπεμπολήσω; τίνα δὲ ἡδέως ὁ σιτοπώλης ὄψεται; ἐπὶ τὸν πρεσβύτατον ἔλθω; ἀλλὰ δυσωπεῖμαι αὐτοῦ τὰ

πρεσ-

πρεσβεῖα. Ἀλλὰ τὸν νεώτατον; ἀλλ' ἐλεῶ αὐτοῦ τὴν ἡλικίαν ἀναίσθητον τῶν συμφορῶν· ἔτος ἐναργὴς σώζει τῶν γονέων τὰς χαρακτῆρας· ἐκεῖνος ἐπιπόδειος ἔχει πρὸς τὰ μαθήματα. Φεῦ τῆς ἀμηχανίας! Τίς γένωμαι; τίνι τέκνων προσκρέτω; ποίαν θηρίου ψυχὴν ἀναλάβω; πῶς τῆς φύσεως ἐπιλάθωμαι; ἐὰν πάντων ἀντίσχωμαι, πάντας ὄψομαι δαπανωμένους τῷ πάθει· ἐὰν εἷς πρόωμαι, ποίοις ὀφθαλμοῖς τοὺς λειπομένους προσίδω, ὕποπτος αὐτοῖς ἤδη γεγενημένος εἰς ἀπιστίαν; πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκάσας τὴν ἀπαιδίαν; πῶς ἐπὶ τὴν τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν δίπορίαν ἔχουσαν; Καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπολήσων ἔρχεται· σὲ δὲ οὐ κάμπτει τὸ πάθος, οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. Ἀλλ' ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ, καὶ εἰρωνδίῃ, μακροτέραν αὐτῷ κατασκάζων τὴν συμφοράν. κ' ὁ μὲν τὰ σπλάγχνα προτείνεται τιμὴν τῶν τροφῶν, σοῦ δὲ οὐ μόνον ἐκ ἀπορρᾳ ἡ χεὶρ ἐκ τοιούτων συμφορῶν ὑποδεχομένη τιμήματα, ἀλλὰ καὶ ζυγομαχεῖς περὶ τοῦ πλείονος· καὶ ὅπως ἂν πολὺ λαβών, ἔλαττον δώῃς φιλονεικεῖς, παντοχόθεν βαρυνόμενον τὴν συμφορὰν τῷ ἀθλίῳ. Οὐ δάκρυόν σοι ἐλεεινόν· ὁ σπασμὸς καρδίαν μαλάσσει· ἀλλ' ἄκαμπτος εἶ καὶ ἀμείλικτος. Πάντα χρυσὸν βλέπεις, χρυσὸν φαντάζῃ. Τοῦτό σοι καὶ καθεύδοντι ἐνύπνιον, κ' ἐγρηγορότι ἐνθύμιον. Ὥσπερ γὰρ οἱ ὑπὸ μανίας παράφοροι, ὁ τὰ φάσματα βλέπουσιν, ἀλλὰ τὰ ἐδ τὰ πάθους φαντάζονται, ὅπως σοι ἡ ψυχὴ τῇ φιλοχρηματίᾳ καταχεθεῖσα, πάντα χρυσὸν, πάντα ἄργυρον βλέπει· ἥδιον ἂν ἴδοις τὸν χρυσὸν, ἢ τὸν Ἥλιον· εὔχῃ τὰ πάντα πρὸς τὴν τοῦ χρυσὸς φύσιν μεταβληθῆναι, καὶ ἐπινοεῖς μέν τοι καθ' ὅσον οἷόν τε. Ποίαν γὰρ μηχανὴν διὰ χρυσὸν ὁ κινεῖς; ὁ σῖτος χρυσός σοι γίνεται· ὁ οἶνος, εἰς χρυσὸν μεταπήγνυται· τὰ ἔλαια σοι ἀποχρυσοῦται. Πᾶσα ἐμπορία, πᾶσα ἐπίνοια, χρυσὸν

σόν σοι προσάγει· αὐτὸς ἑαυτὸν ὁ χρυσὸς ἀπογεννᾷ πολυπλασιαζόμενος ἐν δανείσμασι· καὶ κόρος οὐκ ἔστι, καὶ τέλος τῆς ἐπιθυμίας οὐκ ἐξευρίσκεται. Τῶν μὲν γὰρ παίδων τοῖς λίχνοις ἀφειδῶς πολλάκις ἐνδίδομεν τῇ περιπαιδάσεων ὑπερεμπίπλασθαι, ὥστε τῷ ὑπερβάλλοντι κόρῳ τὴν ἀπόρροιαν ἐμποιῆσαι· ὁ δὲ πλεονέκτης οὐχ ὅπως, ἀλλ' ὅσῳ πλειόνων ἐμφορεῖται, πλειόνων ἐφίεται. Πλοῦτος ἐὰν ῥέῃ μὴ προστίθεσθε καρδίαν. Σὺ δὲ κατέχεις τὸν περιῤῥέοντα, καὶ περιφράσεις τὰς διεξόδους. Εἶτα κατεχόμενος καὶ ἐλλιμνάζων, οἷα ποιεῖ σοι; ῥήγνυσι τὰ κωλύματα. Ἀμέλει καὶ νῦν βιαίως ἐναπολιφθεὶς καὶ πλημμυρῶν, καθαιρεῖ τὰ πλουσίου τὰς ἀποθήκας. Ἐδαφίζει αὐτῶν τὰ ταμιεῖα, ὥσπερ πολέμιός τις ἐπεισελθών. Ἀλλὰ μείζονας οἰκοδομήσει; ἄδηλον εἰ μὴ καθημερινὰς παραδώσει τῷ μετ' αὐτόν. Ὀξύτερον γὰρ ἂν αὐτὸς ἀπέλθοι ἀναπαυθείς, ἢ ἐκεῖνας κατὰ τὴν πλεονεκτικὴν ἐπίνοιαν ἐγερθείη.

Ἀλλ' ὁ μὲν ἔχει τῶν κακῶν βουλευμάτων τὸ τέλος ἀπόλαυσον. Ὑμεῖς δὲ ἂν ἐμοὶ πείθησθε, πάσας θύρας ταμιείων ἀναπετάσαντες, ἀφθόνους παρέχετε τὰς διεξόδους τῷ πλούτῳ. Ὥσπερ γὰρ ποταμῷ μεγάλῳ πολύκαρπον γῆν δι' ὀχετῶν μυρίων ἐπερχομένῳ, οὕτως αὐτοὶ τῷ πλούτῳ διδόντες διὰ ποικίλων ὁδῶν εἰς τὰς τῶν πενήτων οἰκίας καταχίζεσθε. Τὰ φρέατα ἐξαντλούμενα διρώτερα γίνεται, ἀναφιέμενα δὲ, καταπίπτει· καὶ πλοῦτος τὸ μὲν σάσιμον, ἄχρηστον· τὸ δὲ κινούμενον καὶ μεταβαῖνον, κοινωφελές τε, καὶ ἔγκαρπον. Ὡ πόσος μὲν ὁ παρὰ τῆς διεργετουμένων ἔπαινος! οὗ σὺ μὴ καταφρονήσῃς. Πηλίκος δὲ ὁ παρὰ τοῦ δικαίου κριτοῦ μισθός! ᾧ σὺ μὴ ἀπιστήσῃς. Παντάχοῦ σοι τὸ ὑπόδειγμα τοῦ κατηγορουμένου πλουσίου προσαπαντάτω· ὃς τὰ μὲν ἤδη παρόντα φυλάσσων, περὶ δὲ τῆς ἐλπιζομένων ἀγωνιῶν, καὶ ἄδηλον ἔχων εἰ βιώσεται τινὶ αὔριον, τὴν αὔριον σήμερον προημάρτανεν· οὕτω ἦλθεν ὁ ἰκέτης, καὶ προλαβὼν ἐδείκνυε τινὶ ἀχριότητα· ὁ συνήγα-

γε

γε τοὺς καρπὸς, καὶ τῆς πλεονεξίας ἤδη εἶχεν τὸ κεῖμα· ἡ μὲν γῆ ἐδεξιοῦτο τοῖς ἐκφορίοις αὐτῆς, βαθὺ μὲν ἐν ταῖς ἀρόραις προδεικνῦσα τὸ λήϊον, πολλῷ δὲ τὸν βότρυν ὑπὲρ κλημάτων ἐμφαίνουσα· βρύουσαν δὲ τῷ καρπῷ τὴν ἐλαίαν παρεχομένη, καὶ πᾶσαν ἐπαγγελλομένη τὴν ἐξ ἀκροδρύων τρυφήν· ὁ δὲ, δέξιος ἦν καὶ ἄκαρπος· ἔπω ἔχων, καὶ ἤδη βασκαίνων τοῖς δεομένοις. Καί τοι πόσοι κίνδυνοι περὶ τῆς συγκομιδῆς τῶν καρπῶν; καὶ δὴ καὶ χάλαζα κατέκλασε, καὶ καύσων ἥρπασεν ἐκ μέσης τῆς χειρῶν, καὶ ὕδωρ παρὰ καιρὸν ἐκ νεφῶν ἐπιρρύεν, ἠχρείωσε τοὺς καρπούς. Οὐ προσδέχῃ ἓν τῷ Κυρίῳ τελειωθῆναι τὴν χάριν, ἀλλὰ προλαμβάνων, σεαυτὸν ἀνάξιον ποιεῖς τῆς ὑποδοχῆς τῶν δειχθησόντων. Καὶ σὺ μὲν ἐν τῷ κρυπτῷ λαλεῖς σεαυτῷ, τὰ δὲ ῥήματά σου ἐν οὐρανῷ δοκιμάζεται. Διὰ τοῦτό σοι ἐκεῖθεν αἱ ἀποκρίσεις ἔρχονται. Τίνα δέ ἐστι, καὶ ἃ λέγει; ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ ἀποκείμενα, φάγε, πίε, εὐφραίνου καθ' ἡμέραν. Ὦ τῆς ἀλογίας! εἰ δὲ χοιρείαν εἶχες ψυχὴν, τί ἂν ἄλλο, ἢ τοῦτο αὐτῇ ἐπηγγελίσω; ἔπω κτηνώδης εἶ, οὕπως ἀσπάστος πᾶσι τῆς ψυχῆς ἀγαθῶν, τοῖς τῆς σαρκὸς αὐτῆς βρώμασι δεξιούμενος, καὶ ὅσα ὁ ἀφεδρὼν ὑποδέχεται, ταῦτα τῇ ψυχῇ παραπέμπεις· εἰ μὲν ἀρετὴν ἔχει, ἡ πλήρης ἐστὶν ἔργων ἀγαθῶν, ἢ Θεῷ προσῳκείωται, ἔχει πολλὰ ἀγαθὰ, καὶ εὐφραινέσθω τῇ καλῇ τῆς ψυχῆς εὐφροσύνῃ. Ἐπεὶ δὲ τὰ ἐπίγεια φρονεῖς, καὶ Θεὸν ἔχεις τὴν κοιλίαν, καὶ ὅλως σάρκινος εἶ, δεδουλωμένος τοῖς πάθεσιν, ἄκουε τῆς σοὶ πρεπούσης προσηγορίας, ἣν ἤδεισαν ἀνθρώπων ἔθετό σοι, ἀλλ' αὐτὸς ὁ Κύριος· ἄφρων, ταύτῃ τῇ νυκτὶ, τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; Μείζων τῆς αἰωνίου κολάσεως ὁ γέλως τῆς ἀβουλίας· ὁ γὰρ μετ' ὀλίγον μέλλων ἁρπαστος ἄγεσθαι, οἷα βουλεύεται; καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω· καλῶς σύγε ποιῶν, φαίην ἂν πρὸς αὐτόν· ἄξια γὰρ

κα-

καθαιρέσεως τὰ ταμιεῖα τῆς ἀδικίας. Κατάσκαπτε ταῖς ἑαυτοῦ χερσὶν, ἃ κακῶς ᾠκοδόμησας. Λύε τὰ σιτοδοχεῖα, ὅθεν οὐδεὶς ἀπῆλθέ ποτε παραμυθίας τυχών. Ἀφάνισον πάντα οἶκον πλεονεξίας φύλακα, ἀποσκλάτον ὀρόφας, περίελε τοίχας, δεῖξον Ἡλίῳ τὸν ἀρωτιῶντα σῖτον, ἐξάγαγε ἐκ φυλακῆς τὸν δέσμιον πλοῦτον, θεράμβευσον τὰ σκυτεινὰ τῶ Μαμωνᾶ καταγώγια. Καθελῶ μου τὰς ἀποθήκας· καὶ μείζονας οἰκοδομήσω. Ἐὰν δὲ καὶ ταύτας ἐμπλήσῃς, τίποτε ἄρα διανοηθήσῃ; ἢ που πάλιν καθαιρήσεις καὶ πάλιν οἰκοδομήσεις; καὶ τί τούτων ἀνοητότερον; ἀπέραντα μοχθεῖν, οἰκοδομεῖν μὴ παυδῆς, καὶ μὴ παυδῆς καθαιρεῖν; Ἔχεις ἀποθήκας, ἐὰν θέλῃς, τὰς οἰκίας τῶν πενήτων. Θησαύρισον σεαυτῷ θυσαυρὸν ἐν Οὐρανῷ. Τὰ ἐκεῖ ἀποτιθέμενα, ἃ σῆτες καταβόσκονται, ἃ σὴπεδὼν ἐπινέμεται, ἃ λῃσαὶ διακλέπτουσιν. Ἀλλὰ τότε μεταδώσω τοῖς δεομένοις, ὅταν τὰς δευτέρας ἀποθήκας πληρώσω. Μακρὰς σεαυτῷ τὰς χρόνας τῆς ζωῆς ἔπηξας. Σκόπει μήσε φρολάβῃ ὁ κατὰ φροθεσμίαν ἐπείγων· καὶ γὰρ ἡ ἐπαγγελία, ἃ χρησότητός ἐστιν, ἀλλὰ πορνείας ἐπίδειξις. Ἐπαγγέλλῃ γὰρ, οὐχ ἵνα δῷς μετὰ ταῦτα, ἀλλ' ἵνα τὸ παρὸν διαρρύσῃ· Ἐπεὶ νῦν τί τὸ κωλύων φρὸς τὴν μετάδοσιν; ἃ πάρεσιν ὁ ἐνδεής; οὐχὶ πλήρεις αἱ ἀποθῆκαι; οὐχ ὁ μισθὸς ἕτοιμος; οὐχ ἡ ἐντολὴ πλαυγής; Ὁ πεινῶν πήκεται· ὁ γυμνητεύων πήγνυται, ὁ ἀπαιτούμενος ἄγχεται, καὶ σὺ τὴν ἐλεημοσύνην εἰς τὴν αὔριον ἀναβάλλῃ; Ἄκουε Σολομῶντος· μὴ εἴπῃς, ἐπανελθὼν ἐπαύπκε, καὶ αὔριον δώσω· ἃ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Οἵων παραγγελμάτων ὑπερορᾶς, τῇ φιλαργυρίᾳ τὰ ὦτα φροαποβύσας; Πόσην ἔδει σε χάριν ἔχειν τῷ δεργέτῃ, καὶ φαιδρὸς εἶναι, καὶ λαμφρύνεσθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διοχλεῖς θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι. Νυνὶ δὲ καπφὴς εἶ καὶ δυσκίνητος, ἐκκλίνων τὰς ἀπαντήσεις, μήπω τί καὶ μικρὸν ἀναγκαθῇς τῇ χειρῶν ἐκβαλεῖν. Μίαν οἶδας

φω-

φωνεῖ· οὐκ ἔχω· οὐδὲ δώσω, πενής γάρ εἰμι. Πενής τῷ ὄντι, καὶ ἐνδεὴς παντὸς ἀγαθοῦ. Πενής ἀγάπης, πενής φιλανθρωπίας, πενής πίστεως τῆς εἰς Θεὸν, πενής ἐλπίδος αἰωνίου. Συμμερισὰς ποίησον τῷ σίτων τοὺς ἀδελφούς. Τὸ αὔριον σπεύδοντα σήμερον μετάδος τῷ δεομένῳ. Πλεονεξίας εἶδος τὸ χαλεπώτατον, μηδὲ τῷ φθειρομένων τοῖς ἐνδεέσι καταμερίσαι. Τίνα, φησὶν, ἀδικῶ, σωρεύων τὰ ἑαυτοῦ; ποῖα, εἰπέ μοι, σαυτῷ; πόθεν λαβὼν εἰς τὸν βίον εἰσήνεγκας· ὥσπερ ἂν εἴ τις ἐν θεάτρῳ θέαν καταλαβὼν, εἶτα ἀφείργοι τοὺς ἐπεισιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κεῖσθαι προκείμενον· τοιοῦτοί εἰσι καὶ οἱ πλούσιοι, τὰ μὲν κοινὰ προκαταλαμβάνοντες, ἰδιοποιοῦνται διὰ τὴν προλῆψιν· ἐπὶ δὲ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτῶν χρείας ἕκαστος νομιζόμενος, τὸ περιττὸν ὠφέλει τῷ δεομένῳ, ὑδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ ἐνδεής. Οὐχὶ γυμνὸς ἀφέπεσες τῆς μαστρός; ὁ γυμνὸς πάλιν εἰς τίνα γλῶ ὑποδρέψεις; τὰ δὲ παρόντα σοι πόθεν; Εἰ μὲν ἀπὸ ταὐτομάτου λέγεις, ἄθεος εἶ, μὴ γνωρίζων τὸν κτίσαντα, μηδὲ χάριν ἔχων τῷ δεδωκότι. Εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ Θεοῦ, εἰπὲ τὸν λόγον ἡμῖν δι' ὃν ἔλαβες; μὴ ἄδικος ὁ Θεὸς, ὁ ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; διὰ τί σὺ μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; ἢ πάντως, ἵνα κἀ σὺ χρησότητος καὶ πίστης οἰκονομίας μισθὸν ὑποδέξῃ, κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῇ. Σὺ δὲ πάντα τοῖς ἀπλήρωτοις τῆς πλεονεξίας κόλποις περιλαμβάνων, οὐδενὰ οἴει ἀδικεῖν, τοσούτους ἀποστερῶν; Τίς ἐστιν ὁ πλεονέκτης, ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ· τίς δέ ἐστιν ὁ ἀποστερητὴς; ὁ ἀφαιρούμενος τὰ ἑκάστου. Σὺ δὲ οὐ πλεονεκτεῖς; σὺ δὲ οὐκ ἀποστερητὴς, ἃ πρὸς οἰκονομίαν ἐδέξω, ταῦτα ἴδια σεαυτῷ ποιούμενος; ἢ ὁ μὲν ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθήσεται· ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινὸς ἐστιν προσηγορίας ἄξιος; τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυ-

γυμνητεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις· τὸν ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται· τὸν πεινῶντος τὸ ἀργύριον, ὃ κατορύξας ἔχεις· ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο. Καλοὶ μέν, φησιν, οἱ λόγοι, ἀλλὰ καλλίων ὁ χρυσός· ὥσπερ οἱ τοῖς ἀκολάστοις περὶ σωφροσύνης διαλεγόμενοι· καὶ γὰρ ἐκεῖνοι διαβαλλομένης τῆς ἑταίρας, ἀπὸ τῆς ὑπομνήσεως πρὸς τὰς ἐπιθυμίας ἐκκαίονται. Πῶς σοι ὑπ' ὄψιν τὰ πάθη τοῦ πένητος ἀγάγω, ἵνα γνῶς ἀπὸ ποταπῶν σκυβάλων σεαυτῷ θησαυρίζεις; Ὦ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὸ ῥῆμα ἐκεῖνο· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἦμην, καὶ περιεβάλετέ με. Ποταπὴ δέ σοι φρίκη, καὶ ἰδρὼς, καὶ σκότος περιχυθήσεται, ἀκούοντι τῆς καταδίκης· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς ἦμην, καὶ οὐ περιεβάλετέ με· οὐδὲ γὰρ ἐκεῖ ὁ ἅρπαξ ἐγκαλεῖται, ἀλλ' ὁ ἀκοινώνητος καταδικάζεται. Ἐγὼ μὲν εἶπον, ἃ συμφέρειν ἐνόμιζον· σοὶ δὲ πειθομένῳ μὲν, προδήλα τὰ ἐν ἐπαγγελίαις ἀποκείμενα ἀγαθά· παρακούσαντι δὲ, γεγραμμένη ἐστὶν ἡ ἀπειλὴ, ἧς εὔχομαί σε τοῦ πῦρ διαφυγεῖν, βελτίονα γνώμην μεταλαβόντα, ἵνα λύπην σοι γένηται ὁ ἴδιος πλοῦτος, καὶ ἐφ' ἕτοιμα βαδίσῃς τὰ ὑράνια ἀγαθά, χάριτι τοῦ πάντας ἡμᾶς καλέσαντος εἰς τὴν ἑαυτοῦ Βασιλείαν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙ-

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ, ΠΡΟΣΕΧΕ ΣΕΑΥΤΩ.

Τὸ λόγε τὸ χρῆσιν δέδωκεν ἡμῖν ὁ κτίσας ἡμᾶς Θεὸς, ἵνα τὰς βελὰς τῶν καρδιῶν ἀλλήλοις ἀποκαλύπτωμεν, καὶ διὰ τὸ κοινωνικὸν τῆς φύσεως, ἕκαστος τῷ πλησίον μεταδιδῶμεν, ὥσπερ ἔκ τινων ταμιείων, τῶν τῆς καρδίας κρυπτῶν, προφέροντες τὰ βελήματα. Εἰ μὲν γὰρ γυμνῇ τῇ ψυχῇ διεζῶμεν, δῆθεν ἂν ἀπὸ τῶν νοημάτων ἀλλήλοις συνεγινόμεθα· ἐπειδὴ δὲ ὑπὸ παραπετάσματι τῇ σαρκὶ καλυπτομένῃ ἡμῶν ἡ ψυχὴ τὰς ἐννοίας ἐργάζεται, ῥημάτων δεῖναι καὶ ὀνομάτων πρὸς τὸ δημοσιεύειν τὰ ἐν τῷ βάθει κείμενα. Ἐπειδὰν ἔν ποτε λάβηται φωνῆς σημαντικῆς ἡ ἔννοια ἡμῶν, ὥσπερ πορθμείῳ τινὶ τῷ λόγῳ ἐποχουμένη, διαπερῶσα τὸν ἀέρα, ἐκ τῆ φθεγγομένε μεταβαίνει πρὸς τὸν ἀκέοντα. Κἂν μὲν εὕρῃ γαλήνιον βαθεῖαν καὶ ἡσυχίαν, ὡς περ λιμέσιν δηθίοις καὶ ἀχειμάτοις ταῖς ἀκοαῖς τῶν μανθανόντων ὁ λόγος ἐγκαθορμίζεται· ἐὰν δὲ οἷον ζάλης τις ξαχεῖα ὁ παρὰ τῶν ἀκεόντων θόρυβος ἀντιπλεύσῃ, ἐν μέσῳ τῷ ἀσεῖ διαλυθεὶς ἐναυάγησε. Ποιήσατε τοίνυν γαλήνιον τῷ λόγῳ διὰ τῆς σιωπῆς· ἴσως γὰρ αὖτι φανεὶν χρήσιμον ἔχων τῶν ἀγωγίμων. Δυθήρατός ἐσιν ὁ τῆς ἀληθείας λόγος, ῥᾳδίως δυνάμενος ἐκφεύγειν τὰς μὴ προσέχοντας, οὕτω τε πνεύματος οἰκονομήσαντος σωφεσπαλμένον αὐτὸν εἶναι καὶ βραχυν, ὥς τε πολλὰ ἐν ὀλίγοις δηλῶν, καὶ διὰ σωτομίαν εὔκολον τῇ μνήμῃ προσκατέχεσθαι. Καὶ γὰρ φύσει ἀρετὴ λόγε, μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον εἰκῇ τοῖς πράγματι περιῤῥέοντα. Ὁποῖος οὖν δή ἐστι καὶ ὁ ἀρτίως ἡμῖν ἐκ τῶν Μωϋσέως βίβλων ἀνεγνωσμένος λόγος, οὗ μέμνησθε πάντως οἵ γε φιλόπονοι, πλὴν εἰ μήτω

διὰ βραχύτητα παρέδραμον ὑμῶν τὰς ἀκοάς. Ἔχει δὲ ἡ λέξις ὕπω· πρόσεχε σεαυτῷ, μή ποτε γένηται ῥῆμα πονηρὸν ἐν τῇ καρδίᾳ σου ἀόμμα. Εὐκολοι ἐσμεν πρὸς τὰς κατὰ διάνοιαν ἁμαρτίας οἱ ἄνθρωποι· διόπερ ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν, εἰδὼς ὅτι τὸ πλεῖστον τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κατὰ πρόθεσιν, τὴν ἐν τῷ ἡγεμονικῷ καθαρότητα πρώτιστον ἡμῖν διεπίστατο· ᾧ δὲ μάλιστα προχείρως ἐξαμαρτάνομεν, τοῦτο πλείονος φυλακῆς καὶ ἐπιμελείας ἠξίωσεν. Ὥσπερ γὰρ τῶν σωμάτων τὰ ἀσθενέστερα οἱ προμηθέστεροι τῶν ἰατρῶν ταῖς προφυλακτικαῖς ὑποθήκαις πόρρωθεν ἀσφαλίζονται, ὅπως ὁ κοινὸς κηδεμὼν καὶ ἀληθινὸς τῶν ψυχῶν ἰατρὸς, ὃ μάλιστα ἡμῶν οἶδε πρὸς ἁμαρτίαν ὀλισθηρότερον, τοῦτο ἰσχυροτέραις προκατελάβετο φυλακαῖς· αἱ μὲν δὴ διὰ τοῦ σώματος πράξεις καὶ χρόνου δέονται, καὶ δικαιοσύνης, καὶ πραγμάτων, καὶ συνεργῶν, καὶ τῆς λοιπῆς χορηγίας· αἱ δὲ τῆς διανοίας κινήσεις ἀχρόνως ἐνεργοῦνται, ἀπόπτως ἐπιτελοῦνται, ἀπραγματευτῶς συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. Καίπερ τοίνυν τῶν σοβαρῶν καὶ καταφρονούντων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἐξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἀπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον ἐν τῷ ἀφανεῖ τῆς καρδίας κινήματι· εἶδε τῇ φαντασίᾳ τὰ σκιαζόμενα, ἀνετυπώσατό τινα ὁμιλίαν ἐκ διαφερῆ, καὶ ὅλως ἐν τῷ κρυφίῳ τῆς καρδίας ἐργαστηρίῳ, ἐναργῆ ἐν ἑαυτῷ τοῦ ἡδονοῦ ζωγραφήσας, ἀμάρτυρον ἔσω τοῦ ἁμαρτίαν εἰργάσατο, ἄγνωστον πᾶσιν, ἕως ἂν ἔλθῃ ὁ ἀποκαλύπτων τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν. Φύλαξαι οὖν μή ποτε γένηται ῥῆμα πονηρὸν ἐν τῇ καρδίᾳ σου ἀόμμα. Ὁ δὲ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτῆς. Διότι, αἱ μὲν τοῦ σώματος πράξεις ὑπὸ πολλῶν διακόπτονται, ὁ δὲ κατὰ πρόθε-

σιν

ὅτι ἁμαρτάνω, τῷ τάχει τῶν νοημάτων συναπαρτιζο-
μένην ἔχει τὴν ἁμαρτίαν. Ὅπου ἐν ὀξὺ τὸ παράπτω-
μα, ταχεῖα δέδοται ἡμῖν ἡ φυλακή. Διαμαρτύρεται
δὲ, μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου
ἀνόμημα· μᾶλλον δὲ ἐπ' αὐτῷ τοῦ λόγου τῷ ἀρχῷ
ἀναδράμωμεν. Πρόσεχε, φησὶ, σεαυτῷ· τῶν ζώων ἕ-
καστον παρὰ τὰ τὰ πάντα συνισαμένου Θεοῦ, οἰκοθεν
ἔχει τὰς ὁρμὰς πρὸς τὴν φυλακὴν τῆς οἰκείας συ-
στάσεως· ἂν εὕροις αὖ, εἰ καταμάθοις ἐπιμελῶς, τῶν
ἀλόγων τὰ πλεῖστα ἀδίδακτον ἔχοντα τὴν πρὸς τὸ
βλάπτον διαβολὴν, καὶ φυσικήν τινι πάλιν ὁλκὴν, πρὸς
τὴν τῶν ὠφελούντων ἀπόλαυσιν ἐπειγόμενα. Διὸ καὶ
ἡμῖν ὁ παιδεύων ἡμᾶς Θεὸς τὸ μέγα τοῦτο παράγγελ-
μα δέδωκεν, ἵνα ὅπερ ἐκείνοις ἐκ φύσεως, τοῦτο ἡμῖν
ἐκ τῆς τοῦ λόγου βοηθείας προσγένηται· καὶ ὅπερ κα-
πρῶται τοῖς ἀλόγοις ἀνεπιστάτως, τοῦτο παρ' ἡμῶν
ἐπιτελῆται διὰ τῆς προσοχῆς καὶ τῆς συνεχοῦς τῶν λό-
γων ἐπισάσεως· καὶ φύλακες ὦμεν ἀκριβεῖς τῶν παρὰ
Θεοῦ δεδομένων ἡμῖν ἀφορμῶν, φεύγοντες μὲν τὴν ἁ-
μαρτίαν, ὥσπερ τὰ ἄλογα φεύγει τῶν βρωμάτων τὰ
δηλητήρια, διώκοντες δὲ τὴν δικαιοσύνην, ὥσπερ κἀκεῖ-
να διώκει τῆς πόας τὸ ξόφιμον. Πρόσεχε οὖν σεαυτῷ,
ἵνα δυνατὸς ᾖς διακρίνειν τὸ βλάπτον ἀπὸ τοῦ σώζοντος.

Ἐπειδὴ δὲ διπλοῦν τὸ προσέχειν, τὸ μὲν, σωματι-
κοῖς ὀφθαλμοῖς ἐνατενίζειν τοῖς ὁρατοῖς, τὸ δὲ, τῇ
νοερᾷ τῆς ψυχῆς δυνάμει ἐπιβάλλειν τῇ θεωρίᾳ τῶν
ἀσωμάτων, καὶ μὲν ἐπὶ τῆς τῶν ὀφθαλμῶν ἐνεργείας
κεῖσθαι εἴπωμεν τὸ παράγγελμα, δι' ὧν αὐτοῦ τὸ ἀ-
δυνατον ἀπελέγξομεν. Πῶς γὰρ ἄν τις ὅλον ἑαυτὸν τῷ
ὀφθαλμῷ καταλάβοι; οὐδὲ γὰρ αὐτὸς ἐφ' ἑαυτὸν ὁ ὀφ-
θαλμὸς κέχρηται τῷ ὁρᾶν, ὃ κορυφῆς ἐφικνεῖται, οὐ
τὰ νῶτα οἶδεν, ὃ πρόσωπα, ὃ τῷ ἐν τῷ βάθει τῶν
σπλάγχνων διάθεσιν· ἀσεβὲς οὖν τὸ λέγειν ἀδυνά-
τα εἶναι τὰ τοῦ πνεύματος παραγγέλματα. Λείπεται
δὴ ἐπὶ τῆς κατὰ νοῦν ἐνεργείας τοῦ προσάγματος ἐξα-

κούειν. Πρόσεχε σαυτῷ· τοῦτ' ἔστι, παντοχόθεν σεαυτὸν περισκόπει· ἀκοίμητον ἔχε πρὸς τοὺς σεαυτῶ φυλακτὼ τὸ τῆς ψυχῆς ὄμμα. Ἐν μέσῳ παγίδων διαβαίνεις· κεκρυμμένοι βρόχοι παρὰ τοῦ ἐχθροῦ πολλαχόθεν καταπεπήγασι. Πάντα οὖν περισκόπει, ἵνα σώζῃ, ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. Ἡ μὲν γὰρ δορκὰς ἀπάλωτός ἐστι τοῖς βρόχοις διὰ ὀξύτητα τῆς ὁράσεως· ὅθεν καὶ ἐπώνυμός ἐστι τῆς οἰκείας ὀξυδερκίας· τὸ δὲ ὄρνεον κέφῳ τῷ πτερῷ ὑψηλότερον τῆς ἐπιβουλῆς τῶν ἀγρευόντων, ὅταν προσέχῃ, γίνεται. Ὅρα οὖν μὴ χείρων φανῇς τῶν ἀλόγων πρὸς τὴν σεαυτοῦ φυλακήν, μή ποτε ταῖς παγίσιν ἁλῷς, θήραμα γενόμενος τῷ διαβόλῳ, ἐζωγρημένος ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. Πρόσεχε οὖν σεαυτῷ· τοῦτ' ἔστι, μήτε τοῖς σοῖς, μήτε τοῖς περὶ σὲ, ἀλλὰ σεαυτῷ μόνῳ πρόσεχε· ἄλλο γάρ ἐσμεν ἡμεῖς αὐτοὶ, καὶ ἄλλο τὰ ἡμέτερα, καὶ ἄλλο τὰ περὶ ἡμᾶς. Ἡμεῖς μὲν οὖν ἐσμεν ἡ ψυχὴ καὶ ὁ νοῦς, καθὸ κατ' εἰκόνα τοῦ κτίσαντος γεγενήμεθα. Ἡμέτερον δὲ τὸ σῶμα, καὶ αἱ δι' αὐτοῦ αἰσθήσεις· περὶ ἡμᾶς δὲ χρήματα, τέχναι, καὶ ἡ λοιπὴ τοῦ βίου κατασκευή. Τί οὖν φησιν ὁ λόγος; μὴ τῇ σαρκὶ πρόσεχε, μηδὲ τὸ παύτης ἀγαθὸν ἐκ παντὸς ζόφου δίωκε, ὑγείαν, καὶ κάλλος, καὶ ἡδονῶν ἀπολαύσεις, καὶ μακροβίωσιν· μηδὲ χρήματα, καὶ δόξαν, καὶ δυναστείαν θαύμαζε, μηδὲ ὅσα σοι τῆς προσκαίρου ζωῆς τὴν ὑπηρεσίαν πλήροι, ταῦτα μεγάλα νομίσας, τῇ περὶ ταῦτα σπουδῇ τῆς προκειμένης σεαυτοῦ ζωῆς καταμέλει, ἀλλὰ πρόσεχε σεαυτῷ, τοῦτ' ἔστι, τῇ ψυχῇ σου· ταύτῃ κατακόσμει, καὶ ταύτης ἐπιμελοῦ, ὡς τε πάντα μὲν τὸν ἐκ τῆς πονηρίας ἐπιγινόμενον αὐτῇ ῥύπον ἀποκονομεῖσθαι διὰ τῆς προσοχῆς, πᾶν δὲ τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθαίρεσθαι, παντὶ δὲ τῷ ἐξ ἀρετῆς κάλλει κατακοσμεῖν αὐτὴν καὶ φαιδρύνειν. Ἐξέτασον σεαυτὸν τίς εἶ. Γνῶθι σαυτοῦ τὴν φύσιν· ὅτι θνητὸν μέν σου τὸ σῶμα, ἀθάνατος

νατος δὲ ἡ ψυχή· καὶ ὅτι διπλῆ τις ἐστὶν ἡμῶν ἡ ζωή. Ἡ μὲν οἰκεία τῇ σαρκὶ, ταχὺ παρερχομένη· ἡ δὲ συγγενὴς τῇ ψυχῇ, μὴ δεχομένη περιγραφήν. Πρόσεχε οὖν σεαυτῷ, μήτε τοῖς θνητοῖς ὡς ἀϊδίοις ἐναπομένης, μήτε τῷ ἀϊδίων ὡς παρερχομένων καταφρονήσης. Ὑπερόρα σαρκὸς, παρέρχεται γάρ· ἐπιμελοῦ ψυχῆς, φράγματος ἀθανάτου. Ἐπίσηθι μετὰ πάσης ἀκριβείας σεαυτῷ, ἵνα εἰδῇς διανέμειν ἑκατέρῳ τὸ φρόσφορον. Σαρκὶ μὲν διατροφὰς καὶ σκεπάσματα, ψυχῇ δὲ δόγματα εὐσεβείας, ἀγωγὴν ἀστείαν, ἀρετῆς ἄσκησιν, παθῶν ἐπανόρθωσιν. Μήτε ὑπερπαίνειν τὸ σῶμα, μήτε περὶ τὸν ὄγκον τῶν σαρκῶν ἐσπουδακέναι· ἐπειδὴ γὰρ ἐπιθυμεῖ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, ταῦτα δὲ ἀλλήλοις ἀντίκειται, ὅρα μή ποτε προσθέμενος τῇ σαρκὶ, πολλὰ παράσχῃς τὴν δυνασείαν τῷ χείρονι. Ὥσπερ γὰρ ἐν ταῖς ῥοπαῖς τῶν ζυγῶν, ἐὰν μίαν καταβαρυνῇς πλάσιγγα, κυφοτέραν πάντως τὴν ἀντικειμένην ποιήσεις, οὕτω καὶ ἐπὶ σώματος καὶ ψυχῆς, ὁ τοῦ ἑτέρου πλεονασμὸς, ἀναγκαίαν ποιεῖ τὴν ἐλάττωσιν τοῦ ἑτέρου. Σώματος μὲν γὰρ ὑπαθοῦντος καὶ πολυσαρκίᾳ βαρυνομένου, ἀνάγκη ἀδρανῆ καὶ ἄπονον εἶναι πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν· ψυχῆς δὲ ἐκτάσεις καὶ διὰ τῆς τῶν ἀγαθῶν μελέτης πρὸς τὸ οἰκεῖον μέγεθος ὑψουμένης, ἐπόμενόν ἐστι τὴν τοῦ σώματος ἕξιν καταμαραίνεσθαι. Τὸ αὐτὸ δὲ τοῦτο παράγγελμα, καὶ ἀσθενοῦσι χρήσιμον, καὶ ἐῤῥωμένοις ἁρμοδιώτατον· ἐν μέν γε ταῖς ἀσθενείαις, οἱ ἰατροὶ τοῖς κάμνουσι παρεγγυῶσι προσέχειν αὐτοὺς ἑαυτοῖς, καὶ μηδενὸς τῶν εἰς θεραπείαν ἡκόντων καταμελεῖν. Ὁμοίως δὲ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν ὁ λόγος, τὴν ὑπὸ τῆς ἁμαρτίας κεκακωμένην ψυχὴν, διὰ τοῦ μικροῦ τούτου βοηθήματος ὠφελεῖται.

Πρόσεχε οὖν σεαυτῷ, ἵνα κατὰ ἀναλογίαν τοῦ πλημμελήματος καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν κα-

παδέξη. Μέγα ἐν χαλεπὸν τὸ ἁμάρτημα; πολλῆς σοι χρεία τῆς ἐξομολογήσεως, δακρύων πικρῶν, σωτόνης τῆς ἀχρυπνίας, ἀδιαλείπτου νηστείας. Κύφον καὶ φορητὸν τὸ παράπτωμα; ἐξισαζέσθω καὶ ἡ μετάνοια· μόνον πρόσεχε σεαυτῷ, ἵνα γνωρίζῃς ψυχῆς δίρωσίαν καὶ νόσον. Πολλοὶ γὰρ ἀπὸ τῆς ἄγαν ἀπροσεξίας, μεγάλα καὶ ἀνίατα νοσοιῦντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι νοσοῦσι. Μέγα δὲ τὸ ἐκ τῆς παραγγέλματος ὄφελος καὶ τοῖς ἐρρωμενοις περὶ τὰς φράξεις, ὥς τε αὐτὸ τοῦτο καὶ νοσοῦντας ἰᾶται, καὶ ὑγιαίνοντας τελειοῖ. Ἕκασος γὰρ ἡμῶν τῷ μαθητευομένῳ τῷ λόγῳ μιᾶς τινος φράξεώς ἐστιν ὑπηρέτης, τῷ κατὰ τὸ Εὐαγγέλιον διατεταγμένων ἡμῖν. Ἐν δὲ τῇ μεγάλῃ οἰκίᾳ τῇ Ἐκκλησίᾳ ταύτῃ, οὐ μόνον σκεύη ἐστὶ παντοδαπὰ χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, ἀλλα καὶ τέχναι παντοίαι. Ἔχει γὰρ ὁ οἶκος τοῦ Θεοῦ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, θηρευτὰς, ὁδοιπόρους, ἀρχιτέκτονας, οἰκοδόμους, γεωργοὺς, ποιμένας, ἀθλητὰς, στρατιώτας. Πᾶσι τούτοις ἐφαρμόσει τὸ βραχὺ τοῦτο ῥῆμα, ἑκάστῳ καὶ ἀκείβειαν τοῦ ἔργου καὶ σκοπὸν τῆς προαιρέσεως ἐμποιῶν. Θηρευτὴς εἶ ἁπλησαλμενος ὑπὸ τοῦ Κυρίου τοῦ εἰπόντος· ἰδοὺ ἐγὼ ἀποστέλλω πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους; πρόσεχε ἐν ἐπιμελῶς μήπως σε διαφύγῃ τὸ θήραμα, ἵνα συλλαβόμενος τῷ λόγῳ τῆς ἀληθείας τοὺς ὑπὸ τῆς κακίας ἀγριωθέντας, προσαγάγῃς τῷ σώζοντι. Ὁδοιπόρος εἶ, ὅμοιος τῷ διέρχομένῳ, τὰ διαβήματά μου κατεύθυνον; πρόσεχε σεαυτῷ, μὴ παρατραπῇς τῆς ὁδοῦ, μὴ ἐκκλίνῃς δεξιᾶ, ἢ ἀριστερᾶ· ὁδῷ βασιλικῇ πορεύου. Ὁ ἀρχιτέκτων ἀσφαλῶς τὸν θεμέλιον καταβαλλέσθω τῆς πίστεως, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. Ὁ οἰκοδόμος βλεπέτω πῶς ἐποικοδομεῖ, μὴ ξύλα, μὴ χόρτον, μὴ καλάμην, ἀλλὰ χρυσίον, ἀργύριον, λίθους τιμίους. Ὁ ποιμὴν, πρόσεχε, μήτι παρέλθῃ τῷ ἐπιβαλλόντων τῇ ποιμαντικῇ. Ταῦτα δέ εἰσι

ποῖα;

ποια; τὸ πεπλανημένον ἐπίστρεφε, τὸ συντετριμμένον ἐπίδησον, τὸ νοσοῦν ἴασαι. Ὁ γεωργὸς, περίσκαπτε τὴν ἄκαρπον συκῆν, καὶ ἐπίβαλλε τὰ πρὸς βοήθειαν τῆς καρποφορίας. Ὁ στρατιώτης, συγκακοπάθησον τῷ Εὐαγγελίῳ, στρατεύου τὴν καλὴν στρατείαν κατὰ παθημάτων τῆς πονηρίας, καὶ τῷ παθῶν τῆς σαρκὸς, ἀνάλαβε πᾶσαν τὴν πανοπλίαν τοῦ Θεοῦ, μὴ ἐμπλέκου ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃς. Ὁ ἀθλητὴς, πρόσεχε σεαυτῷ, μή πού τινα παραβῇς τῶν ἀθλητικῶν νόμων. Οὐδεὶς γὰρ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. μιμοῦ τὸν Παῦλον καὶ βέχοντα, καὶ παλαίοντα, καὶ πυκτεύοντα· καὶ αὐτὸς ὡς ἀγαθὸς πύκτης, ἀμετεώρειστον ἔχε τὸ τῆς ψυχῆς βλέμμα. Σκέπε τὰ καίρια τῇ προβολῇ τῶν χειρῶν· ἀτενὲς τὸ ὄμμα πρὸς τὸν ἀντίπαλον ἔσω· ἐν τοῖς δρόμοις τοῖς ἔμπροσθεν ἐπεκτείνου· ὅπου βέχει, ἵνα καταλάβῃς· ἐν τῇ πάλῃ τοῖς ἀοράτοις ἀνταγωνίζου. Τοιοῦτόν σε εἶναι διὰ βίου ὁ λόγος βούλεται, μὴ ἀναπεπτωκότα, μηδὲ καθεύδοντα, ἀλλὰ νηφόντως καὶ ἐγρηγορότως ἑαυτὸν προεσπῶτα. Ἐπιλείψει με ἡ ἡμέρα διηγούμενον τά τε ἐπιτηδεύματα τῶν συνεργούντων εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ τὴν δυνάμιν τοῦ προστάγματος, ὅπως διαρμόσπως ἔχει πρὸς ἅπαντας. Πρόσεχε σεαυτῷ· νηφάλιος ἔσο· βαλβιτικός· τῶν παρόντων φύλαξ· προνοητικὸς τοῦ μέλλοντος· μὴ τὸ μὲν ἤδη παρὸν διὰ ῥᾳθυμίας προΐεσο· τῷ δὲ μήπω ὄντων, μήτε ἐσομένων τυχὸν, ὡς ἐν χερσὶν ὄντων, τὴν ἀπόλαυσιν ὑποτίθεσο. Ἢ οὐχὶ φύσει ὑπάρχει τὸ ἀῤῥώστημα τοῦτο τοῖς νέοις, κουφότητι γνώμης ἔχειν ἤδη νομίζειν τὰ ἐλπιζόμενα; ὅταν γάρ ποτε ἠρεμίας λάβωνται, ἢ ἡσυχίας νυκτερινῆς, ἀναπλάττουσιν ἑαυτοῖς φαντασίας ἀνυποστάτους, τῇ δυσκολίᾳ τῆς διανοίας ἐπὶ πάντα φερόμενοι· ὑποτιθέμενοι περιφανείας βίου, γάμους λαμπρὰς, παιδίαν, γήρας βαθὺ, τὰς παρὰ πάντων τιμάς. Εἶτα μηδα-

μὲ στιλῶαι τῇ ἐλπίδων διωάμενοι, πρὸς τὰ μέγιστα τῇ ἐν ἀνθρώποις ὑπερφυσῶνται· οἴκους κτῶνται καλοὺς καὶ μεγάλους, πληρώσαντες τούτους παντοδαπῶν κειμηλίων, γλιῶ περιβάλλονται, ὅσῳ αὖ αὐτοῖς ἡ ματαιότης τῶν λογισμῶν τῆς ὅλης κτίσεως ἀποτέμνεται. Πάλιν τὰς ἐντεῦθεν διόδους ταῖς τῆς ματαιότητος ἀποθήκαις ἐναποκλείουσι. Προστιθέασι τούτοις βοσκήματα, οἰκετῶν πλῆθος ἀριθμὸν ὑπερβαῖνον, ἀρχὰς πολιτικὰς, ἡγεμονείας ἐθνῶν, στρατηγίας, πολέμους, ξόπαια, βασιλείαν αὐτήν. Πάντα ταῦτα τοῖς διακαίνοις τῆς διανοίας ἀναπλασμοῖς ἐπελθόντες, ὑπὸ τῆς ἄγαν ἀνοίας ἀπολαύειν δοκοῦσι τῶν ἐλπιζομένων, ὡς ἤδη παρόντων καὶ ἐν ποσὶ κειμένων αὐτοῖς. Ἴδιον ἀῤῥώστημα τοῦτο ἀργῆς καὶ ῥᾳθύμου ψυχῆς, ἐνύπνια βλέπειν ἐγρηγορότος τὰ σώματος.

Ταύτῃ τοίνυν τῇ χαυνότητι τῆς διανοίας, καὶ τῇ φλεγμονῇ τῶν λογισμῶν καταπιέζων ὁ λόγος, καὶ οἶνον χαλινῷ τινι ἀνακρεῶν τῆς διανοίας τὸ ἄστατον, παραγγέλλει τὸ μέγα τοῦτο καὶ σοφὸν παράγγελμα, σεαυτῷ, φησι, πρόσεχε, μὴ ὑποτιθέμενος τὰ ἀνύπαρκτα, ἀλλὰ τὰ παρόντα πρὸς τὸ συμφέρον διατιθέμενος. Οἶμαι δὲ κἀκεῖνο τὸ πάθος ἐξαιροῦντα τῆς συνηθείας, ταύτῃ χρήσασθαι τῇ παραινέσει τὸν Νομοθέτην. Ἐπειδὴ ῥᾴον ἑκάστῳ ἡμῶν πολυπραγμονεῖν τὰ ἀλλότρια, ἢ τὰ οἰκεῖα ἑαυτῷ διασκέπτεσθαι, ἵνα μὴ τοῦτο πάσχωμεν, παῦσαί, φησι, τὰ τῷ δεῖνος κακὰ περιεργαζόμενος. Μὴ δίδε σχολὴν τοῖς λογισμοῖς τὸ ἀλλότριον ἐξετάζειν ἀῤῥώστημα· ἀλλὰ σαυτῷ πρόσεχε· τοῦτ' ἔστιν, ἐπὶ τὴν οἰκείαν ἔρχεσθαι στρέφε σε τὸ ὄμμα τῆς ψυχῆς. Πολλοὶ γὰρ καὶ τὸν λόγον τοῦ Κυρίου, τὸ μὲν κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κατανοοῦσι, τὴν δὲ ἐν τῷ οἰκείῳ ὀφθαλμῷ δοκὸν οὐκ ἐμβλέπουσι. Μὴ παύσῃ τοίνυν διερευνώμενος σεαυτὸν, εἴ σοι κατ' ἐντολὴν ὁ βίος πρόεισιν· ἀλλὰ μὴ τὰ ἔξω περισκόπει, εἴπου τινὸς μώμου ἐξελ-

ρεῖν

ρεῖν δωυηθῇς, κατὰ τὸν Φαρισαῖον τὸν βαρυὺ ἐκεῖνον καὶ ἀλαζόνα· ὃς εἰστήκει ἑαυτὸν δικαιῶν, καὶ τὸν τελώνιον κατατελίζων· ἀλλὰ σεαυτὸν ἀνακείνων μὴ διαλίπῃς, μήτι κατὰ τὰς ἐνθυμήσεις ἥμαρτες, μήτι ἡ γλῶσσα παρώλισθε τῆς διανοίας προπηδαμοῦσα, μὴ ἐν τοῖς ἔργοις τῷ χειρῶν πέπρακταί τι τῷ ἀβουλήτων. Κἂν εὕρῃς ἐν τῷ βίῳ σεαυτοῦ πολλὰ τὰ ἁμαρτήματα, δίῤῥησεις δὲ πάντως ἄνθρωπος ὢν, λέγε τὰ τοῦ τελώνου· ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· Πρόσεχε ἂν σεαυτῷ. Τοῦτό σοι τὸ ῥῆμα, καὶ λαμπρῶν δι᾽ ἡμερῶν τί ποτε, καὶ παντὸς τοῦ βίου κατὰ ῥᾳθυμέναν, χρησίμως παραστήσεται, ὥσπερ τις ἀγαθὸς σύμβουλος ὑπόμνησιν φέρων τῷ ἀνθρωπίνων. Καὶ μήν τοι καὶ ὑπὸ περιστάσεων πιεζομένῳ, ἐν καιρῷ ἂν γένοιτο τῇ καρδίᾳ κατεπᾴδόμενον, ὡς μήτε τύφῳ τι πρὸς ἀλαζονείαν ὑπέρογκον ἁρπάσαι, μήτε ἀπογνώσει πρὸς ἀγανῆ δυθυμίαν καταπεσεῖν. Πλούτῳ κομᾷς; καὶ ἐπὶ προγόνοις μέγα φρονεῖς; καὶ ἐπαγάλλῃ πατρίδι καὶ κάλλει σώματος, καὶ ταῖς παρὰ πάντων τιμαῖς; πρόσεχε σεαυτῷ, ὅτι θνητὸς εἶ, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Περίβλεψε τὰς πρὸ σοῦ ἐν ταῖς ὁμοίαις περιφανείαις ἐξεπασθέντας. Ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι; ποῦ οἱ δυσμαχώτατοι ῥήτορες; πᾶ οἱ τὰς παναγύρεις διατιθέντες; οἱ λαμπροὶ ἱπποδρόφοι, οἱ στρατηγοὶ, οἱ σατράπαι, οἱ τύραννοι; οὐ πάντα κόνις, οὐ πάντα μῦθος; οὐκ ἐν ὀλίγοις ὀστέοις τὰ μνημόσυνα τῆς ζωῆς αὐτῶν; Ἔγκυψον ἐν τοῖς τάφοις, εἰ δυνήσῃ διακρῖναι τίς ὁ οἰκέτης, καὶ τίς ὁ δεσπότης; τίς ὁ πτωχὸς, καὶ τίς ὁ πλούσιος; διάκρινον, εἰ τίς σοι δυνάμις, τὸν δέσμιον ἀπὸ τοῦ Βασιλέως, τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν διαφέρειν ἀπὸ τοῦ δυσειδοῦς. Μεμνημένος οὖν τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ. Μεμνήσῃ δὲ σεαυτοῦ, ἐὰν προσέχῃς σεαυτῷ. Πάλιν, δυσγενής τις εἶ καὶ ἄδοξος; πτωχὸς ἐκ πτωχῶν; ἀνέστιος, ἄπολις, ἀ-

δε-

θεὸς, τῷ ἐφ' ἡμέραν ἐνδεής; τρέμων τοὺς ἐν δυνασείᾳ; πάντας ὑποπτήσσων διὰ ταπεινότητα βίου; πτωχὸν γάρ, φησιν, οὐχ ὑφίσταται ἀπειλῶ. Μὴ τοίνυν ἀπογνῷς σεαυτὸν, μηδ' ὅτι οὐδὲν ζηλωτὸν ἐν τῷ παρόντι σοι πρόσεστι, πᾶσαν ἀγαθὴν ἀπορρίψῃς ἐλπίδα· ἀλλ' ἀνάγαγε σεαυτὸν τῇ ψυχῇ πρός τε τὰ ἤδη ὑπηργμένα σοι παρὰ τοῦ Θεοῦ ἀγαθὰ, καὶ πρὸς τὰ δι' ἐπαγγελίας ὕστερον ἀποκείμενα. Πρῶτον μὲν οὖν, ἄνθρωπος εἶ, μόνον τῶν ζώων θεόπλαστον. Ἆρ' οὐκ ἐξαρκεῖ τοῦτο, σωφρόνως λογιζομένῳ, πρὸς μὲν θυμίαν τῇ ἀνωτάτω, τὸ, ὑπ' αὐτῆς τῆς χειρῶν τοῦ Θεοῦ τοῦ τὰ πάντα συνσαμένου διαπλασθῆναι; ἔπειθ' ὅτι καὶ κατ' εἰκόνα γενόμενος τοῦ κτίσαντός σε, δυνάσαι πρὸς τῇ τῶν Ἀγγέλων ὁμοτιμίαν διὰ ἀγαθῆς πολιτείας ἀναδραμεῖν. Ψυχὴν ἔλαβες νοεράν, δι' ἧς Θεὸν περινοεῖς· τῆς ὄντων τῇ φύσιν λογισμῷ καθοράς· σοφίας δρέπῃ καρπὸν ἥδιστον· πάντα μέν σοι τὰ χερσαῖα ζῶα, ἥμερά τε καὶ ἄγρια, πάντα δὲ τὰ ἐν ὕδασι διαπώμενα, καὶ ὅσα τὸν ἀέρα διαπέταται τόπον, δῶλά ἐστι καὶ ὑποχείρια. Οὐ σὺ μέν τοι τέχνας ἐξεῦρες, καὶ πόλεις συνεστήσω, καὶ ὅσα ἀναγκαῖα, καὶ ὅσα πρὸς τρυφὴν ἐπενόησας; οὐ βάσιμά σοι τὰ πελάγη διὰ τὸν λόγον; ἡ γῆ καὶ θάλαττα ὑπηρετεῖ τῷ βίῳ τῷ σῷ; ἦ οὐκ ἀὴρ καὶ Οὐρανὸς καὶ ἀστέρων χορεῖαι, σοὶ τῇ ἑαυτῆς ἐπιδείκνυνται τάξιν; Τί οὖν μικροψυχεῖς; ὅτι ἵππος σοι οὐκ ἔστιν ἀργυροχάλινος; ἀλλ' Ἥλιον ἔχεις ὀξυπόρῳ δρόμῳ διὰ πάσης ἡμέρας δαδουχοῦντά σοι τῇ λαμπάδα. Οὐκ ἔχεις ἀργύρου καὶ χρυσοῦ λαμπηδόνας; ἀλλὰ Σελήνῃ ἔχεις μυρίῳ σε τῷ παρ' αὐτῆς φωτὶ περιλάμπουσαν. Οὐκ ἐπιβέβηκας ἁρμάτων χρυσοκολλήτων; ἀλλὰ πόδας ἔχεις οἰκεῖον ὄχημα καὶ συμφυεῖς σεαυτῷ. Τί οὖν μακαρίζεις τοὺς τὸ ἀδρὸν βαλάντιον κεκτημένους, καὶ ἀλλοτρίων ποδῶν εἰς τὴν μεταβασιν δεομένους; Οὐ καθεύδεις ἐπὶ κλίνης ἐλεφαντίνης; ἀλλ' ἔχεις τῇ γῇ πολλῶν ἐλεφαντίνων

τίνων

τίνων τιμιωτέραν, καὶ γλυκεῖαν ἐπ' αὐτῆς τῇ ἀνάπαυσιν, ταχὺ τὸν ὕπνον, καὶ μεμίμνης ἀπηλλαγμένον. Οὐ κατάκεισαι ὑπὸ χρυσῆν ὄροφον; ἀλλ' Οὐρανὸν ἔχεις τοῖς ἀρρήτοις καὶ ἀστέρων κάλλεσι περιειλημμένον σε.

Ταῦτα μὲν δὴ τὰ ἀνθρώπινα, τὰ δ' ἔτι μείζω. Διὰ σὲ Θεὸς ἐν ἀνθρώποις, Πνεύματος Ἁγίου διανομή, θανάτου κατάλυσις, ἀναστάσεως ἐλπίς, θεῖα προστάγματα τελειοῦντά σου τῷ ζωῷ, πορεία πρὸς Θεὸν διὰ τῶν ἐντολῶν, βασιλεία τῶν Οὐρανῶν δίτρεπτος, στέφανοι δικαιοσύνης ἕτοιμοι, τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους μὴ ἀποδράντι. Ἐὰν προσέχῃς σεαυτῷ, πάντα καὶ ἔτι πλείω εὑρήσεις περὶ σεαυτόν· καὶ ἀπολαύσεις μὲν τῶν παρόντων, οὐ μικροψυχήσεις δὲ πρὸς τὸ ἐνδέον. Παντάχοθί σοι παρεσόμενον τὸ παράγγελμα, μεγάλην παρέξεται τῷ βοήθειαν. Οἷον, ὀργήσας κατεπράτησε τῶν λογισμῶν, ἢ ἐνέβρηξ ὑπὸ θυμοῦ πρός τε ῥήματα ἄφρονα καὶ πράξεις χαλεπὰς καὶ θηριώδεις; ἐὰν προσέχῃς σεαυτῷ, καταστελεῖς μὲν τὸν θυμὸν ὥσπερ τινα πῶλον ἀπειθῆ ἢ δυσλώτιον τῇ πληγῇ τοῦ λόγου οἱονεὶ μάστιγι καθαπτόμενος· κρατήσεις δὲ ἢ γλώσσης· τὰς δὲ χεῖρας οὐκ ἐπαφήσεις τῷ παροξυνάντι. Πάλιν, ἐπιθυμίαι πονηραὶ ἐξοισθῶσαί σου τῷ ψυχῷ, εἰς ὁρμὰς ἀκρατεῖς ἢ ἀκολάστους ἐμβάλλουσιν; ἐὰν οὖν προσέχῃς σεαυτῷ, καὶ μνησθῇς, ὅτι τοῦτο μέν σοι τὸ παρὸν ἡδὺ εἰς πικρὸν καταστήσει πέρας, καὶ ὁ νῦν ἐκ τῆς ἡδονῆς ἐγγινόμενος τῷ σώματι ἡμῶν γαργαλισμὸς, ἔτος γεννήσει τὸν ἰοβόλον σκώληκα ἀθάνατον κολάζοντα ἡμᾶς ἐν τῇ γεέννῃ, ἢ ἡ πύρωσις τῆς σαρκὸς μήτηρ γενήσεται τοῦ αἰωνίου πυρὸς, διὸ οἰχήσονται φυγαδευθεῖσαι αἱ ἡδοναὶ, καὶ θαυμασή τις εὐδοξ γαλήνη περὶ τῷ ψυχῷ καὶ ἡσυχία γενήσεται, οἷον θεραπαινίδων ἀκολάστων θορύβου κατασιγασθέντος δεσποίνης τινὸς σώφρονος παρουσίᾳ. Πρόσεχε τοίνυν σεαυτῷ, καὶ γνῶθι, ὅτι τὸ

μὲν

μὲν, λογικόν ἐστι καὶ νοερὸν τῆς ψυχῆς· τὸ δὲ, παθητικόν τε καὶ ἄλογον· καὶ τῷ μὲν, φύσει τὸ κρατεῖν ὑπάρχει· τῷ δὲ, τὸ ὑπακούειν τῷ λόγῳ καὶ παιδεύεσθαι. Μή ποτε οὖν ἐάσῃς ἐξανδραποδισθέντα τὸν νοῦν δοῦλον γενέσθαι τῶν παθῶν. Μὴ δ' αὖ πάλιν ἐπιβρέψῃς τοῖς πάθεσι κατεξανασῆναι τὸ λόγε, καὶ εἰς ἑαυτὰ τὸ κράτος τῆς ψυχῆς περισπάσαι. Ὅλως δέ σοι ἡ ἀκριβὴς σεαυτὸν κατανόησις αὐτάρκη παρέξει χειραγωγίαν καὶ πρὸς τὴν ἔννοιαν τὸ Θεοῦ. Ἐὰν γὰρ προσέχῃς σεαυτῷ, ὀδὸν δεήσῃ ἐκ τῆς τῶν ὅλων κατασκευῆς τὸν Δημιουργὸν ἐξιχνεύειν, ἀλλ' ἐν σεαυτῷ οἱονεὶ μικρῷ τινι κόσμῳ, τὴν μεγάλην κατόψει τὸ κτίσαντός σε σοφίαν. Ἀσώματον νόει Θεὸν ἐκ τῆς ἐνυπαρχούσης σοι ψυχῆς ἀσωμάτε· μὴ περιγραφόμενον ἐν τόπῳ, ἐπειδὴ οὐδὲ ὁ σὸς νοῦς προηγουμένως ἔχει τινὶ ἐν τόπῳ διατείνει, ἀλλὰ διὰ τῆς πρὸς τὸ σῶμα συναφείας, ἐν τόπῳ γίνεται. Ἀόρατον εἶναι τὸν Θεὸν πίστευε, τὴν σεαυτοῦ ψυχὴν ἐννοήσας. Ἐπειδὴ καὶ αὐτὴ σωματικοῖς ὀφθαλμοῖς ἄληπτός ἐστιν· ὅτε γὰρ κέχρωσται, ὅτε ἐσχημάτισται, ὅτε τινὶ σωματικῷ χαρακτῆρι περιείληπται, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γνωρίζεται μόνον· ὥστε μήτε ἐπὶ Θεοῦ ζητήσῃς τὴν δι' ὀφθαλμῶν κατανόησιν, ἀλλὰ τῇ διανοίᾳ ἐπιβρέψας τὴν πίστιν, νοητὴν ἔχε τὴν περὶ αὐτοῦ κατάληψιν. Θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψυχῆς σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν, ὡς μέχρι τῶν περάτων αὐτοῦ διϊκνουμένη τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν καὶ κοινωνίαν ἄγειν. Σκόπει τίς ἡ ἀπὸ ψυχῆς ἐνδιδομένη τῇ σαρκὶ δύναμις. Τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψυχὴν ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα· δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψυχή. Ποίας ἀποθήκας τῶν μαθημάτων ἔχει. Διὰ τί οὐκ ἐπισκοτεῖ τῇ γνώσει τῶν προλαβόντων ἡ τῶν ἐπιγινομένων προσθήκη, ἀλλ' ἀσύγχυτοι καὶ διακεκριμέναι αἱ μνῆμαι, οἷον

χαλ-

χαλκῇ τινι σήλῃ τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐγκεχαραγμένᾳ διαφυλάττονται. Πῶς μὲν πρὸς τὰ τῆς σαρκὸς ὑπολισθαίνουσα πάθη, τὸ οἰκεῖον ἀπόλλυσι κάλλος. Πῶς δὲ πάλιν τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθηραμένη δι' ἀρετῆς, πρὸς τὴν ὁμοίωσιν ἀναξέχει τοῦ κτίσαντος. Πρόσεχε, εἰ δοκεῖ σοι, μετὰ τῆς ψυχῆς θεωρίαν καὶ τῇ τῆς σώματος κατασκευῇ, καὶ θαύμασον ὅπως πρέπον αὐτὸ κατεγώγιον τῇ λογικῇ ψυχῇ ὁ ἀρισοτέχνης ἐδημιούργησεν. Ὀρθιόν σε ἔπλασε μόνον τῶν ζώων τὸ ἄνθρωπον, ἵν' ἐξ αὐτῆς τῆς σχήματος εἰδῇς, ὅτι ἐκ τῆς ἄνωθεν συγγενείας ἐσὶν ἡ ζωή σου. Τὰ μὲν γὰρ τετράποδα πάντα πρὸς τὴν γῆν βλέπει, καὶ πρὸς τὴν γαστέρα νεύουσιν· ἀνθρώπῳ δὲ ἑτοίμη πρὸς Οὐρανὸν ἡ ἀνάβλεψις, ὥς τε μὴ σχολάζειν γαστρὶ, μηδὲ τοῖς ὑπὸ γαστέρα πάθεσιν, ἀλλ' ὅλῳ ἔχειν τὴν ὁρμὴν πρὸς τὴν ἄνω πορείαν. Ἔπειτα τὴν κεφαλὴν ἐπὶ τῶν ὑψηλοτάτων θεὶς, ἐν αὐτῇ τὰς πλείσου ἀξίας τῶν αἰσθήσεων καθιδρύσατο. Ἐκεῖ ὄψις, καὶ ἀκοὴ, καὶ γεῦσις, καὶ ὄσφρησις, πᾶσαι ἐγγὺς ἀλλήλων κατῳκισμέναι· καὶ οὕτω πρὸς βραχὺ χωρίον συνοχωρήσασαι, οὐδεμίᾳ παρεμποδίζει τὴν ἐνεργείᾳ τῆς γείτονος. Ὀφθαλμοὶ μέν γε τὴν ὑψηλοτάτην σκοπιὰν κατειλήφασιν, ὥς τε μηδὲν αὐτοῖς τῶν τοῦ σώματος μορίων ἐπιπροσθεῖν, ἀλλὰ μικρᾷ τινι προβολῇ τῶν ὀφρύων ὑποκαθήμενοι, ἐκ τῆς ἄνωθεν ἐξοχῆς πρὸς τὸ δι' ὅλης ἀποτείνονται. Πάλιν ἡ ἀκοὴ, οὐκ ἐπ' ὀλίγας λῶπικται, ἀλλ' ἑλικοειδεῖ τῷ πόρῳ τῶν ἐν τῷ ἀέρι φόφων ἀντιλαμβάνεται· σοφίας καὶ τοῦτο τῆς ἀνωτάτω, ὥς τε τὴν μὲν φωνὴν ἀκωλύτως διϊέναι, ἢ καὶ μᾶλλον ἐνηχεῖν, περικλωμένην ταῖς σκολιότησι, μηδὲν δὲ τῶν ἔξωθεν παρεμπιπτόντων κώλυμα εἶναι δύνασθαι τῇ αἰσθήσει. Κατάμαθε τῆς γλώττης τὴν φύσιν, ὅπως ἀπαλή τε ἐσι καὶ εὔτροφος, καὶ πρὸς πᾶσαν χρείαν λόγου τῷ ποικίλῳ τῆς κινήσεως ἐξαρκοῦσα. Ὀδόντες, ὁμοῦ μὲν φωνῆς ὄργανα, ἰσχυρὰ τῇ γλώτ-

γλώττῃ τῶν αἱρέσεων παρεχόμενοι· ἐμὲ δὲ καὶ ξένης ὑπηρέται, οἱ μὲν τέμνοντες αὐτῶν, οἱ δὲ λεαίνοντες· καὶ οὕτω πάντα λογισμῷ ἐπιπορεύόμενος τῷ προσήκοντι, καὶ καταμανθάνων ὅλην ἀέρος διὰ τοῦ πνεύμονος, τὸ θερμὸν φυλακῶν ἐπὶ τῆς καρδίας, ὄργανα πέψεως, ὀχετὸς αἵματος· ἐκ πάντων τούτων τῶν ἀνεξιχνίαστον σοφίαν τὸν Ποιήσαντός σε κατόψει, ὡς ἂν καὶ αὐτόν σε εἰπεῖν μετὰ τοῦ Προφήτου· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. Πρόσεχε οὖν σεαυτῷ, ἵνα προσέχῃς Θεῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΑΘΑΝΑΣΙΟΥ

ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἀρχιεπισκόπου Ἀλεξανδρείας

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΗΝ ΠΑΡΑΣΚΕΥΗΝ.

Μέγα μὲν ὁ οὐρανὸς δημιούργημα, καὶ τῆς ὁρωμένης κτίσεως πρῶτον ὑπὸ Θεοῦ εἰς τὸ εἶναι καλούμενος. Μέγα δέτι καὶ θαυμαστὸν τὸ Ἀγγέλων ἡ φύσις, ἀοράτοις στεφανουμένη τοῖς κάλλεσιν. Ἁμιλλᾶται τοῖς εἰρημένοις καὶ ὁ ἥλιος, τὰς ἡμερινὰς τῶ φωτὸς λαμπάδας περιβαλλόμενος, καὶ τὸν οὐράνιον δρόμον ἐλαύνων. Ἐκπλήττει τινὰ διάνοιαν ἡ γῆ κρεμαμένη προσάγματι, καὶ τὸ βαρὺ στοιχεῖον τοῖς ὕδασιν ἐποχούμενον. Τί δ' αὖτις εἴποι θάλασσαν ἁπλωμένην ὁρῶν, καὶ ψάμμῳ μὲν δεδεμένην, πνεύματι δὲ κυβερνωμένην; ἀλλὰ πάντα μὲν καλὰ καὶ λίαν καλά, καὶ τῆς τῶ Δημιουργῶ σοφίας τεχνάσματα· ἦχυνε δὲ τὸ τῶν κάλλος ὁ ἄνθρωπος τῇ τῆς τιμῆς ὑπερβολῇ τοῖς τιμωμένοις τὴν ὕβριν γεννήσας. Θαῦμα γὸ τῇ κτίσει προσενέγκας ὑπερβαῖνον τὰ μέτρα τῆς κτίσεως, ἀδοξίαν τοῖς τιμωμένοις κατέχεεν. Οὕτω πλανὴς μήτηρ ἡ κτίσις ἄκουσα γέγονεν. Ἀλλ' ὤκτειρε τινὰ πλανὴν ὁ Θεὸς καὶ φέρει σαυρὸν ἐν μέσῳ θεογνωσίας ἀνθρώποις, ὄργανον τῆς κτίσεως δυνατώτερον. Ἄφρακτος ἦν οὐρανὸς πρὸς ἀσεβείας διόρθωσιν γέγονε, καὶ ἥλιος μὲν ἠχύνετο προσκυνούμενος, κωλύειν δὲ τὰς προσκυνοῦντας οὐκ ἴσχυε. Γῆ τὰ τῶ σώματος φάρμακα βρύουσα, τῇ ψυχῇ νοσούσῃ βοηθεῖν οὐκ ἠδυνατο. Περιττὴ θάλαττα πρὸς τὸ πάθος ἠλέγχετο, καὶ ὁ ἄνθρωπος τυφλώττων περιῆγε τινὰ κτίσιν, καὶ τὸ προσκύνον φιλαφῶν προσεκυνεῖ, Θεὸν δρᾶν ἀ-

δυνά-

δυνάμενος, ἢ ὁ βυλόμενος, ὃν ὁ τῆς ὅλης κτίσεως δη-
μος κηρύττων, πρὸς τὴν σὴν Θεὲ διδασκαλίαν προσα-
γαγεῖν οὐκ ἐξήρκησεν· ἀλλ' ὃ μὴ πεποίηκεν ὁ οὐρανὸς,
ἴσχυσε σαυρός· ὃ ὁ ἥλιος οὐκ ἐδίδαξε, σαυρὸς ἐπιλάμ-
ψας ἐφωταγώγησε, καὶ ξύλον διτελὲς φυτευθὲν, οἰκε-
μοίλω ἀσεβοῦσαν πρὸς διόσέβειαν ἐγεώργησε. Ξύλον
καταδίκης ὄργανον, τοῖς καταδίκοις ἐλευθερίαν ἐκαρπο-
φόρησεν. Ἠτόνησε πρὸς σωτηρίαν ἀνθρώπων ἡ κτίσις,
καὶ σαυρὸς εἰσελθὼν, ἰατρὸς ἀνεδείχθη. Ἐπειδὴ γὰρ
θανάτος ξύλῳ τὸ πάλαι κρησάμενος βακτηρίᾳ, τὴν
τῶν ἀνθρώπων φύσιν ἐπολιώρκησεν, ὁδὸν διρὼν εἰς
παρείσδυσιν τὴν ἐν βρώσει παράβασιν, ὅτε παρανοι-
χθείσης ἔτι τῆς ὁδοῦ, τῷ θανάτῳ τὰ γενέσια συνείπετο,
καὶ οἱ κοινωνοὶ τῆς φύσεως ἐγένοντο κοινωνοὶ τῆς κολά-
σεως. Οἰκτείρας ἓν τὸν πλασθέντα ὁ πλάσας, ξύλον
ἀντιφάρμακον ξύλῳ χαρίζεται, καὶ πάθος οἰκονομίας
εἰσλύεγκε πάθει ἀλεξιτήριον φάρμακον, καὶ θανάτῳ
κρατοῦντι θάνατον ἀνθοπλίσας κατηγωνίσατο, καὶ πά-
λιν ἐλεύθερος ὁ ἄνθρωπος, οἷς ἐδέθη πρὸς θάνατον
τὴν ἀθανασίαν διράμενος· δι' ὧν τῷ κατεκείνετο, διὰ
τούτων ἐλύετο. Ὦ θείας ἀληθῶς σοφίας καὶ μηχανῆς
ὑρανίε! σαυρὸς ἐπήγνυτο, καὶ εἰδωλολατεία κατεστρέ-
φετο· σαυρὸς ἠγείρετο, καὶ διαβολικὴ δυνασεία κατεδι-
κάζετο. Σταυρὸς ἐπήγνυτο, καὶ Ἰουδαίων ὁ τύφος πρὸς
πτῶσιν μεθίσατο· ἵνα μάθῃς ὅτι μὴ ξύλον ἁπλῶς
τῶν τοσούτων θαυμάτων παραίτιον, ἀλλ' ὁ τῷ ξύλῳ
πρὸς τίκλω κρησάμενος. Σταυρὸς καὶ πάθος καὶ λόγχη
καὶ ἅλοι καὶ θανάτος, ταῦτα ζωῆς ἀθανάτου γίνεται
ὄργανα. Τούτοις ὁ δεύτερος ἄνθρωπος εἰς ζωὴν ἁπε-
τέχθη, οἷς ὁ πρωτόπλασος Ἀδὰμ κατεκείθη· ὑφ' ὧν
ἡ ἀρχὴ τῶν ἀνθρώπων κατέπεσεν, ὑπὸ τούτων ἡ ἀρ-
χὴ τῶν ἀνθρώπων ἀνυψοῦται. Σήμερον ὁ Δεσπότης καὶ
Κύριος κατάκειτος ἄγεται, καὶ εἰς δικασηρίε πρὸς δικα-
σήριον παραπέμπεται. Καϊάφας ἀποφαίνεται, καὶ Πι-
λάτος τὴν ψῆφον διαδέχεται, καὶ ὁ παραιτεῖται τὴν

ψῆ-

ψῆφον ὁ Χριστὸς, ἵνα λύσῃ τὴν τοῦ κόσμου κατάκρισιν. Ὦ παραδόξων θαυμάτων! Δέχεται τὴν ψῆφον αὐτὸς τοῦ θανάτου, καὶ δι' ἔθεως ὁ Βαραββᾶς ἀπολύεται, ἐκ προοιμίων ὁ σταυρὸς τοῖς καταδίκοις ἐλευθερίαν χαρίζεται. Μὴ γάρ μοι πρὸς τὴν τῶν Ἰουδαίων πονηρίαν ἀπίδῃς μόνον, ὅτι τὸν εὐεργέτην καταδικάζοντες, προτιμῶσι τὸν μιαιφόνον, ἀλλ' ὅτι περ ἡ τῆς καταδίκης ἀρχὴ, τῆς τῶν καταδίκων ἐλευθερίας ὑπῆρχεν ἀρχή· καὶ ὁ τὴν τῶν καταδίκων δίκην δεξάμενος, δικαίως ζώντων ὁμοῦ καὶ νεκρῶν κριτὴς ἀναφαίνεται, καθ' ἣν ἔστησεν ἡμέραν, ἐν ᾗ κρινεῖ τὴν οἰκουμένην ἐν ἀνδρὶ ᾧ ὥρισεν ὁ Θεὸς πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Οἱ μὲν οὖν Ἰουδαῖοι τοὺς ἄλλους ζόφους τῷ θανάτῳ παρέντες, ἐπὶ τὸν σταυρὸν ὥρμησαν, τιμωρίας καὶ ἀτιμίας ἐπινοήσαντες ὄργανον. Τὸν διὰ ξύλου θανάτου, καὶ τὴν τῷ νόμῳ κατάραν τῷ διὰ ξύλου θανάτῳ προσάπτουσιν, ἐπιφορτίζειν ἡγούμενοι τῷ θανάτῳ τὸ βάρος. Ἡγόων δὲ ἄρα τὸν σταυρὸν νίκης ἐντίμου καπασκευάζοντες σύμβολον· καὶ οὐδὲ μέχρι τόπων ἀρκέσαντες, καὶ λῃστὰς κοινωνοὺς τῷ θανάτῳ βιάζονται γενέσθαι, ἵνα ἡ τῷ θανάτῳ κοινωνία τῆς τελευτῆς γένηται ἀδοξία. Ἡγόων δὲ ἄρα λῃστὴν τῷ Χριστῷ συσταυρώντες, κήρυκα τῆς τοῦ σταυρουμένου βασιλείας χειροτονοῦντες, μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου, κεκραγότα. Ὡς λῃστὴς ἐσταυρώθη, καὶ Εὐαγγελιστὴς ἀνεδείχθη· ὡς βασιλέα τιμᾷ, ὃν ἀτιμάσαι ἐδιδάχθη· μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Τί φὴς ὦ λῃστά; ἀγνοεῖς ἃ πάσχεις; ἐπελάθου τῆς ὕλης; ὡς ἐν ἱερῷ προσευχόμενος, οὐχ ὡς ἐν ξύλῳ κρεμάμενος ἱκετεύεις; εἶδόν φησι Θεὸν ἀληθινὸν, καὶ ἱκετεύειν τοῦτον ἐπόθησα· ἔγνων τοῦτο ἐκ τῆς ἐπιγραφῆς τὴν ἀξίαν· εἶδον τὴν καταδίκην βασιλείαν κηρύττουσαν· εἶδον ἐν τῇ κατηγορίᾳ διαθήματος χάριν ἀπαστράπτουσαν· εἰ γὰρ σταυρούμενος βασιλεύει, τίς

αὖ εἴη σεφόμενος; Γνωρίζει τὴν βασιλείαν ἡ κτίσις, ἥλιος σαρούμενον ὁρᾷ, καὶ φαίνειν ἀ τολμᾷ· ἁρπάζει τῷ σπαυρωθέντων τὸ φῶς ὑπὲρ Δεσπότου μαχόμενος. Νυκτὶ παραλόγῳ καταδικάζει Ἰουδαίων παρανομίαν. Γῆ σαλευομένη παράττεται, καὶ κρεμνᾷ σεισμῷ τὸς ἐπὶ σταυρῷ τὸν Δεσπότην κρεμάσαντας. Πῶς μὴ πειθῶ βασιλέα τὸν ὑβριζόμενον· ὁ τίτλος βοᾷ· ἡ κτίσις μαρτυρεῖ. Ἅπερ ἀναγινώσκω τοῖς γράμμασιν, ἐπιγινώσκω τοῖς φράγμασι. Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου. Ὦ λῃσὰ πικρὲ τῷ Ἰουδαίων κατήγορε! Ὦ λῃσὰ δικαιοσύνης συκήγορε! Ὦ λῃσὰ Παραδείσου φύλαξ; Ὦ λῃσὰ τοῦ Ἀδὰμ περὶ τὴν κτίσιν τιμιώτερε! Ὦ τῶ πρωτογόνου περὶ τὸν Παράδεισον βεβαιότερε! Ἐκεῖνος ἀκαίρως ἐκτείνας τὴν χεῖρα περὶ τὸ ξύλον, ἐπλάπη τὴν κτίσιν· σὺ δὲ δικαίρως ἐπὶ σαυρῷ τὰς χεῖρας ἁπλώσας, τὸν ἀπολόμενον ἐκτήσω Παράδεισον. Ὦ λῃσὰ δ' φυέσατε, τὸν προγονικὸν κλῆρον ἀπολόμενον, διὰ μιᾶς ἐντυχίας ἀνακτησάμενος! Ὦ πῶς πρῶτος βασιλείαν ἐκαρπώσω! Ὦ λῃσὰ ῥήματι μικρῷ τὸν ἐρανὸν ὑπανοίξας! ὦ ξύλου ἐπῳδὴν πρόξενον θησαυρῶν μηχανησάμενος! ὦ ἀῳδὸν ἐρανοῦ τὸν σαυρὸν ποιησάμενος! Ὦ νομίμε λῃσείας τοῖς ἀνθρώποις διδάσκαλε! Ὁ λῃστείαν ἐπαινεμένην διδάξας· ὁ ποθεμένην κλοπὴν ὑφηγούμενος· ὁ μεγάλης λῃστείας μισθοὺς συγγραφάμενος· ὁ μέγα διδάξας τὸ τῆς ὁμολογίας γεώργιον· ὁ βραδέως πιστεύσας, καὶ ταχέως ὁμολογήσας· ὁ ἔσχατος ἐλθὼν, καὶ πρῶτος σεφθείς· ὁ δείξας πίστεως ὀξυτάτην ἐνέργειαν· ὁ δείξας πίστεως ἀληθινῆς ὠδῖνας, χρόνου εἰς τόκον μὴ δεόμενος. Ὦ πικρὲ τῶ Ἰούδα κατήγορε! ὁ τῷ προδότῃ τῆς ἀγχόνης φανεὶς βαρύτερος· ὁ τὴν τοῦ Ἰούδα προδοσίαν κατὰ τῶ διαβόλε μηχανησάμενος, καὶ τὸν Χριστὸν δικαίως ἀγοράσας, καὶ μάρτυρα τῆς κτίσεως τὸν σαυρὸν ἐπαγόμενος· ὁ Πέτρε συστρατιώτης καὶ τῷ Ἀποστόλων συμμύστης. Διεδέξατο δὲ τὸν σαυρὸν ὁ τά-

φος

φος νεκροῦ πεῖραν οὐκ ἔχων. Τάφος ἀθανασίας χωρίον· τάφος ἀναστάσεως ἐργαστήριον· τάφος τῶν τάφων κατάλυσις, ἐν ᾧ θανάτος παύεται, ἐν ᾧ ζωὴ φύεται πέρας οὐκ ἔχουσα. Καλῶς ὁ τάφος καινός. Τοῦτο τῆς χάριτος βάλημα, ἵνα μὴ τῶν νεκρῶν τὸ πλῆθος ἀμφίβολον δείξῃ τὸν ἀναστάντα, καὶ πάλιν ὁ Ἰουδαῖος λάβῃ τῆς συκοφαντίας ὕλας. Γυμνὸς ὁ τάφος τὸ τεθνάτος ὁρᾶται, γλῶσαν Ἰουδαϊκὴν ἀποφράττων, μονονουχὶ τοιαῦτα πρὸς τὸν Ἰουδαῖον φθεγγόμενος. Τί λέγεις ὦ συκοφάντα; νεκρὸν ἕτερον οὐχ ὁρᾷς, ὃν ἀντ' ἐμοῦ τῷ ἀνισταμένῳ πρόσπεσον. Θέασαι τὸν ἐγειρόμενον, καὶ τὴν δεσποτείαν· ἐπίγνωθι, ὃν νεκρόν μοι παρέδωκας, ἀθάνατον ἀντιδίδωμι. Ἀλλ' οὐκ ἤρκει τοῦτο τοῖς Ἰουδαίοις· ἐπισυνάπτουσι δὲ τάφῳ τὰς σφραγίδας. Ἄθλιε καὶ παλαίπωρε, ὁ τὰς ὠδῖνας τοῦ θανάτου λύων, τὰς σφραγίδας οὐ λύει; ὁ σκυλεύων τὸν ᾅδην, τὰ σήμαντρα φοβεῖται; Σφράγιζε τὸν τάφον· ἐπισημαίνου τὸν λίθον· στρατιώτας ἐπίστησον· πολιόρκει τὸ μνῆμα. Μεῖζόν μοι ποιεῖς τὸ κατόρθωμα. Θεατὰς τῆς ἀναστάσεως ὑπτρέπιζεις· μάρτυρας τῆς ἐγέρσεως φέρεις· κήρυκας τῶν ἐμῶν θαυμάτων τοὺς σοὺς ὑπηρέτας καταστολίζεις. Δεῦρο δὴ ἴδωμεν, ἀδελφοί, μείνωμεν ἰδεῖν τὰς ὠδῖνας τοῦ τάφου. Ἴδωμεν πέως δορυφορῶντα τὸν Ἰωσὴφ, καὶ τὸν Νικόδημον σωῤῥέχοντα, σινδόνι καθαρᾷ καὶ ὀθονίοις καὶ σουδαρίῳ περιελίσσοντας τὸν τοῦ παντὸς Κύριον, σμύρναν τε καὶ ἀλόην τὰ τῆς ἀφθαρσίας σύμβολα προκομίζοντας. Ἴδωμεν τοίνυν κυοφορουμένην τὴν ἀνάστασιν· ἴδωμεν γαστέρα τάφου ἀθανασίας μητέρα· μείνωμεν ἰδεῖν τὸν Χριστὸν ζοπαῤῥέχον ἐκ τάφου ἐγειρόμενον, καὶ τῷ κατὰ τοῦ θανάτου καὶ τυράννου νίκην ἀναδησάμενον, καὶ φαιδροὶ φαιδρῶς τῷ αἰωνίῳ Βασιλεῖ προσέλθωμεν· αὐτοῦ γάρ ἐστι τὸ κράτος, καὶ ἡ δυνάμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ.

Εἰ ταῖς τῶν Ἀγγέλων ἐνλῶ πρὸς τὸ παρὸν χρήσασθαι γλώττως, καὶ φωνὰς ἀθανάτας ἡ τῶν θνητῶν ἐκτήσατο φύσις, ἐτόλμησε μόλις ἂν τὰς τῆς Ἑορτῆς ὑμνῆσαι δωρεάς. Νυῦ δὲ γλῶττα θνητὴ, καὶ πήλινον ὄργανον, τί μὲν ἂν εἴποι; τί δὲ καὶ φθέγξοιτο, ἅπερ ἡ σύμπασα κτίσις ὁμοφωνοῦσα πρὸς ἀξίαν ὑμνεῖν οὐκ ἰσχύει; ὑπερβαίνει γὰρ ἀληθῶς κτίσεως μέτρα τὰ δῶρα τῆς χάριτος. Θανάτου ἐξ ἀνθρώπων ἐλαυνέται καὶ ᾅδης τὴν πολυετῆ δυναστείαν ἀποτίθεται, καὶ γένος ἀνθρώπων ἁμαρτίας νόμῳ παπάδιπον, τῇ τῆς Χάριτος δωρεᾷ βασιλεύειν διδάσκεται. Τῆς τοίνυν δεσποτικῆς ἑορτῆς ὁ πρωτοστάτης μὲν τῆς ἀπολαύσεως ἄνθρωπος, κοινωνὸς δὲ τῆς χάριτος ἡ λοιπὴ γίνεται κτίσις. Ἐν ἀνθρώπου γὰρ μορφῇ σήμερον ὁ τῆς φύσεως ἀνεπλάττετο δῆμος. Οὕτω γὰρ Παῦλος ὁ τῆς χάριτος μαθητὴς προεμήνυσεν· εἴτις ἐν Χριστῷ καινὴ κτίσις. Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ καινὰ γέγονε τὰ πάντα, μιᾷ φωνῇ ἐλκύσας τὰ σύμπαντα πρὸς ἀνάκτησιν. Ὁ τῆς κτίσεως Δημιουργὸς ᾄδει· ἡ γὰρ τοῦ Σωτῆρος ἀνάστασις κοινὴ τῶν πάντων ὑπάρχει ἀνάκτησις· καὶ τοῦτο Παῦλος ἡμῖν διαγγελίζεται λέγων· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἐκ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τοῦ Θεοῦ· τουτέστι τὴν φθορὰν ἀποθήσεται, τὴν δουλείαν ἀποδύσεται, τὴν ἀθανασίαν ἀπολήψεται, πρὸς ἀμείνονα μεταστήσεται λῆξιν· τὸ γὰρ ἀνθρώπου πρὸς ἀφθαρσίαν καινουργούμενον, καὶ ἡ δι' αὐτὸν παραχθεῖσα ἀνακαινισθήσεται κτίσις. Ἔκτισε μὲν γὰρ ὁ Θεὸς τὴν μεγάλην ταύτην τῆς κτίσεως πόλιν, φωνῇ μόνῃ τὴν πολλῶν παραγωγὴν ποιησάμενος· φωνῇ μόνῃ τὴν

τῆς

τῆ ὅλων οὐσίαν ἐλυσας, τῆς δημιουργικῆς αὐτοῦ σοφίας τῳ δύναμιν ἔδειξεν. Ὡς ἐν Ναῷ δὲ περιφανεῖ τῇ κτίσει τὴν ἰδίαν εἰκόνα τὸν ἄνθρωπον δημιουργήσας ἀνέστησεν. Ἔδει τοιγαροῦν καὶ νῦν τῆς ἰδίας εἰδόνος καινουργουμένης, καὶ αὐτὸν τὸν τῆς εἰκόνος οἶκον συναναστίζεσθαι. Τοῦτων ἡμῖν ἐγγυητὴς σήμερον ἡ παροῦσα πανήγυρις. Διὰ ταύτην ὁ μακάριος ἔκραζε Παῦλος· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Ἀρνήσεται γὰρ θανάτῳ νόμον τὸ σῶμα, τοῖς τῆς ἀθανασίας στεφανουμενον ἄνθεσι, καὶ χώραν οὐχ ὑφέξει φθορὰ, τῆς ἀφθαρσίας ἐπιλαμπούσης. Ὦ τῆς μεγάλης τῆ φραγμάτων μεταβολῆς! Ὦ τῆς ὑπὲρ ἐλπίδας ἐναλλαγῆς! Ὦ μεγάλου πάθους εἰς δ' θυμίαν καταλήξαντος! Ὦ χαρᾶς διαδεξαμένης τὴν συμφοράν! Αὐξήσει γὰρ τῳ δοξολογίαν ἡ τῆς παλαιᾶς καὶ νέας διαθήκης ὑπόμνησις. Ἦμεν γὰρ ἐν Παραδείσῳ τὸ πρότερον, ἀγεωργήτῳ ξυφῆς πλῆρον ἐκ φιλανθρωπίας δεξάμενοι. Ἐπῆλθεν ὄφις τοιχωρύχος τῆς ἀπολαύσεως λησάμενος τὴν ξυφὴν, καὶ καπήλειον τὸ λησθὲν κατέστησε γένος, ὁδὸν διρὼν τὸ θανάτῳ τῆς ἐντολῆς τῳ παράβασιν. Ἐντεῦθεν ᾅδης πύλας ἀνοίξας τὸ τῆ ἀνθρώπων ὑπεδέχετο γένος· καὶ τίκτουσα φύσις φοβερὸν ἐποίει τῆ τικτομένων τὸν θανάτον· καὶ τῆ ὠδίνων ὁ πόνος πρόσοδος ἐγίνετο τάφων· καὶ τῶ κληρονομία ἐκ παρανομίας ὁ θανάτος, ἑκάστην τῆ ἡλικιῶν ἀκωλύτως ἀγρεύων· οὐκ ἔμβρυου φειδόμενος, ὁ τὸ τεχθὲν παρορῶν, οὐ τὸν ἔφηβον ἐλεῶν, οὐ καταλιμπάνων νεάζοντας, ὁ πρεσβύτας αἰδόμενος, οὐχ ἁμαρτωλοῖς συγγινωσκόμενος, οὐ δικαίων κατάλογον αἰχυνόμενος, οὐ Προφήτας παραιτούμενος, οὐχ Ἱερέα παραπεμπόμενος· ἀλλ' ἅπλωτο κατὰ πάντων, ἡ τοῦ θανάτῳ σαγήνη, τὸ πρόσπτον ἁρπάζουσα. Οὐκ ἦν ἰατρὸς τοῦ κακοῦ, ὃς ἦν ἐπαγόμενος φάρμακον. Καὶ ποσαῦται γενεαὶ τῳ ζωῳ παραδόσασαι, τῳ ἀνάρε-

ρεσον ἐκ ἐπλήρωσαν τοῦ θανάτου γαστέρα, καὶ ἰῶ τὸ δεινὸν τοῖς πενθοῦσιν ἀπαραμύθητον, καὶ πρὸς ἴασιν ἄπορον, εἰμὴ Χριστὸς σταυρωθεὶς τῷ θανάτῳ τὴν τυραννίδα κατέλυσεν, νυχθημέρῳ τάφῳ τὰ πολυχρόνια τοῦ ᾅδου καταστρέψας βασίλεια· οὐ νῦν πρώτως πρὸς φιλανθρωπίαν δραμὼν, ἀλλ' αὐτὸς ἑαυτῷ πρὸς τὸ παρὸν γεγονὼς καὶ συμπαθέστερος, εἰ καὶ νῦν ἔργῳ τὴν ἀνάστασιν ἔδειξεν· ἀλλὰ καὶ πάλαι κρατοῦντα τὸν θάνατον, ταῖς τῆς ἀναστάσεως ἐφόβει σκιαῖς· καὶ τοῦ ᾅδου τὴν βασιλείαν ἐτάραττεν, ἐλπίδας ἀθανασίας ἀμυδρῶς τῷ γένει δωρούμενος, ἰσοχρόνους τῆς τοῦ ᾅδου τυραννίδος τὰς τῆς καταλύσεως αἰνιττόμενος ἐννοίας· καὶ σκόπει τὴν ἀπόρρητον τῶν πραγμάτων οἰκονομίαν. Ἄβελ πρῶτος ὑπὸ τοῦ θανάτου κατέχεται. Ὁ δεδωκὼς τῷ θανάτῳ τῆς ἁμαρτίας τὴν πρόφασιν, δίδωσι τῇ φύσει κατὰ τοῦ θανάτου δικαιολογίας ὑπόθεσιν. Εἰ γὰρ ἀδίκως κατέχεται, δικαίως αἴρεται, ἁμαρτωλοῦ γὰρ ἀποθανόντος, ἰσχυρότερος δικαζόμενος ὁ θάνατος. Σαθρὰ δὲ κατὰ δικαίων τῷ ᾅδῃ ἡ ἐγχείρησις. Ἀσθενὴς ὁ τοῦ θανάτου δεσμὸς, δίκαιον ἔχων ἀδίκως κρατούμενον. Εἰ γὰρ ἡ ἁμαρτία τῆς τοῦ θανάτου βασιλείας ἰσχὺς, ὁ μὴ πταίσας ἀνέλυτος. Διὰ τοῦτο δυνάμενος ὁ Θεὸς ἐξαρπάσαι τοῦ φόνου τὸν Ἄβελ, τοῦτο μὲν οὐ πεποίηκε· σωρεχώρησε δὲ τῇ αἱρέσει, ἵνα ἄρριζος γένηται θανάτου, δικαίου φυτευόμενος αἵματι. Διὰ τοῦτο Χριστὸς ὑπὲρ τοῦ κόσμου δικαζόμενος ἔλεγε· νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Ἀνωθεν ἐν ᾧ τοῦ Ἄβελ διὰ Χριστοῦ προκήρυκται δίκη καὶ νίκη. Λάβε μοι Παῦλον συνηγοροῦντα, καὶ ἀποθανὼν φησιν Ἄβελ ἔτι λαλεῖ, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο, παραβολὴν τὴν ὁμοιότητα λέγων· φέρει γὰρ μίμησιν τῆς τοῦ Χριστοῦ δίκης ἡ τοῦ Ἄβελ ἀναίρεσις, διὰ τοῦτο καὶ μετὰ θανάτου φθέγγεται, καὶ κατηγορεῖ τοῦ φονεύσαντος. Ἡ δὲ τοῦ βίου παρουσία τοῦ

θα-

θανάτῳ τὴν βίαν ἐνίκησεν· οὐκ ἔσησεν αὐτῷ βοῶσαι τὴν γλῶσαν ὁ φόνος, οὐδὲ τὰς τῶ αἵματος δικαιολογίας ἀνέκοψεν, ἀλλ' ἀθανάτα φθέγγεται γλῶττα πρατομένη θανάτῳ. Οὐκ ἂν ἴδῃ εὔπορος εἰς ἀπολογίαν ἡ φύσις, εἰ ὁ Ἀδὰμ προανήρπασε. Ἡ γὰρ τῆς παραβάσεως αἰσχύνη τὴν γλῶτταν ἀνέφραττεν. Ἄβελ πρῶτος πεσὼν, ἤγειρε τὰς ἐλπίδας τῆς φύσεως.

Ἐφθασεν ἐπὶ τέτοις Ἐνὼχ, καὶ τόπου μεταστάσει, τὸν ᾅδην ἀπέφυγεν, δόκιμήσει βίᾳ δραπετδίων τὸν θάνατον. Μετὰ τοῦτον Ἠλίας ὁ μέγας οὐδ' αὐτὸς εἴξας τῷ θανάτῳ, τὸ τῆς ξενοδόχε παιδίον τελδυτῆσαν ἐξήρπασεν, δι' ἰχῆς δυναστείας τοῦ θανάτου τὴν βίαν νικησάσης, καὶ τὴν ἐξ ᾅδου πρὸς ζωὴν ὑποστροφὴν καινουργησάσης. Ἐλισαῖος ἐπὶ τούτοις ἀνέτειλε, διπλῆν ἐξ ἁπλῆς τὴν χάριν δεξάμενος, ὃς τὸ τῆς Σωμανίτιδος παιδίον ἐξ ᾅδου πρὸς βίον δι' ἰχῆς μετεπέμπετο. Ἐπειδὴ καὶ αὐτὸς τοῖς τοῦ θανάτε περιεβλήθη δικτύοις, καὶ νεκρὸς ὢν, ὅμως τὸν ᾅδην ἐσύλησε, τῇ τοῦ σώματος ἁφῇ τὸν νεκρὸν φυγαδίσας, καὶ διὰ νεκρὸς νεκρὸς πρὸς βίον ἐκλέπτετο· καὶ ἴδῃ ὁ Προφήτης τῷ θανάτῳ νεκρὸς ἐπιζήμιος. Τοῦ γὰρ Ἐλισαίε θανόντος, προσθήκην ὁ τῶν νεκρῶν ἀριθμὸς οὐκ ἐλάμβανεν, ἀλλ' ἀκερδὲς τῷ ᾅδε κατὰ τὸ δικαίε τὸ θήραμα. Ἐν τέτοις οἱ τύποι τῆς ἀνασάσεως ὠχύρεν φθειρομένην τὴν φύσιν. Ἀλλ' ἐβασίλδσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, τοῦ νόμου τὸν χρόνον ὅρους τοῦ κράτους ποιούμενος. Ἐπειδὴ δὲ Χριστὸς ἐξ Οὐρανῶ ἀνεφάνη, ἔῤῥεχον μὲν εἰς ἔργον αἱ τῶ γένες ἐλπίδες· καὶ φωνῇ δεσποτικῇ τὰ τῶ ᾅδε διηνοίγετο κλεῖθρα, καὶ δεσμώτας νεκρὰς ἀπεδίδουν οἱ τάφοι· καὶ κλῆσις ἐγίνετο, καὶ τάφος ἠνοίγετο· καὶ φύσις ἀνθρωπίνη Θεῷ ἡνωμένη τὸν ᾅδην κατέπληττεν. Ἐντεῦθεν ὁ ᾅδης πρὸς τὸν τοὺς νεκρὰς ἀφαιρούμενον ἐβόα· τί τὴν ἐν Παραδείσῳ συγγραφὴν ἀναῤῥέπεις; τί τὸ κατὰ τῆς φύσεως καπασχίζεις χειρόγραφον; ἐγγράφοις δικαίοις

κατὰ ἀνθρώπων ὠχύρωμαι. Ἔχω τὸ, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, τὸ γένος τὸ φρόσιμον. Ὠδύρετο μὲν δὴ καθ' ἕνα τῶν νεκρῶν ἀφαιρούμενος· ἠγνόει δὲ ἄρα ὡς Χριστὸς καταβὰς, παύδημον ἀφαίρεσιν τοῖς θνήσιμοις χαρίσεται· ἵνα γὰ μηδεὶς ἔτι τῷ ἅδῃ περιληφθείη δεσμώτης, κάτεισιν αὐτὸς εἰς ἅδου Χριστὸς, τῇ μὲν φορεμένῃ σαρκὶ δελεάζων τὸν ἅδην, Θεότητος δὲ δυνάμει καθαιρῶν αὐτῦ τὰ βασίλεια, βραχεῖ χρόνῳ παλαιὰ τὰ νόμια διατεμὼν χειρόγραφα, ἵνα ἀνθρώπους εἰς Οὐρανὸν ἀναγάγῃ. Οὐρανὸν, τὸ ἐλεύθερον τοῦ θανάτου χωρίον, ἀφθαρσίας καταγώγιον, δικαιοσυνῆς ἐργαστήριον. Ἐν τούτοις ἐβαπτίσθης τοῖς ἀγαθοῖς νεοφώτισε· ἀρραβών σοι γέγονεν ἀναστάσεως ἡ τῆς χάριτος μύησις. Ἐνέχυρον τῆς ἐν Οὐρανῷ διαίτης τὸ βάπτισμα. Ἐμιμήσω τῇ καταδύσει τὸν θάφον. Ἀλλ' ἀνέδυς πάλιν ἐκεῖθεν, τὰ τῆς ἀναστάσεως ἔργα φρὸ τῶν ἔργων θεώμενος· ὧν εἶδες τὰ σύμβολα, τούτων ἀποδέχου τὰ φάγματα. Δέχου Μάρτυρα τῶν λεγομένων τὸν Παῦλον λέγοντα· εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. Καλῶς τὸ σύμφυτοι· φυτεία γὰρ φρὸς ἀθανασίαν τὸ βάπτισμα, ἐν Κολυμβήθρᾳ φυτευομένη, καὶ Οὐρανῷ καρποφορῆσα. Ἐκεῖ τὸ Πνεύματος ἡ χάρις ἀπορρήτως ἐργάζεται· καὶ μὴ τῷ τῆς φύσεως συγγενεῖ ἀγνοήσῃς τὸ θαῦμα· ὑπηρετεῖ φρὸς τοῦ χρείαν τὸ ὕδωρ, δημιουργεῖ δὲ τοῦ ἀναγεννησιν ἡ χάρις, ὡς ἐν μήτρᾳ τῇ Κολυμβήθρᾳ τὸν ἐμβαλλόμενον ἀναπλάττει· ὡς ἐν χωνευτηρίῳ τῷ ὕδατι τὸν κατιόντα ἀναχαλκεύει· δίδωσιν αὐτῷ τῆς ἀθανασίας μνησείαν· ἀναστάσεως σφραγίδα χαρίζεται· τούτων σοι τῷ θαυμάτων, ὦ νεοφώτισε, καὶ ἡ ἀμφίασις φέρει τὰ σύμβολα. Ἀπόβλεφον εἰς ἑαυτὸν τὰς τῶν ἀγαθῶν εἰκόνας φορῶντα. Λαμπρὰ μὲν γὰρ καὶ διαυγὴς ἡ ἑθής σου, τῆς ἀφθαρσίας ζωγραφοῦσα τὰ σύμβολα. Ὀθόνη σοι λευκὴ καθάπερ διάδημα τὴν

κε-

κεφαλὴ διασφίγγει, τὴν ἐλευθερίαν κηρύττουσα. Ἡ χειρ τῆς κατὰ τὸ Διαβόλου νίκης περιφέρει μιμήματα. Ἔδειξε γάρ σε Χριστὸς ἐγειρόμενον, νῦν μὲν συμβόλοις, δείξῃ δὲ μετὰ μικρὸν καὶ ἐν τοῖς πράγμασιν, ἐὰν τὸν χιτῶνα τῆς πίστεως μὴ ταῖς ἁμαρτίαις ῥυπώσωμεν, ἐὰν τὴν λαμπάδα τῆς χάριτος ἀπόποις μὴ καταβέσωμεν πράξεσιν, ἐὰν τὸν τοῦ πνεύματος διαφυλάξωμεν στέφανον. Τότε σαφῶς ὁ Δεσπότης ἐξ Οὐρανῶν μετὰ φοβερᾶς καὶ φιλανθρώπε βοῆς ἀναβοήσει· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμε. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΝΕΥΜΑΤΙΚΟΝ ΙΔΡΥΜΑ ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1878

ΛΟΓΟΣ
ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΚΥΡΙΑΚΗΝ

Ἠτοι τὴ Θωμᾶ, καὶ εἰς τὰς Νεοφωτίστους.

Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν ὅλην τῶν ἀνθρώπων τὴν ζωὴν ἑορτὴν ἀπεργάσατο· τῶν γὰρ ἐν τῇ γῇ τὸ πολίτευμα πρὸς Οὐρανὸν μετασήσας, τὰς τῶ παννυχίζειν ἀφορμὰς ἐδωρήσατο· καὶ μάρτυς τῶν εἰρημένων Παῦλος ὁ τῶν Χριστοῦ ῥημάτων ὄργανον τὴν γλῶτταν κτησάμενος· ἡμῶν γάρ φησι τὸ πολίτευμα ἐν Οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν. Καὶ τίς γὰρ ἀπεκδεχόμενος, ταῖς ἐλπίσιν οὐχ ἑορτάζει; τίς τὴν τῶ Σωτῆρος ἐπιδημίαν λογισμῷ φανταζόμενος, οὐ προλαμβάνει χαίρων τῶν πραγμάτων τὴν πεῖραν; τίς δὲ Βασιλέως ἥνπερ πάθοδον ἐσομένην ἀκούσας, οὐκ ἀνίσταται μὲν τὴν διάνοιαν, διφραίνεται δὲ τὴν ψυχὴν, προδέχων τῷ πόθῳ τῆς θέας τὸν χρόνον; Τότε συγκινοῦνται μὲν δῆμοι· σκιρτῶσι δὲ παῖδες· χορεύουσι κόραι· πρεσβύται τὸ γῆρας αἰρεῖσθαι βιάζονται, ταῖς ἐλπίσιν ἀκμάζοντες, καὶ χωρεῖ διὰ πάντων ἡ τῆς βασιλικῆς παρουσίας πανήγυρις. Τί ἂν οὖν εἴποιτις, παραγενομένῳ Χριστῶ Βασιλέως ἀθανάτῳ; οὐχ ἵνα πόλεις φαιδρύνῃ, οὐ πύργους ἐγείρῃ, οὐχ ἵνα δωρεὰς παράσχῃ πατρώνας τῷ χρόνῳ· ἀλλ' ἵνα τὸ τῶν ἀνθρώπων ἀθανασίαν ἐνδύσῃ γένος, καὶ θανάτῳ λησθόμενον ἐν αὐλῷ χωρίῳ Οὐρανῶ κατοικίσῃ; Σήμερον ὤφθη πάλιν μετὰ τὴν ἀνάστασιν ὁ Χριστὸς, δευτέρᾳ θέᾳ βεβαιοτέραν τὴν πίστιν τῆς ἀναστάσεως ἀπεργαζόμενος· ὤφθη δὲ, τῶν θυρῶν κεκλεισμένων. Ὁ γὰρ τὸν ᾅδην δείξας ἀτείχιστον, οὐκ ἐδέετο θυρῶν πρὸς τὴν εἴσοδον· ὅπου γὰρ προσάττει Θεὸς, τῆς συνηθείας ἀργοῦσιν οἱ νόμοι. Ἐπὶ

πὶ τῆς θαλάττης ἐβάδιζε πρότερον, καὶ ἡ ῥέυσα φύσις τοῖς τῆς σαρκὸς ποσὶν ὑπεσρώννυτο, καὶ βήμασι ποδῶν ἐμεβρέϊτο τὰ κύματα, καὶ τὸ πέλαγος πρὸς τὴν χεῖαν εἰς ἔδαφος μετεπήγνυτο. Εἰσῆλθεν ὁ Ἰησοῦς κεκλεισμένων τῶν θυρῶν· καί τοι τῆς ἀναστάσεως γενομένης, ὁ τὸ τάφε κεκύλιστο λίθος, καὶ ἡ τοῦ μνήματος ἀνεστόμωτο θύρα. Ἀλλ' ἐκεῖ μὲν ἐδείχθη, ὅτι ἅπερ ἔπαχεν ὁ τάφος ὁρώμενος, ταῦτα ἔπασχεν ἀοράτως ὁ τίφος τε καὶ ὑπέμενε· καὶ ἀνοιγομένε τὸ μνήματος ἀθύρωτον ἀπήλαιον ὁ θανάτος ἀπελέγχετο. Ἔδει γὰρ σωματογυμνοῦσθαι τῶν ἅδην τὸν τάφον, καὶ τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα στηλιτεύεσθαι. Ἐνταῦθα δὲ τῶν θυρῶν κεκλεισμένων εἰσέρχεται, ἵνα οἱ περὶ τῆς ἀναστάσεως ἀπιστοῦντες ἐκπλαγῶσι τὴν εἴσοδον, καὶ χειραγωγηθῶσι πρὸς τὸ θαῦμα τῷ θαύματι. Ἀναστὰς ἦν ὁ Χριστὸς πρὸ τῶν μαθητῶν ταῖς γυναιξὶν ἑωρᾶτο, καὶ αἱ γυναῖκες τοῖς Ἀποστόλοις διήγγελίζοντο τὸ Χριστοῦ τὴν ἀνάστασιν. Καὶ τοῦτο εἰκότως· ὅπω γὰρ ἡ τῆς Εὔας ἐπήρεια τῷ διαβόλῳ περιετρέπετο. Ὅθεν γὰρ ὤδυσεν ἡ νόσος, ἐκεῖθεν ἡ θεραπεία προέρχεται· ὅθεν ὁ θανάτος ἦρξατο, ἐκεῖθεν ἡ ἀνάστασις φαίνεται. Γυνὴ καὶ τῆς παραβάσεως αἰτία, καὶ τῆς ἀναστάσεως κήρυξ. Ἡ τὸν πρῶτον Ἀδὰμ πρὸς πτῶσιν χειραγωγήσασα, τὸν δεύτερον Ἀδὰμ ἀνασταύτα μαρτύρεται. Ὤφθη τοίνυν καὶ τοῖς Ἀποστόλοις ὁ Χριστὸς ἐν οἰκίσκῳ μικρῷ κεκρυμμένοις, εἰσελθὼν τῶν θυρῶν κεκλεισμένων. Ἀπιστῶν δὲ τοῖς λεγομένοις, καὶ μὴ παρὼν τοῖς γενομένοις ὁ Θωμᾶς, ποθῶν τὴν θέαν, τὴν ἀκοὴν ἀπεστρέφετο. Ἔφραττε τὰς ἀκοὰς, τοὺς ὀφθαλμοὺς ἀνατετάσαι βουλόμενος. Ἐπλήττετο τῷ πόθῳ διὰ φωνῆς τοξεύομενος. Ἐὰν μὴ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά με εἰς τὴν πλευρὰν αὐτῦ, οὐ μὴ πιστεύσω. Ἄπληστος πρὸς διάθεσιν, καὶ μὴ πιστεύων ὁ Θωμᾶς. Προβάλλεται τὴν ἀπιστίαν, ἵνα ἀπολαύ-

σῃ

σῃ τῆς θεωρίας. Λύσει με φησὶ τὴν ἀπιστίαν φωνείς, βαλῶ με τὸν δάκτυλον εἰς τὰς τύπας τῶν ἥλων. Δεσπότην ὃν ποθῶ περιπτύξομαι. Μεμφάθω τὴν ἀπιστίαν, καὶ χαρισάθω τῇ θεωρίαν. Ὡς ἄπιστος ἴδω, καὶ ὡς Θεὸν περιπτύξομαι, καὶ ἀπολαύσω. Ἴδω χεῖρας ὀρυχθείσας, δι' ὧν αἱ παραβάσαι τοῦ Ἀδὰμ ἐθεραπεύθησαν χεῖρες. Ἴδω πλευράν, δι' ἧς ὁ ἐκ τῆς πλευρᾶς ἀνήρητο θανάτος. Θεατὴς καὶ ἐκ ἀκροατὴς τὸ Δεσπότου γενέσθαι θέλω. Τῇ διηγήσει πλέον πρὸς ἐπιθυμίαν ἀνάπτομαι. Δι' ὧν διαγγελίζεσθε, διὰ τούτων τῇ ὁδωίῃ σοι ἐπαύξετε. Ἐγὼ δέ με θεραπεύσω τῇ αἰτίαν, τῇ ἀπιστίαν προχειριζόμενος. Ἀλλ' αὖθις παρῇ ὁ Δεσπότης, καὶ λύει τὸ μαθητὴ μετὰ τῆς αἰτίας τῇ ἀπιστίαν, μᾶλλον δὲ οὐ τῇ ἀπιστίαν ἔλυσεν, ἀλλὰ τῇ ἐπιθυμίαν ἐνεπλήρωσεν. Παρῇ πάλιν, τῶν θυρῶν κεκλεισμένων. Ἀπιστουμένῃ θέα πιστῶται τῇ ἀπιστουμένην ἀνάστασιν, καὶ πάλιν διπλασιάζει τὸ θαῦμα, ἵνα πληροφορήσῃ τὸν Θωμᾶν. Βάλε φησὶ τὸν δάκτυλόν σε εἰς τὸν τύπον τῶν ἥλων. Ἐζήτεις ἀπόντα, παρόντος ἀπόλαυσον. Οἶδά σου τὴν ἐπιθυμίαν καὶ σιωπῶντος. Πρὸ τοῦ λόγων τῇ γνώμην ἐπίσταμαι. Ἠκόν σε τοῦ ῥημάτων καὶ μὴ βλεπόμενος. Παρήμην ἀπιστοῦντι καὶ μὴ φαινόμενος. Ἐνεδίδουν τῇ ἀπιστίᾳ καιρὸν, ἵνα σου τῇ ἐπιθυμίαν θαυμάσω. Βάλε τὸν δάκτυλόν σε εἰς τὰς τύπους τῶν ἥλων, καὶ βάλε τῇ χεῖρά σε εἰς τῇ πλευράν μου, καὶ μὴ γίνε ἄπιστος, ἀλλὰ πιστός. Ὁ δὲ Θωμᾶς ψηλαφήσας, καὶ τῇ ἀπιστίαν ἐξορίσας, πίστει εἰλικρινεῖ, καὶ πόθῳ θεοπρεπεῖ κέκραγεν, ὁ Κύριός με καὶ ὁ Θεός μου. Καί φησι πρὸς αὐτὸν ὁ Χριστός· ὅτι ἑώρακάς με πεπίστευκας; μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Κήρυξον Θωμᾶ, τοῖς μὴ ἑωρακόσι μου τῇ ἀνάστασιν. Ἔλκυσον τῇ οἰκουμένην ἐκ ὀφθαλμοῖς, ἀλλὰ λόγοις πιστεύουσαν. Πεζέλθε βαρβάρων ἐθνη καὶ πόλεις. Δίδαξον ἀνθ' ὅπλων Σταυρῷ θωρακί-

ζε-

κίζεσθαι. Κήρυξον μόνον, καὶ προσκυνῆντες πιστεύσουσιν. Οὐκ ἀπαιτηθήσῃ παρ' αὐτῶν τὴν θέαν τὴν ἐμήν. Εἰπὲ τοῖς κλῆσιν, καὶ ὄρα τοῖς πίσιν. Μακάριοι γὰρ ἀληθῶς οἱ μὴ ἰδόντες με καὶ πιστεύσαντες.

Τοιοῦτος ὁ νεόλεκτος ἔτος τοῦ Δεσπότου στρατὸς, αἱ τῆς πνευματικῆς κολυμβήθρας ὠδῖνες, τὰ ἔργα τῆς χάριτος, αἱ γεωργίαι τοῦ Πνεύματος. Οὐκ ἰδόντες ὑπήκουσαν, ἀλλὰ ποθοῦντες ἐπίστευσαν· ἐπέγνωσαν Χριστὸν οὐκ ὄμμασι σώματος, ἀλλ' ὄμμασι πίστεως. Οὐκ ἔβαλον τοὺς δακτύλους εἰς τοὺς τύπους τῶν ἥλων, ἀλλὰ τῷ Σταυρῷ περιπλακέντες, τὸ πάθος ἠσπάσαντο. Δεσποτικῆς πλευρᾶς θεαταὶ οὐκ ἐγένοντο, ἀλλὰ χάριτι Δεσποτικοῖς συνήφθησαν μέλεσι, κρατοῦντες ἐφ' ἑαυτοῖς τοῖς τοῦ Δεσπότου φωνοῖς· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες· οἱ μὴ ἰδόντες, καὶ Χριστῷ συναφθέντες. Σήμερον ἀποδύεσθε τοῖς φορεμένην ἔσθητα, ἀλλὰ μὴ ἀπόθεσθε τοῖς κεκρυμμένην σφραγίδα. Ἀποδύεσθε τὰ φαινόμενα σύμβολα, ἀλλὰ μὴ ἀπόθεσθε τῆς στρατιᾶς τὰ γνωρίσματα. Ἀποτίθεσαι τοῖς ἀμφίασιν, ὦ τοῦ Χριστοῦ στρατιῶτα, ἀλλὰ μὴ γυμνωθῇς τῶν ὅπλων τῆς πίστεως· νῦν σοι μάλιστα χρεία τῆς πανοπλίας. Νῦν γὰρ κατὰ σοῦ πλέον ἤπερ ἐμφρόσθεν ἐγείρεται ὁ πολέμιος. Ἕως αἰχμάλωτος ἦς καὶ δοῦλος τοῦ ἐχθροῦ, τὸ κρατεῖν ἔχων ἐκεῖνος, τοῦ πολέμειν οὐκ ἐφρόντιζεν. Ἐπειδὴ δὲ πρὸς Χριστὸν μετεπάχθης, καὶ φυγὼν τὸν ἐχθρὸν, τῷ Δεσπότῃ προσέδραμες, καὶ λύκος ἀποπηδήσας, συνεπάχθης τῇ ποίμνῃ, ὡς παλαιὰν σε θήραν μετέρχεται, καὶ μάχεται πολυτρόπως ἐκμηχανόμενος δόλους. Πρὸς ταύτην ἡμᾶς τὴν παράταξιν, ὁ μακάριος ἀλείφων Παῦλος, στρατηγεῖ, καὶ προχειρίζεται παραγγέλματα, οὐκ ἔστιν ἡμῖν, λέγων, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. Ὁρᾷς σίφος πολεμικὸν, καὶ ζέουσαν μάχην;

χίω; Ὑπὲρ τίνων ἐν ἄρα ὁ πόλεμος; ποῖα τῆς μάχης τὰ κέρδη; αὐτὸς ἐπάγει λέγων ὁ στρατηγός· ἐν τοῖς ἐπουρανίοις, τετέσιν ὑπὲρ τῶν ἐπουρανίων κτημάτων, ὑπὲρ τῆς ἀφθαρσίας ὁπλίζη, καὶ ὑπὲρ ἀξεπτότητος πολεμῇ. Ὑπὲρ τὸ συνεῖναι Χριστῷ παρατάττη. Ταῦτα γὰρ ἐπουράνια κτήματα· ταῦτα ἐκεῖνος ἀφελέσθαι βέλεται. Ἀλλὰ μὴ φοβηθῇς, ὐκ ἀφίησί σε πολεμῆσαι γυμνόν, καθοπλίζει δὲ τοῖς ὅπλοις τὸ Πνεύματος. Καί μοι βλέπε τῶν ὅπλων τίνι ἀστραπῇ φοβεραὶ ἦσαν τοῖς ἐχθροῖς. Φησὶ γοῦν ἔπω, στῆτε ἐν περιζωσάμενοι τὰς ὀσφύας ἡμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τὸ Εὐαγγελίου τῆς εἰρήνης. Ἐπὶ πᾶσι τούτοις ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τὸ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τίνι περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τίνι μάχαιραν τὸ πνεύματος, ὅ ἐστι ῥῆμα τὸ Θεοῦ. Πρὸς ἀοράτους ἐχθροὺς, ἀοράτοις ἐκόσμησεν ὅπλοις. Τοιαύτη μὲν ἡ τῶν ὅπλων ἰσχύς· ὅτι δὲ τὰ τῆς παρατάξεως, κἂν μὴ φαίνηται, γίνεται, σκόπησον ἔπως· εἰ γοῦν τὸν Χριστὸν πειράζειν οὐκ ὤκνησεν ὁ διάβολος, ἀλλ' ἀναισχυντίας ὑπερβολῇ καὶ κατὰ τὸ Δεσπότου τετόλμηκε, πῶς τῆς κατὰ σὲ μηχανημάτων παύσεται; Εἶδε τὸν Χριστὸν βαπτισθέντα (σὺ δὲ σκόπει τὸν καιρὸν ὦ νεοφώτιστε) καὶ τότε πρὸς τὸ πειράζειν ἠγέρθη· εἶδεν ἐν τῇ ἐρήμῳ πεινάσαντα, καὶ συνεργὸν τῆς πείρας τὴν πεῖναν ἐλάμβανεν, εἰδ' αὐτῆς τῆς βοσκῆς τὴν χρείαν μηχανημάτων ἐλευθέραν ἀφεὶς, ἀλλὰ προσελθὼν πειράζειν ἐπεχείρει, καὶ λέγει· εἰ υἱὸς εἶ τὸ Θεὸ, εἰπὲ, ἵνα οἱ λίθοι ἄρτοι γένωνται· μονονουχὶ τοῦτο λέγων· υἱὸς Θεοῦ σοβαρὸν καλούμενος· ἠπατήθης ὀνόματι, προσηγορίᾳ γυμνῇ πράγματος σεμνύνη. Πεινῶντα βλέπω, καὶ υἱὸν Θεὸ ὀνομάσω; ἡ τιμὴ τῷ πάθει νοσεῖται, θεράπευσον τίνι χρεία τῷ θαύματι. Ὑπακούσωσιν οἱ λίθοι

προ-

προσάπτοντι, κἀγὼ πιστώσω τῇ κλήσει. Αἰδεσθῶσιν ἐκεῖνοι ἐπίταγμα, καὶ συνέχω τῷ θαύματι. Δέξονται τὴν φωνὴν, καὶ σωτήθεμαι τῇ τιμῇ· ἀλλὰ γραφικοῖς ἐτοξεύετο ῥήμασιν· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ· ἀλλ' αἰχμωθεὶς τῇ προτέρᾳ πάλῃ, καὶ δευτέραν πεῖραν προσήγαγε. Ῥίψον φησὶν σαυτὸν ἄνωθεν κάτω· γέγραπται γὰρ, ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἀλλ' ἤκουσε πάλιν, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου· καὶ οὐκ ἐνάρκησε δευτέρᾳ πτώσει, ἀλλ' ἐπάγει καὶ τρίτην μηχανὴν προσδοκίᾳ νίκης πρὸς πτῶσιν δελεαζόμενος. Ταῦτα γάρ σοι πάντα δώσω φησὶν, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Ὁρᾷς μηχανημάτων γοργότητα; ὁρᾷς ἀπάτης παρασκευήν; ἀλλὰ ζεῖς μὲν μόνας ἴσως ἰδέας πειρασμῶν εἶναι νενόμικας τῷ τοῦ ἀριθμοῦ παρεπόμενος χήματι, ἅπαν δὲ πειρασμῶν εἶδος ἄρα ἐν τοῖς τρισὶ περιέχεται. Οὐ γὰρ ἂν ἐπαύσατο πειράζων, εἰ μὴ πᾶσαν αὐτοῦ τὴν φαρέτραν τῶν βελῶν ἐκένωσε. Πάσας γὰρ τὰς ἐξ ἡδονῆς μηχανὰς διὰ τῆς περὶ τὴν βρῶσιν ἐπιθυμίας προσήγαγε, μιᾷ προσβολῇ τοῦ τῶν ὀρέξεων ἀνακινήσας συγγένειαν. Εἰπὼν δὲ, ῥίψον σεαυτὸν, τὰς ἐκ μεγαλαυχίας μεθόδους ἐκίνησε. Τὸ δὲ, ταῦτα πάντα σοι δώσω, τοῦ χαλεπωτάτου τῶν ἁμαρτημάτων ῥίζαν τοῦ φιλαργυρίαν εἰσήγαγεν. Ἅπαν γὰρ εἶδος ἁμαρτημάτων ἐκ μιᾶς ταύτης φύεται ῥίζης, καὶ παρὰ ἀνθρώποις ἁμαρτία χώραν οὐκ ἔχει μὴ διὰ τούτων ὁδεύουσα. Ἡ γὰρ δι' ἡδονῆς τιτρώσκει, ἢ διὰ δόξης τοξεύει, ἢ χρημάτων ἔρωτι πρὸς πλημμέλειαν ἕλκει. Γυμνωθεὶς οὖν τῶν βελῶν, τότε τοῦ τοξεύειν ἐπαύσατο, καὶ γυμνὸν ἡμῖν αὐτὸν ὁ Χριστὸς τῶν μηχανημάτων κατέστησεν, ἀφράκτους αὐτοῦ τὰς ἀκίδας ἐργασάμενος· γνωρίμους τοὺς δόλους κατέστησεν, δυχείρωτον αὐτὸν τοῖς ἀνθρώποις ποιήσας. Τοῖς δεσποτικοῖς τοίνυν ἀγῶσι τοῦ νίκην

κερ-

περδαίωμεν. Χριστὸ πολεμοῦντος, οἰκεῖα σήσωμεν ξόπαια· μὴ ῥυπώσωμεν τὸν χιτῶνα τῆς πίστεως, ὃν ἡ χάρις ἐξύφανε· μὴ δωρεαὶ ἀτιμάσῃς, ἃ παρὰ Θεοῦ ἔλαβες. Ἐννόει τὸν δεδωκότα, καὶ τὸ δοθὲν διαφύλαξον· εἴ τινος μαργαρίτου φύλαξ, ἢ ἀλουργίδος καταςῆς βασιλικῆς, ἆρα οὐκ ἂν μέχρι θανάτου τῆς φυλακῆς ἐπεδείξω τιμὴ ἐπιμέλειαν; ἀλλὰ νῦν ὑ μαργαρίτης μόνον, οὐδὲ πορφύρας, οὐδὲ κτήματος ἁπλῶς βασιλέως, ἀυτὸ δὲ τὸ Δεσπότου κατεπιστεύθης τὸ σῶμα· μᾶλλον δὲ τί λέγω καπεπιστεύθης; ἀυτὸς γέγονας σῶμα δεσποτικόν· μέλος ἐγένου Χριστοῦ. Ἐνεδύσω Χριστὸν, καπὰ τὴν τοῦ Παύλου φωνήν. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο· μὴ γένου τῆς Χριστοῦ προδότης μελῶν. Ὑπῆρξας τοῦ Πνεύματος καποικητήριον, καὶ μέλος τοῦ ἐν οὐρανοῖς βασιλεύοντος. Ἀρεταῖς οὖν τὸ δῶρον φυλάξωμεν. Σωφροσύνης ἐπιμεληταὶ καταστῶμεν, φιλανθρωπίαν μετέλθωμεν, ἐλεημοσύνῃ προχειρισώμεθα, ἀπιστίας ἰὸν ἀποτιναξώμεθα, δόλον ἀποσραφῶμεν τὸν τοῦ διαβόλου φίλον. Μισήσωμεν τὸ ψεῦδος τοῦ πολεμίου τὸ ὄργανον. Μιμησώμεθα τὸν μακάριον Παῦλον, ὃς βαπτισθεὶς ἐκήρυττεν, ὃν πρὸ τοῦ βαπτίσματος ἤλαυνε· μιμησώμεθα τὸν τῆς Αἰθιοπίας Εὐνοῦχον, ὃς ἐν ὁδῷ τυχὼν τοῦ βαπτίσματος, ὁδὸς ἀυτὸς τοῖς πιστεύουσι τῆς Αἰθιόπων ἐγένετο. Πολυπλασιάσωμεν τὸ τῆς χάριτος τάλαντον, ἵνα τῆς πολυλίτου φωνῆς ἀκούσωμεν τοῦ Δεσπότου λέγοντος· εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ

Τ῀ Κυρίυ ἡμῶν Ἰησοῦ Χριστοῦ. Λόγος Α΄.

Οὐκ οἶδα ποίᾳ χρήσομαι γλώττῃ πρὸς τὴν τῆς παρέσης ἑορτῆς δύφημίαν· ποίῳ δὲ στόματι τὰ ἁρμόττοντα τῷ οὐρανίῳ φθέγξομαι θαύματι· ἑραῖον γὰρ τὸ σήμερον, ὡς ἴστε, Μυστήριον, ὡς ἄνωθεν τοῖς ἀρχαῖς ἐχθρός· ὅθεν γὰρ κατέβη, ἐκεῖ πάλιν ἀνέβη Χριστός· ὁ γὰρ καταβὰς αὐτός ἐστι φησὶ καὶ ὁ ἀναβάς. Κατέβη δὲ εἶπον, καὶ ἀνέβη, οὐ περιγράφων τὸν ἀκατάσχετον τόπῳ, οὐδὲ ἐν μέρει τὸν πανταχοῦ κανονίζοντα, ἀλλὰ τῷ τῆς οἰκονομίας λόγῳ τὸν ἀκατάληπτον ἐφθάσθαι πιστεύω. Οὔτε γὰρ κατελθὼν ἔλιπε τὸν ἑρανόν, οὐδὲ ἀναβὰς τῆς γῆς χωρισθείς, ἀφῆκεν ἡμᾶς. Τὸν οὐρανὸν γὰρ καὶ τοῖς γοῦν ἐγὼ πληρῶ, λέγει Κύριος· ὥστε τιμῆς ἐπάξιον καὶ δέον τὸ θαῦμα. Τὸ γὰρ παρὰ φύσιν, φόβος τῇ φύσει γεννᾷ. Ὥσπερ γὰρ ἄνθρωπος Ἄγγελον ἰδὼν ἐπὶ γῆς, κάμπτει τὸν αὐχένα, ὀρθοῖ τὰς τρίχας, καὶ τί τὸ τῆς ὀπτασίας αἴτιον καθ' ἑαυτὸν συζητεῖ, ἔτω δὴ καὶ τὰ τῶν ἀσωμάτων τότε πάγματα, σῶμα βαῖνον ἐπὶ νεφέλης ὁρῶντες, σὺν φόβῳ τὸ ξένον ἐζήτων τὸ θαύματος· καὶ τῆς ἐρμηνίας τεκμήριον τὸ Δαβιτικὸν ἡμῖν λόγιον, ὅπερ ὡς πυθομένων τῶν ἄνω Δυνάμεων παρὰ τοῦ Προφήτου βεβόηται, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; τὸν γὰρ ἐν τῇ φαινομένῃ σαρκὶ σαρκωθέντα τέως οὐκ ἤδεισαν ἕως ἂν πάλιν αὐτήκουσαν τὸ, Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης. Ἐν γὰρ τῷ ὄρει τῶν ἐλαιῶν Χριστὸς ἀναβὰς, καὶ τῆς τῶν ἑρανῶν λαβόμενος κορυφῆς, τῶν τε μαθητῶν ἐκεῖσε τὸ σίφος ῥυθμίσας, αἴρεται ὁρώντων αὐτῶν μεταρσίῳ φορᾷ, πρὸς οὐρανὸν ἀνόρμων ἐκ γῆς, ἐν σαρκὶ μεσιζόμενος, Θεότητι

τητι δὲ τῷ παντὶ συμπληρέμενος, μᾶλλον δὲ μὴ χωρέμενος. Τοιοῦτος γὰρ ὁ δεσπότης ἡμῶν Χριστὸς, καὶ σωτὴρ Ἰησοῦς· καὶ ἐν γαστρὶ κυοφορέμενος, καὶ τῷ πατρὶ συγκαθεζόμενος· καὶ ἐκ γυναικὸς τικτόμενος, καὶ τὰ τικτόμενα διαπλάττων ἐν μήτρᾳ παιδία· καὶ σπαργανέμενος μετὰ πόνου ἐν ῥάκεσι, καὶ τὸν οὐρανὸν περιβάλλων νεφέλαις. Καὶ ἐν φάτνῃ ἀνακλινόμενος, καὶ ἐν ἀπεράντοις αἰῶσιν ἀναπαυόμενος· καὶ παρθενικῷ μαζῷ γαλουχέμενος, καὶ βοσκῇ πάσῃ σαρκὶ παρεχόμενος· καὶ μητρικαῖς ἀγκάλαις περιφερόμενος, καὶ τοῖς Χερουβὶμ ἐποχέμενος· καὶ αὔξων, καὶ πάσῃ μέτρα τιθεὶς ἡλικίᾳ. Καὶ ἐπ' ἄκρων κυμάτων περιπατῶν, καὶ καθ' ὁδὸν κοπιῶν· καὶ ἐν Ἰουδαίᾳ παρὰ Ἰουδαίων κρατούμενος, καὶ τῷ παντὶ μὴ χωρέμενος· καὶ σταυρῷ τὰς χεῖρας ἁπλούμενος, καὶ τιμὼ γλῶ ἐν τῇ δρακὶ θέμενος· καὶ θνήσκων, καὶ θανάτῳ κτείνων τὸν θάνατον· καὶ νεκρέμενος, καὶ τοὺς νεκροὺς ἀνιστῶν· καὶ τῆς γῆς μὴ χωριζόμενος, καὶ εἰς οὐρανὸν ἀναλαμβανόμενος. Νεφέλη γάρ φησιν ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Οὐκ εἶπεν ἔλαβεν, ἀλλ' ὑπέλαβεν. Δηλοῖ γὰρ, ὡς ὁ περιέχε τὸν ἀχώρητον, ἀλλὰ τοῖς τοῦ ἀναπαλήπτου τὸ νέφος ὑπεσρώθη ποσίν· ὃ δὴ μάλιστα θαῦμα ἄνω τὰς τῶν Ἀποστόλων τρὸς αἰθέρα ἐδέσμει μορφάς. Ἀτενίζοντες γάρ φησιν ἦσαν εἰς τὸν οὐρανὸν, πορευομένου αὐτοῦ· ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, οὐχ ἁπλῶς ὁρῶντες, ἀλλ ἀτενίζοντες. Σωμτονον ὄμμα τρὸς τὸ παντέφορον ἐστήριζον ὄμμα. Οὐ ποσῶτον δὲ οἶμαι τὸ βλέμμα, ὅσον ἐρεύνη κατέτεινον τὸ φρόνημα. Τίποτε ἄρα ἐννοοῦντες τὸ ξενον τοῦτο θεώρημα; αἰθεροβάτης ἡμῶν μετὰ σώματος ὁ Διδάσκαλος. Λαμπρὰν ὑπὸ πόδας τανύσας ἔχει νεφέλην, φέρει τὴν φέρουσαν, γῆθεν φερόμενος. Ἦν πατεῖ τρὸς ὕψος ἀνέλκει ποδί. Τὸν ἐπὶ τῆς θαλάττης περίπατον πάλιν ἐμιμήσατο. Ὡς τότε ἐπὶ ὑδάτων, βαίνει καὶ νῦν νέφει ὑδροπόρῳ. Ἆρα χωρεῖς σώματος τρὸς

τὰς

τὰς ἀσωμάτους δυνάμεις φοιτᾷ; ἢ μετὰ σαρκὸς, ὡς καὶ ταύτης ἐκτὸς κρατεῖ τῶ παντός;

Ταύτας αὐτῷ τὰς ἐννοίας ὡς Θεὸς ὁ ἀναληφθεὶς ἐγνωκὼς, Ἀγγέλων πέμπει δυάδα τῷ ζητημένων Διδάσκαλον· οἱ καὶ παρεσῶτες αὐτοῖς αὐτίκα φθέγγονται λέγοντες· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν ὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, ὕπως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Οὕπως ἐλεύσεται, ὡς ἀνερχόμενον ἴδετε. Οὐκ ἀποτίθεταί φησιν, ὡς ὑμεῖς ἐν ᾧ ὑπάρχετε σώματι. Οὐ γὰ εἰς χῆσιν ἔλαβεν, ἀλλ' εἰς ἀπέραντον κτῆσιν τὴν σάρκα. Οὐ πρὸς καιρὸν σεσωμάπωται, ἀλλ' εἰς ἀεὶ λοιπὸν ὡς οἶδε σεσάρκωται· οὐκ ἄλλως ἀνείληπται, ἑτέρως δὲ παρέσεται. Οὕτως ἐλεύσεται· ὅπω. Πῶς; ὡς ἐκ Μαρίας γεγένηται, ὡς μεθ' ὑμῶν συνανέστραπται, ὡς τῷ σαυρῷ παραδέδοται, ὡς ἐκ νεκρῶν ἀνέγήερται, ὡς τὰς τύπας τῶν ἥλων ὑπέδειξεν, ὡς τῇ πλευρᾷ παρὰ τὸ Θωμᾶ ἐψηλαφᾶτο. Μένει γὰ ἡ πληγὴ πρὸς ἔλεγχον οἱμαι τῆς παρὰ τῶν Ἰουδαίων σφαγῆς. Καὶ τούτου μάρτυς Ζαχαρία ὁ προφήτης· ὄψονται λέγων, εἰς ὃν ἐξεκέντησαν. Οὐκ εἶπεν ὃν ἐξεκέντησαν, ἀλλ' εἰς ὃν ἐξεκέντησαν. Εἰς τὸν τόπον ἐμβλέψουσιν, ὅπερ τῇ λόγχῃ ἐνέπηξαν. Τὸ τῆς ἀχράντου βαῦμά φασι γνωρίσμασι λαγόνος. Τῆς οἰκείας εἰς τὸ θεῖον τοῦ Χριστοῦ πραγματείας! νεκρὸς ἀνέστησε, καὶ τῶν ἰδίων χειρῶν τοὺς ἀνασκολοπισμοὺς οὐκ ἀπούλωσε. Τὸν θανάτον τῷ θανάτῳ ἐπάτησε, καὶ τῇ τοῦ σιδήρου πληγῇ ἐκ ἰάσατο. Διατί; ἵνα ἐμμάρτυρον τοῖς ἀδίκοις ἐκτίσοιτο τὸ τοῦ πολεμήματος ὄφλημα. Ἔρχεται γὰρ κράτος μὲν ἔχων κρείττον, φέρων δὲ συγκατάβασιν ἀδελφοῦ. Οὐκ ἐκ βίας, κρείνων δὲ ἕκασον ἐκ τῆς τῶν οἰκείων ἔργων αὐτοῦ μαρτυρίας, κατὰ τὸ παρὰ τοῦ Δαβὶδ εἰρημένον· ἐλέγξω σε, καὶ παρασήσω κατὰ πρόσωπόν

πόν σε τὰς ἁμαρτίας· ἐντρέψει γὰρ Ἰουδαίους, εἰ καὶ μὴ χείλεσι, τότε τοῖς μώλωψι, καὶ τῇ τῆς πλευρᾶς θέᾳ πρὸς αὐτοὺς ἀφήσει φωνάς. Ἐγὼ πρὸς ὑμᾶς ἐλήλυθα δι' ὑμᾶς, ὑμεῖς δὲ κακὰς ἀντὶ ἀγαθῶν ἀπεδώκατέ μοι τὰς ἁμοιβάς. Ἴδετε κατὰ τίνος τὸ ξίφος ὠξύνατε; καθ' οἵας Παυδεσπότου πλευρᾶς ἐπαφήκατε τὰς πληγάς; ἀμνοῦ με δίκλω ἐθύσατε, καὶ τῷ ἐμῶν σαρκῶν ἄγευστοι μεμενήκατε. Ὑμᾶς καθ' ὑμῶν τῷ παρ' ἡμῶν εἰς ἐμὲ γεγενημένων λαμβάνω κεφαλάς. Δικάσατε, εἰ δέον ὑμᾶς παρ' ἃ πεθύκατε συγγνώμην ἔχειν, εἰ εὔλογον δι' ἃ κεφαλὴν πεφονεύκατε ζητῆσαι τὸν ἔλεον. Εἰ γὰρ πᾶς κεφαλὴν καὶ τὸν κατ' ἄλλα θανάτου ἐκζητεῖ, πόσῳ μᾶλλον αὐτὸς καὶ τιμὴν κατ' αὐτοῦ γενομένην λῃστείαν; εἰ γὰρ καὶ ἄφες εἶπε, Πάτερ αὐτοῖς, τοῖς οὐκ εἰδόσιν εἶπεν ὃ ἔδρασαν. Μετὰ δὲ γνῶσιν, ἅπας τρόπος αὐτοῖς ἀπολογίας γυμνός. Ταῦτα ἐρεῖ τότε πρὸς Ἰουδαίους Χριστὸς, πρὸς ἡμᾶς ἐλθόμενος. Πῶς ἐλθόμενος; ὡς ὁραθῆναι πεθέλησεν ἀναλαμβανόμενος· ὡς ὁραθήσεται πάλιν ἐρχόμενος. Ἐν ταύτῃ γὰρ τῇ σαρκὶ δικάσει πάσῃ σαρκί· ἐν ταύτῃ τὸ παύδημον συγκροτήσει κριτήριον· ἐν ταύτῃ γυμνὸν καὶ τεθαρρηκὸς ἀπαιτήσει λογοθέσιον. Ἡμεῖς δὲ τὸν ἐξ ἡμῶν κριτὴν ἡμῶν δίφημος ἀθλοφημήσωμεν· τὸν ὑπὲρ ἡμᾶς καθ' ἡμᾶς δι' ἡμᾶς γενόμενον δοξάσωμεν. Συγγενῆ τὸν αὐτὸν δεσπότην καὶ κεφαλὴν θαρρήσωμεν ἔχοντες. Ἀποστολικῶς τὸν τῆς λόγου πέως δεσμὸν ἐκπομβώσαντες, εἴπωμεν ὁμολογουμένως. Μέγα τὸ τῆς εὐσεβείας Μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκί· ἐδικαιώθη ἐν πνεύματι· ἐπιστεύθη ἐν κόσμῳ· ἀνελήφθη ἐν δόξῃ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ

Τῦ Κυρίυ ἡμῶν Ἰησῦ Χριστῦ. Λόγος Β'.

Ἡ μὲν τῆς Ἀνασάσεως μνήμη, τὰ κατὰ τὸν θανάτου τοῖς ἀνθρώποις χαρίζεται νικητήρια· ἡ δὲ παροῦσα πανήγυρις πρὸς οὐρανὸν ἀνάγει τὸν ἄνθρωπον, καὶ πὰς ἐν γῇ διαζιβὰς ἀλλάξασα, τὸν οὐρανὸν βατὸν τοῖς ἀνθρώποις ἐργάζεται. Οὐ γὰρ ἐχθρῶ τὸν θανάτον κεκρατηκότα, πάλιν τὸ ἀνθρώπινον γένος, ἀφιέναι τοῖς τῦ θανάτου χωρίοις αὐλίζεθαι. Νῶ μοι μέγα φρονεῖν ἀληθῶς κατὰ τῆς διαβολικῆς τυραννίδος ἐπέρχεται, ὅταν ἴδω σήμερον τοῦ ἐμῦ γένυς τλῶ ἀπαρχλῶ ἐν οὐρανοῖς βασιλεύσα. Νῶ πέπτωκε τοῦ πολεμίου τὸ κράτος, ἀπέλιπε τὰ διαβόλυ τὰ μηχανήματα. Οὐκ ἔτι ταῦτα Παράδεισος ὦ διάβολε, οὐδὲ φυτοῦ τέρψις πρὸς ἀπάτλω θηρεύσα; ἵνα πάλιν λύσας μυ τὰ νόμυ τὸν φόβον, κυρώσῃς τὸν θάνατον. Οὐκέτι, γῆ εἰ μὴ εἰς γλῶ ἀπελεύσῃ, ἀκέω· ἀλλ' εἰ καὶ γῆ εἶ, πρὸς οὐρανὸς ἀπελεύσῃ, διὰ τλῶ τὰ αὐάγοντος ἀγαθότητα. Καταλιμπάνω τὸ τῆδ ἁμαρτημάτων χωρίον, παραχωρῶ σοι τλῶ γλῶ, ἐφ' ἧς ἐπάχθλω, ἀφ' ἧς ἐτράφλω. Εἰς οὐρανὸν μετοικίζομαι τῆς σῆς ἀπάτης ἐλεύθερος. Πάλαι μέν σοι φυτὸν πρὸς τλῶ τὰ Ἀδὰμ αἵρεσιν ἤρκεσεν, ὅτε πλήξας τῆδ τοῦ ξύλου καρπῷ τὸν πρωτόπλασον, ἔξω γενέθαι τῆς τοῦ Παραδείσου ζυφῆς κατλωάγκασας· νῶ δὲ καὶ πᾶσαν κενώσῃς τλῶ φαρέτραν, κατὰ σεαυτὰ φέρεις τῆδ τοξευμάτων τὰ βλήματα. Πὰ σοι λοιπὸν διάβολε, παλαιᾶς ἀπάτης τὰ μηχανήματα; πὰ σοι ὁ σοφιστεύων ὄφις, ἵνα τλῶ Εὔαν χωρίσῃ τὰ παραδείσου, τὸ, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς Θεοί, προσφθεγγόμενος; γέγονάς μοι τῶν ἀγαθῶν προφήτης ἀκούσιος. Αἷς γὰ πρὸς ἀπάτλω ὑποχέσεσιν ἐχρήσω, ταύτας διὰ πραγμάτων ἐκέρδανα.

Γέγονέ μοι τῆς ἐπαγγελίας ἡ φαντασία, διὰ τῆς πείρας ἀλήθεια. Ὦ θαυμάτων ἀπίστων καὶ ξενίων τῆς φύσεως! Οἷς ὁ Παράδεισος ἀπεκλείσθη, τούτοις ὁ Οὐρανὸς ἀνεῴχθη. Ὁ πρὸ βραχέος ἐπὶ Πιλάτου κρινόμενος, σήμερον ἐν ὑρανῷ κριτὴς ἐνθρονίζεται. Ὁ παρὰ Ἰουδαίων γελώμενος, πάσης τίμιος. Ὁ ταῖς Ἰουδαϊκαῖς ἀκανθαις τὴν κεφαλὴν στεφανόμενος, θείας ἀξίας διαδήμασι σφίγγεται. Ὦ ποσάκις ἡ τοῦ Δαβὶδ κιθάρα τὰ παρόντα ἐθέσπιζεν! εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Νῦν ἀληθῶς γέγονε τὰ πρόσματα πράγματα, καὶ ἃ πρότερον ἰδεῖν ἐν μέλεσιν ἐπεθύμησε, σήμερον εἶδεν ἐν πράγμασι· καὶ γέγονε μελῶν ὑπουργὸς ὑρανὸς, τὸν παρ' ἐκείνῳ μνημονεύόμενον τοῖς νώτοις ὑποδεχόμενος. Καίτοι καὶ παρ' αὐτὸν τὸν πόνον οὐρανὸς ἔτι τικτομένῳ δι' ἀστέρος ὑπέκυπτεν, ὥσπερ ἐπειγόμενος καὶ πρὸ καιροῦ δέξασθαι τὸν ἐν σπηλαίῳ κρυπτόμενον, ἀλλ' ἔδει τοὺς τῆς οἰκονομίας καιροὺς καὶ ὅρους φυλάττεσθαι. Ἐμοὶ μὲν θαυμάζειν ἐπέρχεται, πῶς τὸν τοῦ γένους αἰσχύνην εἰς δόξαν μετέβαλε; πῶς τὸν Θεοῦ πρὸς ἡμᾶς ἀγανάκτησιν εἰς μεγάλην εὐμένειαν ἤνεγκεν; Ἔπλασεν ἡμᾶς χερσὶν οἰκείαις ὁ Θεὸς, τροφῆς αὐτοσχεδίου κτήτορας ἔδειξε, ζυφῆς ἐξουσίαν, γῆς ὑπουργίαν ἔδωκεν, ἀέρος δρομείαν, θαλάττης εὐπορίαν παρέσχετο, ἡλίου βολὰς, σελήνης αὐγὰς, ἀστέρων φορὰς, ζώων πάντων ὑποταγάς. Παρῆλθέ τις ἐν μέσῳ πολέμιος διαβάλλων εἰς φθόνον Θεὸν, ἔπεισεν ἀπατῶν, γίνεται τῆς ἐκείνου πτερίδος ὁ ἀπατώμενος, ἀντιθείας ἐνέσπασε πάθος, συνέθετο λάθρα κατὰ τοῦ Θεοῦ, ἐκτείνει τὴν χεῖρα κατὰ τοῦ τῶ Θεῷ προσαγμάτων. Ἐπιφαίνεται Θεὸς, ἐλέγχει τὰς παρανόμους ἐλπίδας. Φεύγει τὴν θέαν ἡ τῆς γενέσεως ἀρχὴ, καὶ παραιτεῖται τὸν ἔλεγχον. Ὑπὸ δενδρον κρύπτεται, φοβουμένη τὸν κτύπον ἡ παρανόμως φανταθεῖσα Θεότητα. Τῆς οὖν

ἀξίας

ἀξίας γυμνώσας Θεὸς, τῷ Παραδείσῳ ἀποθεῖναι τὸν ἄνθρωπον, μονονοὺχὶ τοιαῦτα πρὸς αὐτὸν ἀποφθεγγόμενος· οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐτεκτηνάμην ἐγώ· οὔτε διὰ ταῦτα ἐν ταῖς χερσί μου ταύταις διέπλασα, τὸν πηλὸν εἰς φύσιν μεταμορφώσας. Σὺ δὲ ἣν ἔλαβες παρ' ἐμοῦ χεῖρα καὶ τῆς ἐμῆς ὑξέτεινας ἐντολῆς, καὶ γέγονας διαβόλου συμμύστης, καὶ τῷ Ποιητοῦ συμφρυαξάμενος. Τοιγαροῦν ἔξιθι τῆς ἀξίας, ἐντίμου χωρίου μεθίσασο. Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ὑπόστρεφε πρὸς αὐτὸν, τὰ ὑπὲρ αὐτὸν φαντασθείς· ἀναπαμπτέτω πάλιν ἡ φύσις, μάθε μητέρα τὴν γῆν, θανάτῳ πρὸς αὐτὴν παραπεμπόμενος. Ταῦτα τῆς διαβολικῆς ἀπάτης τὰ ἔπαθλα· ταῦτα τῆς τοῦ γένους ἀρχῆς τὰ γνωρίσματα. Τοῦτο τὸ ἐλεεινὸν δρᾶμα συνεισῆλθε τῇ φύσει. Ἀλλ' οὐκ ἄχρι παντὸς ἐῴηκεν ὁ Δημιουργὸς, ὁρῶν τὸ δημιούργημα σωζόμενον. Ὠκτείρε δὲ αἰδημονοῦσαν καὶ πενθοῦσαν τὴν φύσιν, καὶ ἠλέησε τὴν ἐν τῇ κτίσει πλανωμένην εἰκόνα. Τί οὖν ποιεῖ; πλάττει πάλιν ἕτερον Ἀδὰμ, ἐκ τῆς φύσεως ἐγείρων προσάτην τῇ φύσει, καὶ χοῦν ἐκ Παρθένου δανεισάμενος, μορφοῖ πρὸς ἀληθεστέραν εἰκόνα, ἐν ἑαυτῷ τὸ πλαττόμενον ἔμβρυον πλάττει, καὶ μένει σὺν αὐτῇ ὑφαίνων ἐν μήτρᾳ, ὡς ἐν θαλάμῳ βασιλικῷ ἐνδύεται τὴν εἰκόνα, ἵνα τῆς εἰκόνος περιέλῃ τὴν γύμνωσιν. Ἔδειξε γὰρ ἀπάτης ἰσχυρότερον καὶ ἁμαρτίας αὐστηρότερον· ἀθανάτου καὶ μετὰ θανάτου, καὶ λυτῆρα τάφων ἐν τάφῳ γενόμενον, καὶ ἀθανασίᾳ στεφανώσας σήμερον εἰς Οὐρανὸν ἀνεκόμισε. Κοινὸν ἐγκαλλώπισμα τῇ κτίσει τὴν τῆς φύσεως ἀπαρχὴν δωρησάμενος. Ἆρ' ἴσμεν, εἰποιτις ἄν, ὡς πότε θυμῷ μὲν πρατόμενος ὁ Δημιουργὸς, παρὰ πόδας ἔσης τῆς παραβάσεως, τὴν εἰκόνα ἐβδελύττετο· καὶ μισήσας τὴν γνώμην, τὴν φύσιν κατεδικάζετο. Νυνὶ δὲ χρόνῳ μεταμαθὼν τὴν ἀγανάκτησιν, μαλαχθέντος τοῦ θυμοῦ, τὸν ἀδικηκότα φιλανθρωπεύεται; ἴσμεν. Οὔτε δὲ ἐκεῖνα

κεῖνα θυμὸς, ὅτε τοῦτα μεταμέλεια πάθος χαρίζεται· ἀλλ' ἄνωθεν ὁρῶν, τάξιν βραβεύει τοῖς πράγμασιν. Ὁρῶν γὰρ τῇ τε θανάτῳ καταδίκῃ τὴν φύσιν ὀκλάζουσαν, καὶ τῷ ἀνθρωπίνων ὠδίνων ἕτοιμον τὸν πάφον διάδοχον, καὶ πλεῖστον τοῦ ᾄδου γινομένῳ τῷ ἀνθρώπων τὴν θήραν, καὶ καθημέρας θανάτου γινόμενον παρανάλωμα, λύων τινὰ τῆς ἀπειλῆς ἀκμὴν ὁ Θεὸς, ἐλπίδα δίδοὺς ἀθανασίας ἀνατέλλει τῇ γενεᾷ, καὶ τὸν Ἐνὼχ ἐκ μέσου ἁρπάσας, θάνατον ἀνθρώπων ἠτιμωμένον ἔδειξε, καὶ θνητὴν φύσιν ἐδίδασκεν ὅρους ἀθανασίας ἐκδέχεσθαι, καὶ τέως θανάτου δρόμον ἐμανθάνομεν ἐμποδίζεσθαι, καὶ ἡ τοῦ δικαίου μετάστασις θανάτου στάσις ἐγίνετο. Τοῦτο γινόμενον ἐν μέσῳ πεύθει παλινῳδίαν τινὰ φύσιν ἐδίδασκε, καὶ χρηστὰς ἐλπίσιν ἀνίεσθαι. Ἵνα δὲ μὴ χρόνος πάλιν ἐν μέσῳ ῥέων πολὺς καταλύσῃ τινὰ μνήμην τοῦ θαύματος, καὶ τὰ τῆς ἐλπίδος ἴχνη ἀπαλείψας τινὰ ἀθυμίαν αὐξήσῃ, καὶ πάλιν ὁ θάνατος κατὰ τῶν ἀνθρώπων φοβερώτερος φαίνηται, ἀναλαμβάνει τὸ θαῦμα, καὶ διπλασιάζει τὸ δῶρον, καὶ παρὼν Ἠλίας νικητὴς κατὰ τοῦ θανάτου καλούμενος· ὃν φωνῇ τὰς νεφέλας ὑποδραμὼν, Οὐρανῷ περὶ ἀβροχίας ἠπείλησε, καὶ ῥήματι δήσας τινὰ κτίσιν, ἰοῖοχος τῷ στοιχείων ἐγένετο, γλώττῃ μακρᾷ, τῆς κτίσεως συσείλας τὰς οἰακας. Τότε τὸ μέγα θαῦμα δείκνυται, ἄνθρωπον Οὐρανὸς αἰχμώμενος· ἵνα δὲ μὴ τὸ τοῦ ἀνδρὸς δίτελὲς ὑποκλέψῃ τῆς καὶ τοῦ θανάτου νίκης τινὰ αἴσθησιν, γνώριμον αὐτὸν πρῶτον τῇ κτίσει πάσῃ προτίθησι, καὶ τότε πυρὸς ὀχήματι ἐπιβὰς, παραδόξῳ πτήσει καὶ δρόμῳ κάπω καταλιμπάνει τὸν θανάτον, καὶ ἀλλάσσει τὸν νόμον τῆς φύσεως ἡ ἀξία τῆς χάριτος· ἀνελήφθη γὰρ Ἠλίας ὡς εἰς τὸν Οὐρανὸν, καὶ κέκραγεν ἡ γραφὴ τὸ θαῦμα, τοῖς ὅλοις αἰῶσι τῇ φωνῇ παραπέμπουσα. Σὺ δέ μοι λοιπὸν ἀγαπητὲ, τῆς λέξεως τινὰ ἀκρίβειαν σκόπησον, καὶ μή σε διαλάθῃ συλλαβῆς γραφικῆς περιουσία καὶ δυνάμις

μὴ

μὴ δὲ τῆς λέξεως παραδρομῇ, τῷ Δεσπότῃ τὸν οἰκέτην νομίσῃς ἰσότιμον. Οὐ γὰρ εἰς Οὐρανὸν Ἠλίας ἀέρχεται, οὐδὲ διαδραμὼν τὸ στερέωμα, τοῖς ἐκεῖσε χωρίοις ἀυλίζεται. Ἀλλ' ἄκουσον τί φησιν ὁ ἀνάγων. Ἐν δὲ τῷ ἀνάγειν Κύριον τὸν Ἠλίαν ὡς εἰς τὸν Οὐρανὸν, ἢ πάλιν μικρὰ λέξις, ἔστησε τὸν Ἠλίαν πρὸς τὰ ἄνω φερόμενον· ἀρκεῖ γὰρ τῷ Προφήτῃ τιμηθῆναι τῷ τύπῳ. Πρὸ γὰρ τῆς Δεσπότου τὸν οἰκέτην Οὐρανὸς οὐχ ὑποδέχεται· οὐδεὶς γὰρ ἀναβέβηκεν εἰς τὸν Οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ Οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ Οὐρανῷ. Ἔπρεπε γὰρ τῇ τῶν ἀνθρώπων ἀπαρχῇ διὰ τὸν τῶν ἀνθρώπων Ποιητὴν, ὁ Οὐρανός. Οὕτω μὲν οὖν περὶ τὸν Ἐνὼχ καὶ Ἠλίαν ὁ Θεὸς ἀγαθῇ ἐλπίδι εὔφρανε τοὺς ἀνθρώπους, δι' ὧν ἀνθρώποις ἔσει τὸν τοῦ ἀέρος δρόμον ἱππήλατον ἥπλωσεν.

Οὐ μὴν ἄχρι γε τούτων ἔστησε τῶν ὑπὲρ τὴν φύσιν τὴν πίστιν, ἀλλὰ καὶ διὰ τῆς καθημέραν θεωρίας ἐθάδας γενέσθαι παρασκευάζει τὸ θαύματος. Τί γὰρ ποιεῖ; προστάττει τὸν συγγραφέα Μωσέα εἰκονογράφον τῆς κτίσεως γενέσθαι, καὶ διὰ σκιωῆς μιμήσασθαι τὸν Ποιητὴν ἐγκελεύεται. Γῆς μὲν μίμημα καὶ τῆς ἐν τῇ γῇ, τὸ τῆς σκιωῆς πρόσωπον θεωρέμενον· τὰ δὲ τῆς σκιωῆς ἐνδοτέρω διατειχίσας παραπετάσματι, καὶ ἀνθρώποις καταλείψας ἀθέατα, Οὐρανὸ τινα τάξιν, τῷ μὴ φαινομένῳ μέρει χαρίζεται. Ἀλλ' ἔτος Οὐρανὸ καὶ γῆς διὰ τῶν χρημάτων νομοθετήσας τὴν μίμησιν, τὰ ἐν ἀδύτῳ ἄβατα πάλιν ἀνθρώποις εἶναι θελήσας, μόνῳ τῷ ἀρχιερατεύοντι τῷ ἀπορρήτων ἀνοίγει τὴν εἴσοδον, τῆς εἰς Οὐρανὸν ἀνόδου τὴν τότε Ἀρχιερέως εἴσοδον τυπικῶς ἐργαζόμενος, ἵνα ὁρῶντες οἱ τότε τὸν Οὐρανὸν ἐν τύπῳ διατεμνόμενον, καὶ τὸν Ἀρχιερέα μόνον τῶν ἀβάτων καταπολμῶντα, προεθισθῶσι τῇ θέᾳ, καὶ μὴ πολεμῶσι τοῖς θαύμασι. Τούτων ὑπομιμνήσκων Ἰουδαίους ὁ Παῦλος ὁ τῆς οἰκουμένης

νης παιδεύτης, ἐβόα τῷ χράμματι· εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ Ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Χριστὸς δὲ παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν ἐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος ταύρων καὶ τράγων, διὰ δὲ τοῦ ἰδίου αἵματος, εἰσῆλθον ἐφάπαξ εἰς τὰ ἅγια. Καὶ πάλιν μετὰ βραχέα· ἃ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν Οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. Οὕτως οἶδε καὶ τύποις ἐπιτρέπειν τοὺς ἀπίστους ὁ Θεὸς, καὶ θαύμασι πιστεύεσθαι τὰ θαύματα. Οὕτω Χριστὸς ἀνήρχετο εἰς Οὐρανόν· ὅπως τοὺς τύπους ἔργῳ ἀληθείας ἐκύρωσεν. Ἔδει μὲν ἓν συνάπτεσθαι τῇ ἀναστάσει τοῦ Σωτῆρος τὴν ἄνοδον, καὶ τὸν τοῦ ᾅδου νικητὴν, εὐθὺς τὸν Οὐρανὸν ὑποδέξασθαι. Ἀλλ' ἵνα μὴ τὸ πάχος τῶν γινομένων κλέψῃ τὴν αἴσθησιν, παγῶσι τῷ χρόνῳ βέλεται τοῖς Ἀποστόλοις διὰ τῆς θεωρίας τὰ θαύματα, καὶ τῇ συνεχεῖ τῶν ὀμμάτων προσβολῇ, τῇ ψυχῇ παραπέμψαι τὴν πίστιν, συνεστιᾶται τοῖς Μαθηταῖς, ἀπολαύει τροφῆς ἀνενδεὴς ὤν, συγχωρεῖ ψηλαφᾶσθαι τὸ σῶμα, μάρτυρας τῆς ἀληθείας οὐκ ὀφθαλμοὺς μόνον, ἀλλὰ καὶ δακτύλους ἐφελκόμενος. Λύσας ἓν τῆς φαντασίας τὴν ὑποψίαν τῷ χρόνῳ τῆς παρουσίας, καὶ τὸ πρὸς τὴν ἀποδημίαν εἰκότα τοῖς Ἀποστόλοις φθεγξάμενος, θεατὰς τῆς ἀνόδου τοὺς μαθητὰς ἀπεργάζεται. Ἔδει γὰρ τῶν θαυμάτων τοὺς κήρυκας, ἀναντίρρητον φέρειν τῶν κηρυττομένων τὴν γνῶσιν. Ἀνήγετο μὲν ἓν ὁ Σωτὴρ, ἔβλεπον δὲ κάτωθεν οἱ Μαθηταὶ, νέφος δὲ τοὺς πόδας ὑποδραμὸν, ὄχημα πρὸς τὸν δρόμον ἐγίνετο. Ὦ παραδόξων θαυμάτων! Ὁ ἀὴρ διοδεύεται, αἰθὴρ διαδέχεται, Ἄγγελοι

συμ-

συμπαραξέχοντες ἄσμασιν ἐπινικίοις ἐπαγγύιζον, ἐκπεπληγμένους τῇ θέᾳ τοὺς Μαθητὰς ἑορτάζειν ἔπειθον· τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν Οὐρανόν; τί ἑστήκατε; τῷ κόσμῳ τὸ θαῦμα κηρύξατε, τῇ ἀποδημίᾳ τιμὴ παρουσίαν. Οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν Οὐρανόν. Τούτων ἀκούσας τῶν φωνῶν ὁ Παῦλος, τῆς φωνῆς ἀφίησι τὰς σάλπιγγας· διὰ τῶν γραμμάτων κεκραγώς· ἡμῶν τὸ πολίτευμα ἐν Οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν. Τούτοις προστίθησι τοὺς ἀνθρώπους, λέγων· ὅτι ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀέρα, εἰς ἀπάντησιν τοῦ Κυρίου. Καὶ τρόπον οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος. Ἐκ τῆς δεσποτικῆς τοίνυν Ἀναλήψεως τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου καὶ ἀληθινοῦ Θεοῦ Ἰησοῦ Χριστοῦ, τὰς ὁμοίας ἐλπίδας τρυφήσαντες, λέγωμεν πρὸς αὐτόν· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ὅτι σοὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΡΗ-

ΓΡΗΓΟΡΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΕΙΣ ΠΟΥΛΧΕΡΙΑΝ ΕΠΙΤΑΦΙΟΣ.

Οὐκ οἶδα ὅπως τῷ λόγῳ χρήσωμαι· διπλοῦτε γὰρ ὁρῶ τὴν ὑπόθεσιν, καὶ σκυθρωπὴν καθ' ἑκάτερον, ὡς μὲ ῥάδιον ἔξω δακρύων τὸν λόγον ἐλθεῖν, ὅ, τιὲν ἐξ ἀμφοτέρων ἑλόμενον. Ἡ παροῦσα τοῦ χρόνου περίοδος, καθὼς ἡμῖν χθὲς τοῦτο παρὰ τοῦ ποιμένος ἤγγελτο, σκυθρωπῶν φαγμάτων τὴν τῇ γείτονι πόλει ποτὲ διὰ τὸ σεισμὸς συμπεπτωκότων περιέχει τὴν μνήμην· ἀ τίς ἀδακρυτὶ διεξέλθοι; ἡ δὲ μεγάλη καὶ περιφανὴς αὐτη καὶ τῆς ὑφ' Ἡλίῳ πάσης φροπεταγμένη Καλλίπολις ἄλλον σεισμὸν ὑπέσχη, καὶ ὁ μικρὸν ἀπεσυλήθη κόσμον, τὸ ἐν αὐτῇ λάμψαντος φωσῆρος εἰς φροθήκην τῆς βασιλικῆς ὑπηρεσίας ἀθρόως ἀφαιρεθεῖσα, καὶ διὰ τοῦτο τῇ κατηφείᾳ τὴν Βασιλέων συσκυθρωπάζουσα. Τὸ δὲ λεγόμενον, οὐκ ἀγνοεῖτε πάντως οἱ πληρώντες τὸν σύλλογον, ὁρῶντες αὐτόν τε τὸν τόπον τοῦτον ἐν ᾧ συνειλέγμεθα, καὶ τὴν ἐν τῷ τόπῳ κατήφειαν. Οὐκ οἶδα τοίνυν φρὸς ποῖον σεισμὸν βέψω τὸν λόγον, φρὸς τὸν νεῶ, ἢ τὸν πάλαι γενόμενον; ἢ καλῶς ἔχει φρὸς τὸ ὑπερβάλλον τὰ πάθος σιῶσαι, καὶ καταφραύνειν τῆς πόλεως τὴν ἰδίαν ἀλγηδόνα λογισμοῖς τισι τὸ πάθος καταφαρμάσοντα; Εἰ γὰρ καὶ μὴ πάντες οἱ τὰ κακὰ συμμετέχοντες τῷ συλλόγῳ πάρεισιν, ἀλλὰ διὰ τὴν παρόντων ἴσως καὶ εἰς τὰς μὴ παρόντας ὁ λόγος διαδοθήσεται· καὶ δὴ καὶ τὴν ἀξιῶν ἐκεῖνοι σοφοὶ, οἱ φρὸς τὸ πλεονάζον τὴν ἀλγηδόνων διὰ τῆς τέχνης ἰσάμενοι, τὴν δὲ ἧττον ὀδυνηρῶν τὴν θεραπείαν ὑπερτιθέμενοι· ὥσπερ δέ φασιν οἱ περὶ ταῦτα δεινοὶ, εἰ δύο κατὰ ταὐτὸν

σὺν

ἐνὶ σώματι πόνοι συμπέσοιεν, μόνε τὸ ὑπερβάλλοντος τὴν αἴσθησιν γίνεσθαι, ἐν τῷ πλεονάζοντι τῆς ἐπικρατούσης ἀλγηδόνος ἐκκλεπτομένης τῆς ἥττονος· ὅπω κἀγὼ ἐπὶ τοῦ παρόντος βλέπω· τὸ γὰρ νέον τε καὶ ἡμέτερον ἄλγημα, τῷ διὰ τῆς μνήμης ἀλγυνόντων ἡμᾶς ἔστιν ἐπικρατέστερον. Πῶς γὰρ ἂν αὖτις ἐπὶ τοῖς συμβεβηκόσι πάθοι; Τίς ἔτως ἀπαθὴς τὸν ψυχὸν; Τίς οὕτω τὸν ζόφον σιδήρεος, ὡς ἀναλγητὶ τὸ συμβαν δέξασθαι; Ἔγνωτε πάντως τὸν νέαν ταύτην περιστερὰν τὸν ἐνξεφομένην τῇ βασιλικῇ καλιᾷ, τὸν ἄρτι μὲν πτερυμένην ἐν λαμπρῷ τῷ πτερῷ, ὑπερβᾶσαν δὲ τὴν ἡλικίαν ταῖς χάρισιν, ὅπως ἀφεῖσα τὸν καλιὰν οἴχεται, ὅπως ἔξω τῷ ὀφθαλμῶν ἡμῶν ἀπέπτη, ὅπως αὐτὴν ἀθρόως ὁ φθόνος τῷ χειρῶν ἡμῶν ἀφήρπασεν· εἴτε περισεράν χρὴ λέγειν ταύτην, εἴτε νεοθαλὲς ἄνθος, ὃ ἔπω μὲν ὅλον τῷ καλύκων ἐξέλαμψεν, ἀλλὰ τὸ μὲν ἔλαμπεν ἤδη, τὸ δὲ λάμψειν ἠλπίζετο· κἀ ὅμως ἐν τῷ μικρῷ τε καὶ ἀτελεῖ ὑπερέλαμπεν· ὅπως ἀθρόως ἐναπέσβη τῇ κάλυκι, καὶ πρὶν εἰς ἀκμὴν προελθεῖν, καὶ ὅλον δρόσῳ πεπάσαι τὸ ἄνθος, αὐτὸ περὶ ἑαυτὸ κατέρρυη, καὶ κόνις ἐγένετο, ὃ ἔτε ἐδρέψατό τις, ἔτε ἐσεφανώσατο, ἀλλὰ μάτην ἡ φύσις ἐπόνησεν· ἃ τὸ μὲν ἀγαθὸν ἐν ἐλπίσιν ἦν, ὁ δὲ φθόνος ξίφος δίκην πλάγιος ἐμπεσὼν, τὴν ἐλπίδα διέκοψε. Σεισμός τις ἦν ἄντικρυς, ἀδελφοὶ, τὸ γενόμενον· σεισμὸς, ἐδὲν τῷ χαλεπῶν συμπτωμάτων φιλανθρωπότερος· ἐ γὰρ ἄψυχον οἰκοδομημάτων κάλλος διελυμήνατο, οὐδὲ ἀνθεῖς γραφὰς, ἢ λίθων περικαλλῆ θεάματα εἰς γῆν κατέβαλεν, ἀλλ' αὐτῆς τῆς φύσεως τὸ οἰκοδόμημα λαμπρὸν τῷ κάλλει ὑπεσράπτον ταῖς χάρισιν, ἀθρόως προπεσὼν ὁ σεισμὸς οὗτος διέλυσεν. Εἶδον ἐγὼ καὶ τὸ ὑψηλὸν ἔρνος, τὸν ὑψίκομον φοίνικα, τὸ βασιλικόν φημι κράτος, τὸν ταῖς βασιλικαῖς ἀρεταῖς οἷόν τισι κλάδοις πάσης ὑπερανεστῶτα τῆς οἰκουμένης καὶ πάντα διαλαμβάνοντα· εἶδον αὐτὸν τῶν μὲν ἄλλων

κρα-

κρατῆντα, τῇ δὲ φύσει καμπτόμενον, καὶ πρὸς τὴν ἀποβολὴν τοῦ αὔθις ἐπικλινόμενον· εἶδον καὶ τὴν δίγονῆ κληματίδα τὴν περιειλημμένην τῷ φοίνικι, τὴν τὸ αὖθος ἡμῖν τοῦτο ὠδίνασαν, οἵας ὑπέστη ἐκ δευτέρου πάλιν ὠδῖνας ἐν ψυχῇ, καὶ ἐν σώματι, ὅτε αὐτῆς ἔτος ὁ βλαστὸς ἀπετίλλετο. Τίς ἀσενάκτως τὸ πάθος παρέδραμε; τίς τὴν τοῦ βίου ζημίαν ἐκ ὠλοφύρατο; τίς ἐκ ἐπαφῆκε τῷ πάθει δάκρυα; τίς οὐ κατέμιξε τῇ κοινῇ συνῳδίᾳ τοῦ θρήνου τὰς ἰδίας φωνάς; Εἶδον θέαμα πιστὸν, ὃ καὶ αὖ εἰς πίστιν ἔλθοι τοῖς ἀκοῇ παραδεχομένοις τὰ θαύματα· εἶδον ὀξὺ ἀνθρώπων πέλαγος τῇ πυκνότητι τῶν συνεστώτων, οἷόν τι ὕδωρ κατὰ παῦ μέρος τοῖς ὀφθαλμοῖς προφαινόμενον· πλήρης ὁ ναὸς, πλῆρες τὸ ναοῦ τὸ προαύλιον, ἡ ἐκδεχομένη πλατεῖα, τὰ ἄμφοδα, ἡ μέση, τὰ πλάγια, ἡ ἐπὶ τῶν δωμάτων δύρυχωρία. Παῦ τὸ ὁρώμενον ἀνθρώπων πλήρωμα ἦν, ὥσπερ πάσης τῆς οἰκουμένης εἰς ταὐτὸν συνδραμούσης ἐπὶ τῷ πάθει. Θέαμα δὲ προέκειτο πᾶσι τὸ ἱερὸν αὖθος ἐκεῖνο ἐπὶ κλίνης χρυσῆς κομιζόμενον. Πῶς κατηφῆ πάντων ἰδεῖν τῶν προσορώντων τὰ πρόσωπα; πῶς δεδακρυμένα τὰ ὄμματα; χεῖρες ἀλλήλαις συναραττόμεναι; σπαραγμοὶ πρὸς τύπτοις τὴν ἐγκάρδιον ὀδύνην καταμιμούντες; Οὔ μοι ἔδοξε κατὰ τὴν ὥραν ἐκείνην, τάχα δὲ καὶ τοῖς ἄλλοις τῶν τότε παρόντων, τὴν ἐκ φύσεως χάριν ὁ χρυσὸς ἀποσίλβειν, ἀλλὰ καὶ αἱ τῶν λίθων αὐγαὶ, καὶ τὰ ἐκ χρυσοῦ ὑφάσματα, καὶ αἱ τοῦ ἀργύρου μαρμαρυγαὶ, καὶ τὸ ἐκ τοῦ πυρὸς φῶς, πολύτε καὶ ἄφθονον κατὰ τὰ πλάγια ἑκατέρωθεν τῇ συνεχείᾳ τῶν ἐκ τοῦ κηροῦ λαμπάδων παρατεινόμενον, πάντα τῷ πένθει συνεμελαίνετο, καὶ πάντα μετεῖχε τῆς κοινῆς κατηφείας. Τότε καὶ ὁ μέγας Δαβὶδ τὰς ἰδίας ὑμνῳδίας τοῖς θρήνοις ἔχρισε, καὶ αὐτὶ φαιδρᾶς χοροστασίας μεταλαβὼν τὸν γοερόν τε καὶ πένθιμον, ἐξεκαλεῖτο τοὺς θρήνους τοῖς μέλεσι· πάσης δὲ κατὰ τὸν καιρὸν

ρὸν ἐκεῖνον ἡδονῆς τῆς ψυχῶν ἀπελαθείσης, μόνον ἦν ἐν ἡδονῇ τοῖς ἀνθρώποις τὸ δάκρυον.

Ἐπειδὴ τοίνυν τοσοῦτον ἠττήθη τὸ πάθος ὁ λογισμὸς, καιρὸς ἂν εἴη τὸ κεκμηκὸς τῆς διανοίας διὰ τῆς τῶν λογισμῶν συμβελῆς, ὡς ἔστι δυνατὸν, ἀναῤῥώννυσθαι· κίνδυνος γὰρ οὐ μικρὸς, παραπέσαντας ἐν τούτῳ τῆς τοῦ Ἀποστόλου φωνῆς, συγκαταμεμιχθῶμεν τοῖς ἀνελπίστοις· φησὶ γὰρ, καθὼς τοῦ ὑπαναγινώσκοντος ἀρτίως ἠκούσαμεν, μὴ δεῖν ἐπὶ τῶν κεκοιμημένων λυπεῖσθαι· μόνον γὰρ τοῦτο τῶν οὐκ ἐχόντων ἐλπίδα τὸ πένθος εἶναι. Ἀλλ' εἴποιτις ἄν, οἶμαι, τῶν μικροψυχοτέρων, ἀδυνάτα κελεύειν τὸν θεῖον Ἀπόστολον, καὶ ὑπερβαίνειν τὴν φύσιν τοῖς ἐπιτάγμασι· πῶς γάρ ἐστι δυνατὸν ὑπεραρθῆναι τοῦ πάθους τὸν ἐν φύσει ζῶντα, καὶ μὴ κρατηθῆναι τῇ λύπῃ ἐπὶ τοιούτῳ θεάματι; Ὅταν μὴ καθ' ὥραν ἐν γήρᾳ συμπέσῃ ὁ θάνατος, ἀλλ' ἐν τῇ ὡραίᾳ ἡλικίᾳ καταβεβῇ μὲν τῷ θανάτῳ ἡ ὥρα, καλυφθῇ δὲ τοῖς βλεφάροις ἡ τῶν ὀμμάτων ἀκτὶς, μεταπέσῃ δὲ εἰς ὠχρότητα τῆς παρειᾶς τὸ ἐρύθημα, κρατηθῇ δὲ τῇ σιωπῇ τὸ στόμα, μελαίνηται δὲ τὸ ἐπὶ τοῦ χείλους ἄνθος· χαλεπὸν δὲ μὴ μόνον τοῖς γεννήσασιν τοῦτο δοκῇ, ἀλλὰ καὶ παντὶ τῷ ὁρῶντι τὸ πάθος βλέποντι. Τί ἐν ὁρῶντες τούτῳ ἡμεῖς; οὐχ ἡμέτερον ἐρεῖμεν ἀδελφοὶ λόγον, ἀλλὰ τὴν ἀναγνωσθεῖσαν ἡμῖν ἐκ τοῦ Εὐαγγελίου ῥῆσιν παραθησόμεθα· ἠκούσατε γὰρ λέγοντος τοῦ Κυρίου· ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν Οὐρανῶν. Οὐκοῦν εἰ καὶ σοῦ ἀπεφοίτησε τὸ παιδίον, ἀλλὰ πρὸς τὸν Δεσπότην ἀπέδραμε· σοὶ τὸν ὀφθαλμὸν ἔκλεισεν, ἀλλὰ τῷ φωτὶ τῷ αἰωνίῳ διῴοιξε· τῆς σῆς ἀπέστη τραπέζης, ἀλλὰ τῇ Ἀγγελικῇ προσετέθη· σοῦ τὸ φυτὸν ἀνεσπάσθη, ἀλλὰ τῷ Παραδείσῳ ἐνεφυτεύθη· ἐκ βασιλείας εἰς βασιλείαν μετέστη· ἐξεδύσατο τὸ τῆς πορφύρας ἄνθος,

ἀλλὰ

ἀλλὰ τῆς ἄνω βασιλείας τὴν περιβολὴν ἐνεδύσατο. Εἴπωσι τὴν ὕλην τῆς θείας ἐνδύματος, ἣ λίνον ἐστὶν, ἢ δὲ ἔριον, οὐδὲ τὰ ἐκ σηρῶν νήματα. Ἄκουσον τοῦ Δαβὶδ, ὅταν ἐξυφαίνεσθαι λέγει τῷ Θεῷ τὰ ἐνδύματα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω· ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ὁρᾷς οἷα αὐτὸ οἵων ἠλλάξατο; Λυπεῖ σε τὸ τοῦ σώματος κάλλος μηκέτι φαινόμενον· ἐὰν δὲ ὁρᾷς αὐτῆς τὸ ἀληθινὸν τῆς ψυχῆς κάλλος, ὃ νοῒ ἐν τῇ παννυχίδι τῷ ἐρανίων ἀγάλλεται. Ὡς καλὸς ἐκεῖνος ὁ ὀφθαλμὸς ὁ τὸν Θεὸν βλέπων, ὡς ἡδὺ τὸ σῶμα ταῖς θείαις ὑμνῳδίαις καλλωπιζόμενον· ἐκ σώματος γάρ, φησι, νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Ὡς καλαὶ αἱ χεῖρες αἱ μηδέποτε τὸ κακὸν ἐνεργήσασαι. Ὡς ὡραῖοι οἱ πόδες, οἱ μὴ ἐπιβαίνοντες κακίας, μηδὲ τῇ ὁδῷ τῶν ἁμαρτωλῶν τὸ ἴχνος ἑαυτῶν ἐπισήσαντες. Ὡς καλὴ πᾶσα τῆς ψυχῆς ἐκείνης ἡ ὄψις, ἣ λίθων αὐγαῖς κεκοσμημένη, ἀλλ' ἁπλότητι καὶ ἀκακίᾳ ἐκλάμπουσα. Ἀλλὰ λυπεῖσε τυχὸν τὸ μὴ εἰς γῆρας ἐλθεῖν; Τί γάρ, εἰπέ μοι, καλὸν ἐνορᾷς τῷ γήρᾳ; ἆρα καλὸν τὸ κνίζεσθαι τὰ ὄμματα; τὸ ῥυσᾶσθαι τὴν παρειάν; τὸ ἀπορρεῖν τὰς ὀδόντας τοῦ σώματος, καὶ ψελλισμὸν ἐμποιεῖν τῇ γλώσσῃ; τὸ ὑποξέμειν τῇ χειρὶ, καὶ εἰς γῆν κύπτειν; καὶ ὑποσκάζειν τῷ ποδὶ, καὶ χειραγωγοῖς ἐπερείδεσθαι; καὶ παρανοεῖν τῇ καρδίᾳ; καὶ παραφθέγγεσθαι τῇ φωνῇ; οἷα τῇ ἡλικίᾳ ταύτῃ κατ' ἀνάγκην συμβαίνει πάθη· καὶ ὑπὲρ τούτου ἀγανακτοῦμεν, ὅτι μὴ ἀφίκετο εἰς τὴν τῶν τοιούτων πεῖραν; καὶ μὴν συγχαίρειν προσήκει ἐκείνοις, ὧν ἡ ζωὴ τὴν τῶν σκυθρωπῶν πεῖραν οὐ παρεδέξατο, καὶ οὔτε ἐνταῦθα τῶν λυπηρῶν ἤσθετο, ὅτε τι τῶν ἐκεῖ σκυθρωπῶν ἐπιγνώσεται. Ἡ γὰρ τοιαύτη ψυχὴ ἡ ὀκνήσασα ἐφ' ὅτῳ εἰς κρίσιν ἔλθῃ, γέενναν οὐ φοβεῖται, κρίσιν οὐ δέδοικεν, ἄφοβος διαμένει καὶ ἀκατάπληκτος, οὐδενὸς πονηροῦ συνειδότος τὸν τῆς κρίσεως φόβον ἐπάγοντος. Ἀλλ' ἔδει, φησὶν, αὐτὴν

τὴν εἰς μέτρον ἡλικίας ἐλθεῖν, καὶ νυμφικῷ θαλάμῳ ἐμφαιδρυνθῆναι. Ἀλλ' ἐρεῖ σοι πρὸς ταῦτα ὁ ἀληθινὸς νυφίος, ὅτι κρείττων ἡ οὐρανία πασὰς, προτιμότερος ἐκεῖνος ὁ θάλαμος, ἐν ᾧ χηρείας φόβος οὐκ ἔστι. Τίνος ἕνεκεν, εἰπέ μοι, τῷ καλῶν ἀπεστέρηται, τὸν σάρκινον τοῦτον ἐκδυσαμένη βίον; εἴπω σοι τὰ τοῦ βίου καλά· λύπαι καὶ ἡδοναὶ, θυμοὶ καὶ φόβοι, ἐλπίδες καὶ ἐπιθυμίαι. Ταῦτά ἐστι καὶ τὰ τοιαῦτα, οἷς κατὰ τὴν παροῦσαν ζωὴν συμπεπλέγμεθα. Τί οὖν κακὸν πέπονθεν ἡ τοσούτων ἀπαλλαγεῖσα τυράννων; ἕκαστον γὰρ πάθος, ὅταν ἐπικρατῇ τῆς ψυχῆς, τύραννος ἡμῶν γίνεται, τὸς λογισμὸς δουλωσάμενον· ἢ λυπεῖ ἡμᾶς, ὅτι μὴ κατεπονήθη διὰ ὠδίνων; ὅτι μὴ σωφρονίζεται διὰ φροντίδων παιδοτροφίας; ὅτι μὴ τὰς ὁμοίας ἀλγηδόνας ἐδέξατο, ἃς ἐπ' αὐτῆς οἱ γεγεννηκότες ὑπέμειναν; ἀλλὰ τὰ τοιαῦτα μακαρισμῶν, οὐκ ὀδυρμῶν ἐστιν ἄξια. Τὸ γὰρ ἐν μηδενὶ γενέσθαι κακῷ, κρεῖττον ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν ἐστίν. Οὕτω καὶ ὁ σοφὸς Σολομὼν ἐν τῇ ἰδίᾳ γραφῇ μακαρίζει πρὸ τοῦ πεσόντος τὸν κατοικόμενον. Καὶ ὁ μέγας Δαβὶδ θρήνου καὶ οἰμωγῆς ἀξίαν τὴν ἐν σαρκὶ διαγωγὴν εἶναι φησι. Καίτοιγε ἀμφότεροι λαμπροὶ καὶ τὴν βασιλείαν ὑπάρχοντες, πάντων κατ' ἐξουσίαν τῷ κατὰ τὸν βίον ἡδέων μετέχοντες, οὐδὲν πρὸς τὴν παροῦσαν ἀπόλαυσιν ἐπεκλίθησαν· ἀλλὰ τῶν ἀπορρήτων ἀγαθῶν τῶν ἐν τῇ ἀσωμάτῳ ζωῇ προκειμένων τὴν ἐπιθυμίαν ἔχοντες, συμφορὰν ἐποιοῦντο τὴν ἐν σαρκὶ ζωήν. Ἤκουσα πολλαχοῦ τοῦ Δαβὶδ ἐν ταῖς ἱεραῖς ψαλμῳδίαις ἔξω γενέσθαι τῆς τοιαύτης ἀνάγκης ἐπιθυμοῦντος, ἐν οἷς φησι· νυῦ μοι, ὅτι ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Νῶν δὲ, ὅτι ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου. Ὡσαύτως δὲ καὶ ὁ Ἱερεμίας κατάρας ἀξίαν κρίνει τὴν ἡμέραν ἐκείνην τὴν ἄρξασαν αὐτῷ τῆς τοιαύτης ζωῆς, καὶ πολλάς ἐστι τοιαύτας τῷ παλαιῶν Ἁγίων φωνὰς ἐν τῇ θείᾳ

Γραφῇ φερομένας λέγειν, οἱ δὲ ἐπιθυμίαν τῆς ὄντως ζωῆς τῷ ἐν σαρκὶ διαγωγῷ ἐβαρύνοντο. Οὕτω καὶ ὁ μέγας ποτὲ Ἀβραὰμ προθύμως τῷ Θεῷ διὰ θυσίας προσῆγε τὸν ἠγαπημένον υἱὸν εἰδὼς ὅτι πρὸς τὸ κρεῖττόν τε καὶ θειότερον γενήσεται τῷ παιδὶ ἡ μετάστασις. Ὅσοι δὲ τῆς ἱστορίας ἐμπείρως ἔχετε, πάντως οὐκ ἀγνοεῖτε τὰ περὶ αὐτοῦ διηγήματα. Τί γάρ φησιν ἡ γραφή; ὅτι νέῳ μὲν ὄντι τῷ Ἀβραὰμ θεόθεν περὶ τὸ παιδὸς ἐπαγγελία γίνεται. Παρελθόντι δὲ τῷ ἀκμῷ, καὶ ἤδη καταμαραθέντι ὑπὸ τοῦ χρόνου, ὅτε παύεται ἡ φύσις ἑαυτῷ αὔξουσα, οὐκέτι τοῦ γήρως ταῖς ὁρμαῖς ὑπακούοντος, τότε παρὰ τὰς ἀνθρωπίνας ἐλπίδας εἰς πέρας ἡ ὑπόσχεσις ἄγεται, καὶ τίκτεται παῖς ὁ Ἰσαάκ. Καὶ συμμέτρου διαγεγονότος χρόνου, οἷόν τι ἔρνος ἀναδραμὼν εἰς κάλλος καὶ μέγεθος, ἡδὺς ἦν τοῖς ὀφθαλμοῖς τῶν γονέων, τῷ τῆς νεότητος κάλλει λαμπόμενος. Τότε προσάγεται τῷ Ἀβραὰμ ἡ τῆς ψυχῆς δοκιμασία καὶ βάσανος, εἰ ἀκεραίως ἐν τῇ τῶν ὄντων φύσει διαγινώσκει τὸ κάλλιον, εἰ μὴ πρὸς τὸν παρόντα βλέπει βίον. Καί φησι πρὸς αὐτὸν ὁ Θεός· ἀνένεγκε τὸν υἱόν σου διὰ θυσίας εἰς ὁλοκάρπωσιν. Οἴδατε πάντως ὅσοι πατέρες ἐστὲ καὶ παῖδας ἔχετε, καὶ τὸν πρὸς τὰ τέκνα στοργὸν παρὰ τῆς φύσεως ἐδιδάχθητε, ὅπως εἰκὸς διατεθεῖσθαι τὸν Ἀβραὰμ, εἰ πρὸς τὸν παροῦσαν μόνον ἀφεώρα ζωὸν, εἰ δοῦλος τῆς φύσεως ἦν, εἰ ἐν τῷ παρόντι βίῳ τὸ γλυκὺ τῆς ζωῆς ἐλογίζετο. Τί δὲ περὶ ἐκείνου φημὶ, καταλιπὼν τὸν γυναικεῖον τὸ ἀσθενέστερον μέρος τῆς ἀνθρωπίνης φύσεως; εἰ μὴ πεπαίδευτο κἀκείνη ὑπὸ τοῦ ἀνδρὸς τὰ θειότερα, εἰ μὴ ἠπίστατο τὸν κεκρυμμένον ζωὸν εἶναι τῆς φαινομένης ἀμείνω, οὐκ ἂν ἐπέσχεπε τῷ ἀνδρὶ τοιαῦτα κατὰ τοῦ παιδὸς ἐνεργῆσαι. Πάντως γὰρ τοῖς μητρικοῖς συγκινηθεῖσα σπλάγχνοις, περιεχύθη ἂν τῷ τέκνῳ, καὶ ταῖς ὠλεναις αὐτὸ ἐμπλεξαμένη, πρὸ

αὐ-

αὐτῷ τιμὴ καιρίαν ἐδέχετο. Ἆρ' οὐκ εἶπεν αὖ πρὸς τὸν Ἀβραὰμ ταῦτα τὰ ῥήματα; φείσαι τῆς παιδὸς ἄνερ; μὴ πονηρὸν γένῃ τῷ βίῳ διήγημα· μὴ μῦθος τοῖς μετὰ ταῦτα χρόνῳ γενώμεθα· μὴ φθονήσῃς τῷ υἱῷ τῆς ζωῆς, μὴ στερήσῃς αὐτὸν τῆς γλυκείας ἀντίνου. Θάλαμος τέκνοις, ἃ τάφος παρὰ πατέρων ἀπουδάζεται· στέφανος γαμικὸς, οὐ ξίφος φονικόν· γαμήλιος λαμπὰς, ἃ πῦρ ἐπιτάφιον. Ταῦτα λήσεται μὲν πολέμιοι, οὐ πατέρων χεῖρες ἐπὶ τῶν τέκνων ἐργάζονται. Εἰ δὲ χρὴ πάντως γενέσθαι τὸ κακὸν, μὴ ἴδοι Σάρρας ὀφθαλμὸς νεκρέμενον τὸν Ἰσαάκ. Ἴδε δι' ἀμφοτέρων ὦσον τὸ ξίφος, ἀπ' ἐμοῦ τῆς δειλαίας ἀρξάμενος. Μία τοῖς δοσὶν ἀρκέσει πληγή. Κοινὸν ἐπ' ἀμφοτέρων γενέσθω τὸ χῶμα. Μία σήλη τὴν κοινὴν συμφορὰν ζαγῳδείτω.

Ταῦτα πάντως αὖ, καὶ τὰ τοιαῦτα διεξέρχεται ἡ Σάρρα, εἰ μὴ ἐκεῖνα τοῖς ὀφθαλμοῖς ἔβλεπεν, ἅπερ ἡμῖν ἐστιν ἀθέατα. Ἤδει γὰρ ὅτι τὸ τέλος τῆς ἐν σαρκὶ ζωῆς ἀρχὴ τοῦ θειοτέρου βίου τοῖς μετασάσι γίνεται. Καταλείπει σκιὰν, καταλαμβάνει ἀλήθειαν· ἀφίησιν ἀπάτας καὶ πλάνας καὶ θορύβους, καὶ διέσχεν ἐκεῖνα τὰ ἀγαθὰ, ἃ ὑπὲρ ὀφθαλμόν τε, καὶ ἀκοὴν, καὶ καρδίαν ἐστίν. Οὔτε ἔρως αὐτὸν ἀνιάσει, οὔτε ἐπιθυμία ῥυπαρὰ παρασρέψει, οὐχ ὑπερηφανία χαυνώσει, οὐκ ἄλλο τι πάθος τῶν λυπούντων τὴν ψυχὴν ἐνοχλήσει, ἀλλὰ πάντα γίνεται αὐτῷ ὁ Θεός. Διὰ τοῦτο προθύμως δίδωσι τῷ Θεῷ τὸν παῖδα. Τί δὲ ὁ μέγας Ἰὼβ; ὅτε αὐτῷ γυμνωθέντι πάντων τῶν περιόντων ἀθρόως, πρὶν ἐπὶ ταῖς προλαβέσαις πληγαῖς τὴν ψυχὴν ἀναλέξασθαι, ἡ τελευταία κατεμυήθη πληγὴ, ὅπως ἐδέξατο τὴν ἐπὶ τοῖς παισὶ συμφοράν; τρεῖς αὐτῷ θυγατέρες ἦσαν, καὶ παῖδες ἑπτά. Μακαρισὸς ἦν τῆς εὐπαιδίας. Τοσοῦτοι δὲ ὄντες, εἷς ἦσαν οἱ πάντες τῇ μετ' ἀλλήλων συρφῇ. Οὐ διηρημένως καθ' ἑαυτὸν ἕκαστος βιοτεύον-

τες, ἀλλὰ πάντες παρ' ἀλλήλοις ποιοῦντες, διὰ τῆς ἐγκυκλίου φιλοφροσύνης διετέλουν ὀφραίνοντες ἀλλήλους ἐν τῷ μέρει καὶ ὀφραινόμενοι. Καὶ δὴ καὶ τότε κατὰ περίοδον παρὰ τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν ἦν τὸ συμπόσιον. Πλήρεις οἱ κρατῆρες, πλήρη τῶν ἐδωδίμων ἡ τράπεζα· ἐν χερσὶν οἱ κύλικες. Θεάματα, ὡς εἰκὸς ἐπὶ πότοις, καὶ ἀκροάματα, καὶ πᾶσαι θυμηδίαι συμποτικαί. Τρόπος εἷς, φιλοφροσύναι, παίγνια, μειδιάματα· πάντα ὅσα εἰκὸς ἐν σωφρόνων ἑορτῇ ἐστίας ἀβρύνεσθαι. Τί οὖν ἐπὶ τούτοις; ἐν ἀκμῇ τῆς ἀπολαύσεως τῶν ἡδίστων, ἐπεισελθόντος αὐτοῖς τοῦ ὄρφνους, τάφος τῶν δέκα παίδων τὸ συμπόσιον γίνεται· καὶ τοῖς αἵμασι τῶν νέων ὁ κρατὴρ καταμίγνυται, καὶ τὰ ἐδώδιμα τῷ ἐκ τῶν σωμάτων λύθρῳ κατεμολύνετο. Τοιαύτης συμφορᾶς τῷ Ἰὼβ ἀγγελθείσης, θέασαί μοι τῷ λόγῳ τὸν ἀθλητήν, οὐχ ἵνα θαυμάσῃς μόνον τὸν νικητήν· μικρὸν γὰρ τὸ ἐκ τοῦ θαύματος κέρδος· ἀλλ' ἵνα ζηλώσῃ ἐν τοῖς ὁμοίοις τὸν ἄνδρα, καί σοι γένηται παιδοτρίβης ὁ ἀθλητής, τῷ καθ' ἑαυτὸν ὑποδείγματι πρὸς ὑπομονὴν καὶ ἀνδρείαν τὴν ψυχὴν ἀλείφων ἐν καιρῷ τῆς τῶν πειρασμῶν συμπλοκῆς. Τί οὖν ἐποίησεν ὁ ἀνήρ; ἆρά τι δυσγενὲς καὶ μικρόψυχον; ἢ εἶπε τῷ ῥήματι, ἢ διὰ χήματος ἐνεδείξατο, ἢ παρεὶς ἀμύξας τοῖς ὄνυξιν, ἢ τείχας τῆς κεφαλῆς ἀποτίλας, ἢ κόνιν καταπασάμενος, ἢ τὰ στέρνα ταῖς χερσὶ μασιγώσας, ἢ ἐπὶ γῆν ἑαυτὸν ῥίψας, ἢ θρηνῳδὸς ἑαυτῷ περιστήσας, ἢ ἀνακαλῶν τὰ τῶν καταιχομένων ὀνόματα, καὶ ἐποιμώζων τῇ μνήμῃ; οὐκ ἔστι τούτων οὐδέν. Ἀλλ' ὁ μὲν τῶν κακῶν μηνυτὴς τοῦ κατὰ τοὺς παῖδας συμφορὰν διηγήσατο· ὁ δὲ ὁμοῦ τε ἤκουσε, καὶ δι' ὧν περὶ τῆς τῶν ὄντων ἐφιλοσόφει φύσεως· πόθεν τὰ ὄντα λέγων, καὶ παρὰ τίνος εἰς γένεσιν ἄγεται, καὶ τίνα εἰκὸς τῶν ὄντων ἐπίστασθαι; Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. Ἐκ Θεοῦ, φησί, τοῖς ἀνθρώποις

ἡ γένεσις, καὶ πρὸς αὐτὸν ἡ ἀνάλυσις· ὅθεν παρῆκται, πρὸς ἐκεῖνο καὶ ἀναλύεται. Θεὸς οὖν ὁ τοῦ διδόναι τιὼ ἐξουσίαν ἔχων, ὁ αὐτὸς ἔχει καὶ τὸ ἀφαιρεῖσθαι τιὼ ἐξουσίαν. Ἀγαθὸς ὢν, ἀγαθὰ βουλεύεται. Σοφὸς ὢν, τὸ συμφέρον ἐπίσταται. Ὡς τῷ Κυρίῳ ἔδοξε (ἔδοξε δὲ πάντως καλῶς·) οὕτω καὶ ἐποίησεν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Ὁρᾷς πόσον τὸ ὕψος τῆς τῶ ἀθλητῶ μεγαλοφυΐας; Τὸν τῆς θλίψεως καιρὸν εἰς ἐπίσκεψιν τῆς περὶ τῶν ὄντων φιλοσοφίας μετέστησεν. Ἤδει γὰρ ἀκριβῶς, ὅτι ἡ ὄντως ζωὴ δι' ἐλπίδος ἀπόκειται, ἡ δὲ παροῦσα ζωὴ οἱονεὶ στέρμα τῆς μελλούσης ἐστί. Πολὺ δὲ διενήνοχε τῶν παρόντων τὰ προσδοκώμενα, ὅσον διαφέρει ὁ στάχυς τοῦ κόκκου, ὅθεν ἐκφύεται. Ὁ νῦν βίος ἀναλογεῖ πρὸς τὸν κόκκον· ὁ δὲ προσδοκώμενος βίος, ἐν τῷ κάλλει τῶ στάχυος δείκνυται. Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Πρὸς ταῦτα βλέπων ὁ Ἰὼβ συγχαίρει τοῖς τέκνοις τῆς ὁλκηείας, ὡς θᾶττον ἐκλυθεῖσι τῶ τῶ βίου δεσμῶν. Τεκμήριον δὲ, ὅτι τῆς ἐπαγγελίας τοῦ Θεοῦ τὸ διπλάσιον ἀντὶ τῶν ἀφαιρεθέντων πάντων ὑποσχομένης, ἐν τοῖς ἄλλοις ἅπασι διπλασιασθείσης τῆς ἀντιδόσεως, μόνων τῶν τέκνων τὸν διπλασιασμὸν οὐκ ἐζήτησεν· ἀλλὰ δέκα μόνα ἀντὶ τῶν ἀφαιρεθέντων δέκα δέδοται. Ἐπειδὴ δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ εἰς ἀεὶ διαμένουσι, τούτου χάριν τῶν ἀπολλυμένων διπλασίαν δέχεται τιὼ ἀντίδοσιν· ἐπὶ δὲ τῶν τέκνων τὰ ἐπιγενόμενα τοῖς προγενηθεῖσι σώζεσθαι, ὡς πάντων τῷ Θεῷ ζώντων, καὶ οὐδὲν τῶ προσκαίρου θανάτου τοὺς κατοιχομένους πρὸς τὸ εἶναι κωλύοντος. Οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἐπ' ἀνθρώπων ὁ θάνατος, εἰ μὴ καθάρσιον. Ἐπειδὴ γὰρ οἷόν τι σκεῦος ἀγαθῶν δεκτικὸν τὸ κατ' ἀρχὰς ἡ φύσις ἡμῶν παρὰ τοῦ Θεοῦ τῶν ὅλων κατεσκεύασται, τοῦ δὲ ἐχθροῦ τῶν ψυχῶν ἡμῶν δι' ἀπάτης ἡμῖν

τὸ κακὸν παρεκχέαντος, τὸ ἀγαθὸν χώραν οὐχ ἕξει· τούτου ἕνεκεν ὡς ἂν μὴ διαιωνίζῃ ἡμῖν ἡ ἐμφυεῖσα κακία, προνοίᾳ κρείττονι θανάτῳ τὸ σκεῦος πρὸς καιρὸν διαλύεται, ἵνα τῆς κακίας ἐκρυείσης, ἀναπλασθῇ τὸ ἀνθρώπινον, καὶ ἀμιγὲς κακίας τῷ ἐξ ἀρχῆς ἀποκατασῇ βίῳ. Τοῦτο γάρ ἐστιν ἡ ἀνάστασις, ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀνασοιχείωσις. Εἰ οὖν ἀμήχανόν ἐστιν ἀνασοιχειωθῆναι πρὸς τὸ κρεῖττον τὴν φύσιν χωρὶς ἀναστάσεως· θανάτου δὲ μὴ προηγησαμένου, ἀνάστασις γενέσθαι οὐ δυνάται· ἀγαθὸν ἂν εἴη ὁ θάνατος, ἀρχὴ καὶ ὁδὸς τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἡμῖν γινόμενος. Οὐκοῦν ἐκβάλωμεν, ἀδελφοί, τὴν λύπην περὶ τῶν κεκοιμημένων, ὧν μόνοι ὑπομένουσιν οἱ μὴ ἔχοντες ἐλπίδα. Ἐλπὶς δέ ἐστιν ὁ Χριστός· ᾧ δόξα, καὶ κράτος, τιμὴ, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΠΛΑΚΙΛΛΑΝ ΤΗΝ ΒΑΣΙΛΕΙΑΝ ΕΠΙΤΑΦΙΟΣ.

Ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος (ἐκ γὰρ τοῦ ἀνεγνωσμένου ἀπὸ τῆς θείας Εὐαγγελίας προοιμιάζομαι) ὃν κατέστησεν ὁ Κύριος ἐπὶ τῆς οἰκίας ταύτης, τοῦ διδόναι ἐν καιρῷ τοῖς οἰκονομουμένοις τὸ σιτομέτριον, καλῶς ἐν τῷ πρὸ τότε χρόνῳ καταδικάσας τὴν ἀφωνίαν τῷ λόγῳ, ὁ καλῶς τὸ μεγέθος τῆς συμφορᾶς ἐπαιθόμενος, καὶ τιμήσας τῇ ἡσυχίᾳ τὸ πένθος, ἐκ οἶδα ὅπως ἐν τῷ παρόντι Συλλόγῳ πάλιν ἐπανάγει τῇ Ἐκκλησίᾳ τὸν λόγον, αὐτὸς ἀναλύων τὴν ἰδίαν κατὰ τοῦ λόγου ψῆφον. Καίτοιγε σφόδρα θαυμάζων τῆς συνέσεως ἐν πολλοῖς τὸ διδάσκαλον, ἐν τούτῳ μάλιστα πλέον ὑπερεθαύμασα, ὡς καλῶς ἐν τῇ συμφορᾷ τὸν λόγον καταστιγάσαντα. Προφυὲς γάρ μοι δοκεῖ καὶ κατάλληλον εἶναι τοῖς πονθοῦσι φάρμακον ἡ σιγή, τὸ διοιδοῦν τῆς ψυχῆς χρόνῳ καὶ καταφειᾷ δι' ἡσυχίας ἐκπέπτωσα. Ὡς εἴγε τις, ἔτι τῷ ψυχῷ τὰ πάθη ὑποθερμαίνοντος, ἀνακινοίη τὸν λόγον, δυσαχθέστερον τὸ τῆς λύπης ἕλκωμα γενήσεται, τῇ μνήμῃ τῶν ἀλγεινῶν οἷόν τισιν ἀκανθαις ἐπιξαινόμενον. Εἰδὲ μὴ λίαν ἐστὶ τολμηρὸν κἀμέ τι τῷ τὰ διδασκάλῳ προσδιορθώσασθαι, τάχα καλῶς ἔχει μέχρι τοῦ νῦν καπικρατεῖν ἡμῶν τὴν ἡσυχίαν, ὡς ἂν μὴ πρὸς τὸ πάθος ὁ λόγος καθελκυσθείς, τὴν ἀκολουθίαν ἀνιάσειεν. Οὔπω γὰρ τοσοῦτος ὁ ἐν τῷ μέσῳ χρόνος, ὥστε προσεθίσαι τῷ κακῷ τὴν διάνοιαν. Ἔτι νέον ἐν τῇ ψυχῇ τὸ πάθος, τάχα δὲ καὶ ἀεὶ νέον ἔσαι τῷ βίῳ τὸ ἄλγημα. Ἔτι παράσεται ἡμῶν ἡ καρδία, καθάπερ τις θάλασσα κυματουμένη τῇ λαίλαπι τῆς συμφορᾶς, ἐκ βυθῶν ἀνασρέφεται. Ἔτι διοιδοῦσιν οἱ λογισμοὶ, πρὸς τὴν μνήμην τῶν κακῶν ἀναζέοντες. Ἀσατόσης ἐν τῷ τοιούτῳ κλύδωνι τῆς ψυχῆς, πῶς ἐστὶ

προαγαγεῖν ἐπ' ἀθείας τὸν λόγον, οἷόν τινι καταιγίδι τῷ πάθει τῆς λύπης ἐγχειμαζόμενον; ἀλλ' ἐπειδὴ χρὴ πειθόντι πείθεσθαι, οὐκ οἶδα ὅπως τῷ λόγῳ χρήσωμαι. Οὐ γὰρ δείσκω τῆς διανοίας τὸ διδασκάλου καταφρονῆσαι. Ἢ πάχα βάλεταί τι καὶ τῷ πάθει χαρίσασθαι, καὶ τοῖς ἐμπαθεστέροις τῶν λόγων ἀναπνεῦσαι τὴν Ἐκκλησίαν τὸ δάκρυον; καὶ εἰ ταῦτα διανοεῖται, ὀρθῶς, κατάγε τὴν ἐμὴν πρίσιν, καὶ τοῦτο ποιεῖ. Δεῖ γὰρ πάντως, ὥσπερ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν προθυμούμεθα, οὕτω καὶ πρὸς τὰ λυπηρὰ τῶν συμπιπτόντων οἰκείως ἔχειν. Τοῦτο γὰρ καὶ ὁ Ἐκκλησιαστὴς συμβουλεύει, καιρὸς φησὶ τοῦ γελάσαι, καὶ καιρὸς τοῦ κλαῦσαι. Μανθάνομεν γὰρ διὰ τούτων, ὅτι δεῖ καταλλήλως τῷ ὑποκειμένῳ καὶ τὴν ψυχὴν διατίθεσθαι. Κατὰ ῥᾴν τὰ πράγματα φέρεται; εὔκαιρον τὸ διφραίνεσθαι. Μετέπεσε τὸ φαιδρὸν εἰς κατήφειαν; μεταβάλλειν προσήκει καὶ τὴν διάθυμίαν εἰς δάκρυον. Ὥσπερ γὰρ ὁ γέλως σημεῖον τῆς ἔνδον φαιδρότητος γίνεται, οὕτω καὶ ὁ ἐν τῇ καρδίᾳ πόνος ὑπὸ τῶν θριῶν διερμηνεύεται, καὶ γίνεται τῶν τῆς ψυχῆς ἕλκυσμάτων ὥσπερ αἷμα τὸ δάκρυον. Τοῦτο καὶ ἡ παροιμία Σολομῶντος φησὶν, ὅτι καρδίας διφραινομένης πρόσωπον θάλλει· τῆς ψυχῆς δὲ ἐν λύπαις ὄσης, σκυθρωπάζει. Οὐκοῦν ἀνάγκη πᾶσα τῇ διαθέσει τῆς καρδίας συσκυθρωπάσαι τὸν λόγον. Καὶ εἴθε δυνατὸν ἦν τοιούτους ἐξευρεῖν τινας λόγους, οἵους ὁ μέγας Ἱερεμίας τῇ συμφορᾷ ποτε τῶν Ἰσραηλιτῶν ἐπεθρήνησεν· ἐκείνων γὰρ ἄξια τὰ παρόντα μᾶλλον, ἢ εἴτι τῶν ἀρχαίων ἐν σκυθρωποῖς μνημονεύεται· Χαλεπὰ τὰ τοῦ Ἰωβ διηγήματα· ἀλλὰ τί χρὴ πρὸς τοῦτο τὸ κακὸν αὐτεξαγαγεῖν μιᾶς οἰκίας διαφθορὰ πάθη; κἂν τὰ μεγάλα καὶ κοινότερα τῶν κακῶν διεξέλθῃς, σεισμοὺς καὶ πολέμους καὶ ἐπικλύσεις καὶ χάσματα, μικρὰ καὶ ταῦτα, εἰ πρὸς τὰ παρόντα κρίνοιτο. Διατί; ὅτι ἑκάστης ἀθρόως τῆς οἰκουμένης ἡ κατὰ πόλεμον ἅπτεται συμφορά· ἀλλὰ τὸ μὲν τὴν πολεμεῖσθαι αὐτῆς, τὸ δὲ εἰ-

ρηνεύε-

ρηνδίεται μέρος. τί πάλιν; ἡ σκηπτὸς ἐπέφλεξεν· ἢ τὸ ὕδωρ ἐπέκλυσεν· ἢ κατεπόθη τῷ χάσματι. Τὸ δὲ παρὸν κακὸν πάσης ἀθρόως τῆς οἰκουμένης ἐστὶ πληγή. Οὐκ ἔστιν ἔθνος οὗ, ἢ πόλιν μίαν ἀπολοφύρασθαι· ἀλλὰ ἁρμόζει πάχα τινὶ τὸ Ναβυχοδονόσορ προϊέσθαι φωνήν, ἣν πρὸς τὰς ὑποχειρίους πεποίηται. Ὑμῖν λέγω, λαοὶ, φυλαὶ, γλῶσσαι· μᾶλλον δὲ συγχωρήσατέ μοι προθῆναί τι τῷ Ἀσυρίῳ κηρύγματι, μεγαλοφωνότερον ἀνακηρύξαι τὴν συμφοράν, καὶ εἰπεῖν, ὡς ἄν τις ἐπὶ σκηνῆς ἀναβοήσας εἴποι. Ὦ πόλεις, καὶ δῆμοι, καὶ ἔθνη, καὶ σύμπασα γῆ, καὶ τῆς θαλάσσης ὅσον τε πλωΐμον, καὶ ὅσον οἰκούμενον· ὦ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης, ὅσον τῷ σκήπτρῳ τῆς Βασιλείας διῄνεται· ὦ πάντες οἱ πανταχόθεν ἄνθρωποι, κοινῇ τῷ πάθει ἐπισπάξατε, κοινῇ τὸ θρηνῶδες τιθῶ συνῳδίαν σήσασθε, κοινῇ τιθῶ πάντων ζημίαν ἀπολοφύρασθε. Ἢ βέλεσθε, καθὼς ἂν οἷός τε ὦ, καὶ τιθῶ ζημίαν ὑμῖν διηγήσωμαι; ἤνεγκεν ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ἡ ἀνθρωπίνη φύσις ἐκβᾶσα τὰς ἰδίας ὅρας καὶ τὰ συνήθη μέτρα νικήσασα, μᾶλλον δὲ ὁ τῆς φύσεως Κύριος, ἀνθρωπίνην ψυχὴν ἐν γυναικείῳ τῷ σώματι, ὑπὲρ πάντα χεδὸν τὰ προλαβόντα τῆς ἀρετῆς ὑποδείγματα· ἐν ᾗ πᾶσα μὲν σώματος, πᾶσα δὲ ψυχῆς ἀρετὴ συνδραμοῦσα, θαῦμα ἄπιστον ἔδειξε τῇ ἀνθρωπίνῃ ζωῇ.

Πόσων ἀγαθῶν συνδρομὴν μία ψυχὴ ἐν ἑνὶ ἐχώρησε σώματι· καὶ ὡς ἂν μάλιστα καταφανὲς ἅπασι γένοιτο τῆς γενεᾶς τὸ δυτύχημα, ἐπὶ τὸν ὑψηλὸν θρόνον τῆς Βασιλείας ἀνάγεται, ὅπως ἡλίου δίκην ἐκ τοῦ ὑψηλοῦ ἀξιώματος πᾶσαν τιθῶ οἰκουμένῃ ταῖς ἀκτῖσι τῇ ἀρετῇ καταλάμψειε. Καὶ τῷ κατὰ θείαν ψῆφον τῆς οἰκουμένης ἁπάσης προτεταγμένῳ εἰς βίου τε καὶ Βασιλείας κοινωνίαν συναρμοσθεῖσα, μακαριστὸν ἐποίει δι' ἑαυτῆς τὸ ὑπήκοον· ὄντως, καθὼς φησιν ἡ γραφὴ, βοηθὸς αὐτῷ πρὸς πᾶν ἀγαθὸν γινομένη. Εἰ φιλανθρωπίας τιθῶ ὁ καιρὸς, ἢ συνέβεχεν αὐτῷ πρὸς τὸ ἀγα-

θὸν

θὸν τῦτο, ἢ καὶ προέξεχεν. Ἴσος ἰῶ ὁ ζυγὸς ἑκατέρωθεν τῇ τῆς φιλανθρωπίας ροπῇ. Μαρτυρεῖ δὲ τῷ λόγῳ τάτε πρότερον ἀεὶ θμὸν νικῶντα, καὶ τὰ ἐπὶ τοῦ παρόντος κηρύγματα, ἃ νῦν παρὰ τὸ κήρυκος τῆς ἀληθείας ἠκούσαμεν. Εἰ τὸ δίσεβὲς ἐπιζητεῖς, κοινὸς ἦν ἀμφοτέρων ὁ πρὸς δίσέβειαν δρόμος. Εἰ τὸ φρονοητικόν, εἰ τὸ δίκαιον, εἰ ἄλλό τι τῶν πρὸς τὸ κρᾶττον πεδαζομένων· πάντα ἐν ἀμίλλῃ ἰῶ, ἀλλήλους νικᾶν ἐν ταῖς δίποιίαις φιλονεικένπων, καὶ ὐκ ἦν ὁ ἡττώμενος. Ἴση τις ἀμφοτέρων ἡ ἐπ' ἀλλήλοις χάρις. Ἡ μὲν ἀρετῆς ἆθλον εἶχε τὸν τῆς οἰκυμένης προτεταγμένον· ὁ δὲ μικρὰν ἡγεῖτο γῆς τε καὶ θαλάσης τὴν ἐξυσίαν συγκείσει τῇ κατ' αὐτὴν δίτυχήματος. Ἴσας ἀλλήλοις αὐτιπαρεῖχον τὰς δίφροσύνας, ἀλλήλυς τε βλέποντες, καὶ ὑπ' ἀλλήλων ὁρώμενοι. Ὁ μὲν τοιῦτος ὢν, οἷος ἐσί· ποῖον γάρ τις κάλλος ὑπὲρ τὸ φαινόμενον δείξειε; καὶ εἶπε διαρκέσαι καὶ εἰς ἐκγόνων ζωὴν τὸ ὁρώμενον· τὴν δὲ, οἵα τις ἰῶ, ὐκ ἔσιν ὑποδεῖξαι τῷ λόγῳ. Οὐ γὸ περιλέλειπταί τι αὐτῆς δι' ἀκριβείας παρὰ τῆς τέχνης ὁμοίωμα· ἀλλ' εἰ καί τι γέγονεν ἐν γραφαῖς ἢ ἐν πλάσμασι, πάντα τῆς ἀληθείας ἐσὶν ἐνδεέσερα. Τοιαῦτα καὶ μέχρι τάτε τὰ διηγήματα. Τὰ δὲ ἐπὶ τάτοις οἷα, πάλιν βοᾷν ἀναγκάζομαι· καί μοι σύγγνωτε ὑπερβοῶντι τὸ πάθος. Ὦ Θράκη, τὸ φθονητὸν ὄνομα! Ὦ δυσυχὲς χωρίον, ἔθνος ἐκ συμφορῶν γνωριζόμενον! Ὦ πρότερον μὲν πολεμίῳ πυρὶ ταῖς τῶ βαρβάρων ἐπιδρομαῖς δηωθεῖσα, νυῖ δὲ τὸ κεφάλαιον τῆς κοινῆς συμφορᾶς ἐν ἑαυτῇ δεξαμένη! Ἐκεῖθεν τὸ ἀγαθὸν ἀναρπάζεται, ἐκεῖ ὁ φθόνος κατὰ τῆς βασιλείας ἐκόμασεν, ἐκεῖ γέγονε τὸ τῆς οἰκυμένης ναυάγιον, ἐκεῖ καθάπερ ἐν κλύδωνι τῷ προβόλῳ προσπταίσαντες τῷ τῆς λύπης βυθῷ κατεδύημεν. Ὦ ποναρᾶς ἐκδημίας ἐκείνης, ἣ τὴν ὑποτροφὴν ὐκ ἀπέδωκεν! Ὦ πικρῶν ὑδάτων, ὧν τὰς πηγὰς ἐπεπόθησαν, ὡς οὐκ ὤφελον! Ὦ χωρίον, ἐν ᾧ τὸ πάθος ἐγένετο, διὰ τὸ πάθος τῇ σκοτομήνῃ ἐπώνυμον!

μον! ἀκέω δὲ κατὰ τὴν πάξιον αὐτῷ γλῶσσαν Σκότεμιν τὸν τόπον ἐπονομάζεσθαι. Ἐκεῖ ἐσκοτίσθη ὁ λύχνος, ἐκεῖ κατεσβέσθη τὸ φέγγος, ἐκεῖ αἱ ἀκτῖνες τῷ ἀρετῶν ἠμαυρώθησαν. Οἴχεται τῆς Βασιλείας τὸ ἐγκαλλώπισμα, τὸ τῆς δικαιοσύνης πηδάλιον, ἡ τῆς φιλανθρωπίας εἰκών, μᾶλλον δὲ αὐτὸ τὸ ἀρχέτυπον· ἀφῃρέθη τῆς φιλανδρείας ὁ τύπος, τὸ ἁγνὸν τῆς σωφροσύνης ἀνάθημα, ἡ δίφρόσιτος σεμνότης, ἡ ἀκαταφρόνητος ἡμερότης, ἡ ὑψηλὴ ταπεινοφροσύνη, ἡ πεπαρρησιασμένη αἰδώς, ἡ σύμμικτος τῷ ἀγαθῶν ἁρμονία. Οἴχεται ὁ τῆς πίστεως ζῆλος, ὁ τῆς Ἐκκλησίας σύλος, ὁ τῷ θυσιαστηρίων κόσμος, ὁ τῷ πενομένων πλοῦτος, ἡ πολυαρκὴς δεξιά, ὁ κοινὸς τῷ καταπονουμένων λιμήν. Πενθείτω ἡ παρθενία, θρηνείτω ἡ χηρεία, ὀδυρέσθω ἡ ὀρφανία. Γνώτωσαν τί εἶχον, ὅτε οὐκ ἔχουσι· μᾶλλον δὲ τί χρήμε κατὰ μέρη, καὶ πάξεις διαιρεῖν τὸν θρῆνον; σπαραξάτω πᾶσα ἡ γενεά, βύθιον ἐκ μέσης καρδίας τὸν στεναγμὸν ἀναπέμπουσα. Συμπενθείτω καὶ ἡ Ἱερωσύνη αὐτή, τὸν κοινὸν κόσμον τῷ θανάτου ἀποσυλήσαντος. Ἆρα μὴ τολμηρὸν τὸ τῶ Προφήτα εἰπεῖν; τὸ, ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος; καὶ διωργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; ποίων ἁμαρτημάτων τὰς δίκας ἐκτινύομεν; ὑπὲρ τίνων ταῖς ἐπαλλήλοις τῷ συμφορῶν μαστιζόμεθα; ἢ πάχα διὰ τὸ πλεονάσαι τὴν ἀσέβειαν τῷ ποικίλων αἱρέσεων, αὐτὴ καθ' ἡμῶν ἡ ψῆφος ἐκράτησεν; ὁρᾶτε δὲ οἵοις κακοῖς ἐν βραχεῖ συνηνέχθημεν καιρῷ. Οὔπω ἐπὶ τῇ προτέρᾳ πληγῇ ἀναπνεύσαντες, ὅπως τὸ δάκρυον τῷ ὀφθαλμῶν ἀποψήσαντες, πάλιν ἐν τοσαύτῃ γεγόνομεν συμφορᾷ. Τότε τὸ νεοθαλὲς ἄνθος ἀπωδυρόμεθα, νυνὶ αὐτὸ τὸ ἔρνος, ἀφ' ὃ τὸ ἄνθος ἐβλάστησε. Τότε τλιὼ ἐλπισθεῖσαν ὥραν, νυνὶ τλιὼ ἀκμάσασαν. Τότε τὸ προσδοκώμενον ἀγαθὸν, νῦν τὸ ἐν πείρᾳ γενόμενον. Ἆρά μοι συγγνώσεσθε, Ἀδελφοὶ, εἴτι διὰ τὸ πάθος παραλήρησαιμι; πάχα, καθὼς φησιν ὁ Ἀπόστολος, καὶ αὐτὴ ἡ κτί-

κτίσις τῷ ἡμετέρῳ κακῷ συνεσύαξεν. Ὑπομνήσω δὲ τῆ γεγονότων ἡμᾶς, καὶ οἶμαι τὰς πολλὰς τοῖς λεγομένοις συνθήσεσθαι. Ὅτε χρυσῷ καὶ πορφυρίδι κεκαλυμμένη ἐπὶ τῶν πόλιν ἡ Βασιλὶς ἐκομίζετο (κλίνη δὲ ἦν ἡ κομίζουσα) καὶ πᾶσα ἀξία, καὶ ἡλικία πᾶσα προχυθεῖσα τοῦ ἄστεος, ἀπεστενοχώρει διὰ τὸ πλήθος τὸ ὕπαιθρον, παίτων ἐκ ποδῶν καὶ τῆ ὑπερεχόντων τοῖς ἀξιώμασι προπομπευόντων τοῦ πάθους· μέμνησθε παίτως, ὅπως ὁ ἥλιος ταῖς νεφέλαις τὰς ἀκτῖνας ἑαυτὸ συνεκάλυψεν, ὡς αὖ μὴ ἴδοι τάχα καθαρῷ τῷ φωτὶ μετὰ τοιούτου χήματος εἰσελαυνομένην τὴν Βασιλίδα τῇ πόλει, ἐκ ἐπὶ ἅρματός τινος, ἢ χρυσοδέτε ἀπήνης κατὰ τὸν βασίλειον κόσμον τοῖς δορυφόροις ἀγαλλομένην, ἀλλ' ἐν ζόφῳ κεκαλυμμένην, ἐπικρυπτομένην τὸ εἶδος ἐκεῖνο τῷ σκυθρωπῷ προκαλύμματι. Θέαμα δεινόν τε καὶ ἐλεεινόν, δακρύων ἀφορμὴ προκειμένη τοῖς ἐντυγχάνουσιν, ὦ ἅπας τῶν συνειλεγμένων ὁ ἐπιλύς τε καὶ ὁ ἐγχώριος ἐκ δίφημίαις, ἀλλὰ θρηνοις εἰσιδεσαν ἐδέχετο. Τότε καὶ ὁ ἀὴρ πενθικῶς ἐσκυθρώπασεν, οἷον ἱματίον τι πενθικὸν τὸν ζόφον περιβαλλόμενος· ἀλλὰ καὶ αἱ νεφέλαι, καθὼς δυνατὸν αὐταῖς ἦν, ἐπεδάκρυον, ἁπαλὰς ψεκάδας ἀντὶ δακρύων ἐπαφιεῖσαι τῷ πάθει. Ἡ ταῦτα μὲν ὄντως λῆρός ἐστι, κ) οὐδὲ λέγειν ἄξιον; εἰ γάρ τι κ) γέγονεν ἐν τῇ κτίσει τοιοῦτον, οἷον ἐπισυμβῆναι τὴν συμφοράν, οὐ παρὰ τῆς κτίσεως γέγονε παίτως, ἀλλὰ παρὰ τοῦ Δεσπότε τῆς κτίσεως, τιμῶντος δι' ὧν ἐποίει τῆς Ὁσίας τὸν θάνατον. Τίμιον γάρ φησιν, ἐναντίον Κυρίε ὁ θάνατος τῇ Ὁσίων αὐτῦ. Εἶδον δὲ ἐγὼ τότε ἕτερον θέαμα τῆ ἐρημένων παραδοξότερον. Εἶδον διπλῦν ὄμβρον, τὸν μὲν ἐκ τῦ ἀέρος, τὸν δὲ ἐκ τῆ δακρύων ἐπὶ τῶν γῆν καταῤῥέοντα· κ) ἐκ ἦν ὁ ἐξ ὀφθαλμῶν ἑτὸς τῦ ἐκ τῆ νεφῶν ἐνδεέστερος. Ἐν ᾧ τοσαύταις μυριάσι τῆ συμπαρόντων ἐκ ἦν ὀφθαλμὸς, ὁ μὴ καταβρέχων τὴν γῆν ταῖς τῆ δακρύων σταγόσιν·

Ἀλλ'

Ἀλλ' οὐ καλῶς πάχα τῆς Διδασκάλου γνώμης ἐσοχασάμεθα, πλέον ἢ ἔδει τοῖς σκυθρωποῖς ἐμβαθύναντες. Ἴσως γὰρ βούλεται θεραπεῦσαι μᾶλλον, ἢ αἰτιάσαι τὴν ἀπολυτ· ἡμεῖς δὲ τὸ ἐναντίον νῦν πεποιήκαμεν· ὥσπερ αὖ ἔτις ἰατρὸς θαυματίαν λαβὼν, μὴ μόνον ἀμελοίη τῆς θεραπείας, ἀλλὰ καὶ βρωτικοῖς τίσι φαρμάκοις προσεπιξίβοι τὸν ὀδυνώμενον. Οὐκουῦ ἐπανιλητέον τὸν ἐλαιώδη λόγον τῇ διοιδούσῃ πληγῇ· οἶδε γὰρ καὶ ἡ Εὐαγγελικὴ ἰατρεία τῇ σύμει τὸ οἴνου καταμιγνύειν τὸ ἔλαιον. Ἐπιπλίνωμεν ἔν ὑμῖν, παρὰ τῆς γραφῆς λαβόντες τὸν τὸ ἐλαίου καμπάκην, ὡς ἔστι δυνατὸν τὸ σκυθρωπὸν τῶν εἰρημένων εἰς παραμυθίαν μαλινωδήσαντες. Ἀλλά μοι μηδεὶς ἀπιστείτω τῷ λεγομένῳ, κἂν παράδοξον ᾖ. Ἔστιν, Ἀδελφοὶ, τὸ ἀγαθὸν, ὃ ζητοῦμεν, ἔστι, καὶ οὐκ ἀπόλωλε, μᾶλλον δὲ μικρότερον εἶπον τῆς ἀληθείας. Οὐ μόνον γάρ ἐστι τὸ ἀγαθὸν, ἀλλὰ καὶ ἐν ὑψηλοτέροις ἢ πρότερον· τὴν Βασιλίδα ζητεῖς; ἐν τοῖς βασιλείοις τὴν διαγωγὴν ἔχει. Ἀλλ' ὀφθαλμῷ γνῶναι τοῦτο ποθεῖς; οὐκ ἔξεσί σοι Βασιλίδος θέαν περιεργάζεσθαι. Φοβερὰ περὶ αὐτὴν ἡ τῶν δορυφόρων φρουρά. Οὐ τύπων λέγω τῶν δορυφόρων, οἷς σίδηρος τὸ ὅπλον ἐστὶν, ἀλλὰ τῶν τῇ φλογίνῃ ῥομφαίᾳ καθωπλισμένων, ὧν τὸ εἶδος ἀνθρώπων ὄψις οὐχ ὑποδέχεται. Ἐν οἷς ἀπορρήτοις τῆς Βασιλείας ἡ οἴκησις τότε ὄψει, ὅταν καὶ σὺ προκύψῃς τοῦ σώματος. Οὐ γάρ ἐστιν ἄλλως ἐντὸς τῶν ἀδύτων τῆς βασιλείας γενέσθαι, μὴ διαχόντα τὸ τῆς σαρκὸς παραπέτασμα. Ἢ κρεῖττον οἴει τὸ διὰ σαρκὸς μετέχειν τοῦ βίου; οὐκοῦν παιδεύσάτω σε ὁ θεῖος Ἀπόστολος, ὁ τῶν ἀπορρήτων τοῦ Παραδείσου μετεχικὼς μυστηρίων. Τί λέγει περὶ τῆς ὧδε ζωῆς, πάχα οὐκ τοῦ κοινοῦ τῶν ἀνθρώπων φθεγγόμενος; παλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἀπὸ τοῦ σώματος τοῦ θανάτου τούτου; Διατί τοῦτο λέγει; ὅτι τὸ ἀναλύσαι, καὶ συὶ Χριστῷ εἶναι πολλῷ κρεῖττον φησί. Τί δὲ ὁ μέγας Δαβὶδ, ὁ τοσαύτῃ δωματείᾳ κομῶν, ὁ

παι-

πάντα πρὸς ἡδονὴν καὶ κατ' ἐξουσίαν εἰς ἀπόλαυσιν ἔχων; οὐ συνοχωρεῖται τῷ βίῳ; ἢ φυλακὴν ὀνομάζει τὴν ὧδε ζωήν; ἢ βοᾷ πρὸς τὸν Κύριον· ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου; ἢ πρὸς τὴν παράπασιν τῆς ζωῆς δυσχεραίνει, οἴμοι, λέγων, ὅτι ἡ παροικία μου ἐμακρύνθη; ἢ οὐκ ἤδεισαν διαπεῖναι οἱ Ἅγιοι τὸ καλὸν ἐκ τοῦ χείρονος, καὶ διὰ τοῦτο προτιμοτέραν ὥοντο τῇ ψυχῇ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον; Σὺ δὲ, τί καλὸν, εἰπέ μοι, παρὰ τὸν βίον ὁρᾷς; κατανόησον ἐν τίσιν ἡ ζωὴ θεωρεῖται. Οὐ λέγω σοι τὴν τοῦ Προφήτου φωνὴν, ὅτι πᾶσα σὰρξ χόρτος. Σεμνύνει γὰρ ἐκεῖνος μᾶλλον τῷ ὑποδείγματι τὴν τῆς φύσεως ἀθλιότητα. Τάχα γὰρ κρεῖττον ἦν χόρτον εἶναι μᾶλλον, ἢ ὅπερ ἐσμὲν; διατί; ὅτι εὐδαιμίαν ὁ χόρτος ἐκ φύσεως ἀπδίαν ἔχει. Ἡ δὲ σὰρξ ἡμῶν, ὅσης ἐστὶν ἐργασίαν, ἅπαν τὸ ληφθὲν εἰς διαφθορὰν ἀγαγοῦσα. Τὸ δὲ τὸν ἅπαντα χρόνον ἀποκεῖσθαι τῇ τῆς γαστρὸς λειτουργίᾳ, ποίας τιμωρίας οὐκ ἔστιν ἀνιαρώτερον; ὁρᾶτε γὰρ τοῦτον τὸν διηνεκῆ φορολόγον, τὴν γαστέρα, λέγω, ὅσην ἐπάγει καθ' ἡμέραν τοῖς ἀναγκαίοις τῆς ἀπαιτήσεως; ᾧ κἂν ποτε πλέον τοῦ τεταγμένου προκαταβάλωμεν, οὐδὲν τῶν ἐφεξῆς χρέος προεξετίσαμεν. Καθ' ὁμοιότητα τῶν ἐν τῷ μύλωνι ταλαιπωρούντων ζώων κεκαλυμμένοις τοῖς ὀφθαλμοῖς τὸν τοῦ βίου μύλλον περιερχόμεθα, ἀεὶ διὰ τῶν ὁμοίων περιχωροῦντες, καὶ ἐπὶ τὰ αὐτὰ ἀναστρέφοντες. Εἴπω σοι τὴν κυκλικὴν ταύτην περίοδον. Ὄρεξις, κόρος· ὕπνος, ἐγρήγορσις· πεῖνα, πλήρωσις. Ἀεὶ ἀπ' ἐκείνων ταῦτα, καὶ ἀπὸ τούτων ἐκεῖνα, καὶ πάλιν ταῦτα· καὶ οὐδέποτε κύκλῳ περιιόντες παυόμεθα, ἕως ἂν ἔξω τοῦ μύλωνος γενώμεθα. Καλῶς ὁ Σολομὼν πίθον τετρημένον, καὶ οἶνον ἀλόξιον ὀνομάζει τὸν ὧδε βίον. Οὕτως γὰρ ἀλόξιος οἶνος, καὶ οὐχ ἡμέτερος, ὅτι οὐκ ἐφ' ἡμῖν ἐστιν, ἢ ὅτε βαλόμεθα, ἢ ἐφ' ὅσον ἐπιποθοῦμεν, ἐν αὐτῷ εἶναι· ἀλλὰ καὶ εἰσαγόμεθα ὡς οὐκ οἴδαμεν, καὶ ἐξοικιζόμεθα, ὅτε οὐκ οἴδαμεν. Τὸ δὲ τοῦ πίθου αἴνιγμα νοή-

νοήσεις, ἐὰν εἰς τὸ ἀπλήρωτον τῆς ἐπιθυμιῶν ἀποβλέψῃς. Ὁρᾷς πῶς ἐπαντλοῦσιν ἑαυτοῖς οἱ ἄνθρωποι τὰς τιμὰς, τὰς δυναστείας, τὰς δόξας, καὶ πάντα τὰ τοιαῦτα; ἀλλ' ὑπορρεῖ τὸ βαλλόμενον, καὶ οὐ παραμένει τῷ ἔχοντι. Ἡ μὲν γὰρ περὶ τὴν δόξαν καὶ τιμὴν καὶ δυναστείαν καὶ τὴν τιμὴν ἀπαθὴ, πάντοτε ἐνεργεῖται· ὁ δὲ τῆς ἐπιθυμίας πίθος μένει ἀπλήρωτος. Τί δὲ φιλοχρηματία; ἢ ἀληθῶς πίθος τετρυμένος ἐστὶν, ὅλῳ τῷ πυθμένι ῥέων; ᾧ κἂν πᾶσαν ἐπαντλήσῃς τὴν θάλασσαν, πληρωθῆναι φύσιν οὐκ ἔχει. Τί οὖν λυπηρὸν, εἰ τῆς τοῦ βίου κακῶν ἡ μακαρία πεφεύγασι, καὶ ὥσπερ τινὰ λήμην τοῦ σώματος ῥύπον ἀποβαλοῦσα, καθαρᾷ τῇ ψυχῇ πρὸς τὴν ἀκήρατον ζωὴν μεταίσεται; ἐν ᾗ ἀπάτη οὐ πολιτεύεται, διαβολὴ οὐ πιστεύεται, κολακείᾳ χώραν οὐκ ἔχει, ψεύδος οὐ καταμίγνυται, ἡδονή τε καὶ λύπη, καὶ φόβος καὶ θάρσος, καὶ πενία καὶ πλοῦτος, καὶ δουλεία καὶ κυριότης, καὶ πᾶσα ἡ τοιαύτη τοῦ βίου ἀνωμαλία, ὡς πορρωτάτω τῆς ζωῆς ἐκείνης ἐξώρισται. Ἀπέδρα ἐκεῖθεν, καθὼς φησιν ὁ Προφήτης, ὀδυνὴ, καὶ λύπη, καὶ στεναγμός. Ἀντὶ δὲ τούτων τί; ἀπάθεια, μακαριότης, καὶ πάντος ἀλλοτρίωσις, Ἀγγέλων ὁμιλία, τῶν ἀοράτων θεωρία, Θεοῦ μετουσία, εὐφροσύνη τέλος οὐκ ἔχουσα. Ἆρ' οὖν λυπεῖσθαι προσήκει περὶ τῆς Βασιλίδος, μαθόντας οἷα ἀνθ' οἵων ἠλλάξατο; Κατέλιπε βασιλείαν γηΐνην, ἀλλὰ τὴν ἐπουράνιον κατέλαβεν· Ἀπέθετο τὸν ἐκ λίθων στέφανον, ἀλλὰ τὸν τῆς δόξης περιεθήκατο· ἀπεδύσατο τὴν πορφυρίδα, ἀλλὰ χιτῶνα ἐνεδύσατο. Τοῦτό ἐστι τὸ βασιλικὸν ὄντως καὶ τίμιον ἔνδυμα. Τὴν ὧδε πορφύραν ἀπαύω αἵματι κόχλου τινὸς θαλασσίας φοινίσσεσθαι, τὴν δὲ ἄνω πορφύραν τὸ τοῦ Χριστοῦ αἷμα λάμπειν ποιεῖ. Εἶδες ὅσον ἐν τῷ ἐνδύματι τὸ διάφορον; βούλει πεισθῆναι ὅτι ἐν ἐκείνοις ἐστίν; ἀνάγνωθι τὸ Εὐαγγέλιον· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, φησὶ πρὸς τοὺς δεξιοὺς ὁ Κριτὴς, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. Τὴν πα-

ρὰ

ρὰ τίνος ἡτοιμασμένην; ἣν ἑαυτοῖς φησι, διὰ τῆς ἔργων προητοιμάσατε. Πῶς; ἐπείνων, ἐδίψων, ξένος ἦμην, γυμνὸς, ἀσθενὴς, ἐν φυλακῇ. Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Εἰ δὲ ἡ περὶ ταῦτα ἀπόδοσις βασιλείας πρόξενος γίνεται, ἀριθμήσατε, εἴπερ δυνατόν ἐστιν ἐξαριθμήσασθαι, πόσοι τοῖς ἐνδύμασι τοῖς παρ' αὐτῆς ἐκενεπάθησαν; πόσοι τῇ μεγάλῃ ἐκείνῃ δεξιᾷ διετράφησαν; πόσοι τῆς κατακλείσεως καὶ ἐπισκέψεως μόνον, ἀλλὰ καὶ παντελοῦς ἀφέσεως ἠξιώθησαν; εἰ δὲ τὸ ἐπισκέψασθαι τὸν κατάκλειστον προξενεῖ βασιλείαν, τὸ ἐλευθερῶσαι τῆς τιμωρίας δηλαδὴ πλείονος τιμῆς ἄξιον; ἢ πέρ τι βασιλείας ἐστὶν αὐτῶν. Ἀλλ' ἡ μὲχρι τούτων ἐστὶν ἐκείνης ὁ ἔπαινος. Παρέρχεται γὰρ καὶ τὰ προτεταγμένα τοῖς κατορθώμασιν. Πόσοι δὲ ἐκείνην τὴν τῆς ἀναστάσεως χάριν ἐφ' ἑαυτῷ ἐγνώρισαν, οἳ τοῖς νόμοις ἀποθανόντες, καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον δεξάμενοι, πάλιν δι' αὐτῆς εἰς τὴν ζωὴν ἀνεκλήθησαν; ἐν ὀφθαλμοῖς τῶν εἰρημένων ἡ μαρτυρία. Εἶδες παρὰ τὸ θυσιαστήριον ἀπογνόντα τὴν σωτηρίαν μισθάκιον; εἶδες γυμνὸν ἐπὶ καπηλείσει ἀδελφὸν ὀδυρόμενον, τὸ τὰ ἀγαθὰ τῇ Ἐκκλησίᾳ κηρύσσοντος, ὅπως τῇ μνήμῃ τῆς Βασιλίδος ἡ σκυθρωπὴ τοῦ θανάτου ψῆφος εἰς ζωὴν ἀναλύεται; Ἆρα καὶ μόνον ταῦτα; τίνα δὲ ταπεινοφροσύνην ποῦ θήσομεν; ἣν προτιμοτέραν ἡ γραφὴ ποιεῖται παντὸς τοῦ κατ' ἀρετὴν κατορθώματος· ἥτις συνηριθμημένη τῷ μεγάλῳ βασιλεῖ τὴν τοσαύτην ἀρχὴν, πάσης δυνατείας ὑποκυπτούσης, τοιούτων ἐθνῶν ὑποτελούντων, γῆς τε καὶ θαλάττης ἐκ τῶν οἰκείων ἑκατέρας δορυφορούσης, οὐκ ἔδωκε καθ' ἑαυτῆς τῷ τύφῳ, ἀεὶ πρὸς ἑαυτὴν, οὐκ εἰς τὰ ἔξω ἑαυτῆς ἀποβλέπουσα. Διὰ τοῦτο τοῦ μακαρισμοῦ γίνεται κληρονόμος, διὰ τῆς προσκαίρου ταπεινοφροσύνης τὸ ἀληθινὸν ὕψος ἐμπορισαμένη. Εἴπωτι καὶ τῆς φιλανδρείας τεκμήριον. Ἔδει πάντως, διαλυομένης τῆς σωματικῆς συζυγίας, καὶ τὰ τίμια τῆς προσόντων αὐτῆς ἀγαθῶν ἐλ-

θεῖν

θεῖν εἰς διαίρεσιν. Πῶς ἓν ἐποιήσατο τὴν διανομήν; τριῶν ὄντων τέκνων (ταῦτα γὰρ τῶν ἀγαθῶν τὰ κεφάλαια) τοὺς ἄῤῥενας τῷ Πατρὶ προσκατέλιπεν, ὥστε εἶναι αὐτοῦ τῆς βασιλείας ἐρείσματα· τῆς δὲ ἰδίας μερίδος μόνην τὴν θυγατέρα ἀποπεποίηται. Ὁρᾷς πῶς δίγνωμών τε καὶ φιλόσοργος, ἐν τοῖς τιμίοις τὸ πλέον τῷ ἀῤῥενὶ συγχωρήσασα; ἀλλ' ὃ μάλιστα παρ' ἡμῶν λέγεσθαι χρὴ, τοῦτο προθεὶς, καταπαύσω τὸν λόγον. Τὸ τῶν εἰδώλων μῖσος κοινὸν πάντων ἐστὶ τῶν μετεχόντων τῆς πίστεως· ἀλλ' ἐκείνης ἐξαίρετον, τὸ τὴν Ἀρειανὴν ἀπιστίαν ὁμοίως τῇ εἰδωλολατρείᾳ βδελύττεσθαι. Τοὺς γὰρ ἐν τῇ κτίσει τὸ Θεῖον εἶναι νομίζοντας, οὐδὲν ἐλάττονα σέβειν ᾤετο τῶν εἰδωλοποιούντων τὰς ὕλας, καλῶς καὶ δι' εὐσεβῶς τοῦτο κρίνασα· ὁ γὰρ τὸ κτίσμα προσκυνῶν, κἂν ἐπ' ὀνόματι τοῦ Χριστοῦ τοῦτο ποιεῖ, εἰδωλολάτρης ἐστὶ, Χριστοῦ ὄνομα τῷ εἰδώλῳ θέμενος. Διὰ τοῦτο μαθοῦσα, ὅτι μὴ ἔστι Θεὸς πρόσφατος, μίαν προσεκύνει Θεότητα, τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ δοξαζομένην. Ταύτῃ ἐνηυξήθη τῇ πίστει, ταύτῃ ἐνήπιασε, ταύτῃ τὸ πνεῦμα παρακατέθετο· ὑπὸ ταύτης προσήχθη τῷ κόλπῳ τοῦ Πατρὸς τῆς πίστεως Ἀβραὰμ παρὰ τὴν τοῦ Παραδείσου πηγήν· ἧς ἡ ῥανὶς ἐπὶ τοὺς ἀπίστους μὴ ἔρχεται, ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς τοῦ πεφυτευμένου παρὰ τὰς διεξόδους τῶν ὑδάτων. Ὧν καὶ ἡμεῖς ἀξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΜΕΛΕΤΙΟΝ

Ἀρχιεπίσκοπον Ἀντιοχείας Ἐπιτάφιος.

Ηὔξησεν ἡμῖν τὸν ἀριθμὸν τῶν Ἀποστόλων ὁ νέος Ἀπόστολος, ὁ συγκαταψηφισθεὶς μετὰ τῶν Ἀποστόλων. Εἵλκυσαν γὰρ οἱ Ἅγιοι πρὸς ἑαυτὸς τὸν ὁμότροπον, τὸν ἀθλητὴν οἱ ἀθληταὶ, τὸν στεφανίτην οἱ στεφανῖται, τὸν ἁγνὸν τῇ ψυχῇ οἱ καθαροὶ τῇ καρδίᾳ, τὸν κήρυκα τοῦ λόγου οἱ ὑπηρέται τοῦ λόγου. Ἀλλὰ μακαρισὸς μὲν ὁ Πατὴρ ἡμῶν, τῆς τε Ἀποστολικῆς συσκηνίας, καὶ τῆς πρὸς τὸν Χριστὸν ἀναλύσεως, ἐλεεινοὶ δὲ ἡμεῖς· ἀ γὰρ ἐᾷ μακαρίζειν ἡμᾶς τοῦ Πατρὸς τὴν ἀπολειαν, ἡ ἀωρία τῆς ὀρφανίας. Ἐκείνῳ κρεῖττον μὲν τὸ σὺν Χριστῷ εἶναι διὰ τῆς ἀναλύσεως, ἀλλ' ἡμῖν χαλεπὸν τὸ διαζεύχθηναι τῆς πατρικῆς προστασίας. Ἰδοὺ γὰρ βελῆς καιρὸς, καὶ ὁ συμβουλεύων σιγᾷ. Πόλεμος ἡμᾶς περιεστοίχισαι, πόλεμος αἱρετικὸς, καὶ ὁ στρατηγῶν οὐκ ἔστι. Κάμνει ταῖς ἀῤῥωστίαις τὸ κοινὸν σῶμα τῆς Ἐκκλησίας, καὶ τὸν ἰατρὸν οὐχ ὁρῶμεν. Ὁρᾶτε ἐν ποταποῖς τὰ ἡμέτερα; ἐβουλόμην, εἴπως οἷόν τε ἦν, πονώσας ἐμαυτοῦ τὴν ἀσθένειαν, συναναβῶναι τῷ ὄγκῳ τῆς συμφορᾶς, καί τινα ῥῦξαι φωνὴν κατ' ἀξίαν τοῦ πάθους· καθάπερ οἱ γενναῖοι πεποιήκασιν οὗτοι, μεγαλοφώνως τὴν ἐπὶ τῷ Πατρὶ συμφορὰν ὀδυρόμενοι. Ἀλλὰ τί πάθω; πῶς βιάσομαι γλῶσσαν εἰς ὑπηρεσίαν τοῦ λόγου, καθάπερ τινὶ πέδῃ βαρείᾳ τῇ συμφορᾷ πεδηθεῖσαν; πῶς ἀνοίξω στόμα τῇ ἀφασίᾳ κεκρατημένον; πῶς πρόωμαι φωνὴν, εἰς πάθη καὶ θρήνους κατὰ συνηθείας καπηλεύουσαν; πῶς ἀναβλέψω τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, τῷ τῆς συμφορᾶς γνόφῳ κεκαλυμμένος; Τίς μοι διαχὼν τὴν βαθεῖαν ταύτην καὶ σκοτεινὴν τῆς λύπης νεφέλην, πάλιν ἐξ αἰθρίας λαμπρὰν ἀναδείξει τὴν

τῆς

τῆς εἰρήνης ἀντῖνα; πόθεν δὲ καὶ ἀναλάμψει ἡ ἀκτὶς, τὸ φωσφόρος ἡμῖν καταδυόντος; Ὦ κακῆς σκοτομηνίης, ἀνατολὴ φωσφόρος οὐκ ἐλπίζεσης! Ὡς ἀπρεπτίον ἡμῖν ἐν τῷ παρόντι τόπῳ, νῦν τε καὶ πρώην οἱ λόγοι γίνονται; τότε γαμικῶς ἐχορεύομεν, νυνὶ ἐλεεινῶς ἐπὶ τῷ πένθει στενάζομεν. Τότε ἐπιθαλάμιον, νυνὶ ἐπιτάφιον ᾄδομεν. Μέμνησθε γὰρ ὅτε τὸν πνευματικὸν ὑμᾶς γάμον εἱστιάσαμεν, τῷ καλῷ νυμφίῳ εἰσοικίζοντες τὴν παρθένον, καὶ τὰ τῶν λόγων ἔδνα κατὰ δύναμιν ἡμῶν εἰσηνεγκάμεθα, εὐφραίνοντες ἐν τῷ μέρει, καὶ εὐφραινόμενοι. Ἀλλὰ νῦν εἰς θρῆνον ἡμῖν ἡ χαρὰ μεθηρμόσθη, καὶ ἡ τῆς εὐφροσύνης περιβολὴ, σάκκος ἐγένετο. Ἦ πάχα σιωπᾷν ἔδει τὸ πάθος, καὶ ἔνδον ἀποκλείειν τῇ σιωπῇ τὴν ἀλγηδόνα, ὡς ἂν μὴ διοχλοίημεν τὰς ὠδὰς τῶ νυμφῶνος, ἐκ ἔχοντες τὸ φαιδρὸν τῶ γάμου σύνδυμα, ἀλλὰ μελανειμονοῦντες τῷ λόγῳ, ἐπειδὴ γὰρ ἁπήρθη ἀφ' ἡμῶν ὁ καλὸς νυμφίος, αὐθρόως τῷ πένθει κατεμελανθημεν, καὶ οὐκ ἔστι συνήθως καταφαιδρῦναι τὸν λόγον, τὴν κοσμοῦσαν ἡμᾶς στολὴν τοῦ φθόνε ἀποσυλήσαντος. Πλήρεις ἀγαθῶν πρὸς ὑμᾶς ἀπεστάλημεν· γυμνοὶ καὶ πένητες ἀφ' ὑμῶν ὑποστρέφομεν. Ὀρθὴν εἴχομεν ὑπὲρ κεφαλῆς τὴν λαμπάδα, πλουσίῳ τῷ φωτὶ καταλάμπουσαν· ταύτην ἐσβεσμένην ἀνακομίζομεν, εἰς καπνὸν καὶ κόνιν διαλυθέντος τοῦ φέγγους. Ἔχομεν τὸν θησαυρὸν τὸν μέγαν ἐν ὀστρακίνῳ σκεύει· ἀλλ' ὁ μὲν θησαυρὸς ἀφανὴς, τὸ δὲ ὀστράκινον σκεῦος, κενὸν τῶ πλούτε τοῖς δεδωκόσιν ἐπαισχύνεται. Τί ἐρῶμεν οἱ ἀποστείλαντες; τί ἀποκρινοῦνται οἱ ἀπαιτούμενοι; Ὦ πονηρᾶ ναυαγία πῶς ἐν μέσῳ τῷ λιμένι τῆς ἐλπίδος ἡμῶν ἐναυαγήσαμεν; πῶς ἡ μυριοφόρος ὅλκας αὐτῷ τῷ πληρώματι καταδῦσα, γυμνὰς ἡμᾶς τοὺς ποτὲ πλουτοῦντας κατέλιπε; Πᾶ τὸ λαμπρὸν ἰσίον ἐκεῖνο τὸ τῷ Ἁγίῳ Πνεύματι διὰ παντὸς ἰθυνόμενον; πᾶ τὸ ἀσφαλὲς τῶν ψυχῶν ἡμῶν πηδάλιον, δι' ἧ τὰς

τρικυμίας τὰς αἱρετικὰς ἀπαθῶς παρεπλέομεν; ποῦ ἡ ἀμετάθετος τῆς γνώμης ἄγκυρα, ἢ μετὰ πάσης ἀσφαλείας πεπονηκότες ἀνεπαυόμεθα; ποῦ ὁ καλὸς κυβερνήτης, ὁ πρὸς τὸν ἄνω σκοπὸν διιθύων τὸ σκάφος; Ἆρα μικρὰ τὰ συμβαίνοντα, καὶ μάτην παθαίνομαι, ἢ μᾶλλον ἐκ ἐφικνοῦμαι τῶν πάθους, κἂν ὑπερφωνήσω τῷ λόγῳ; Χρήσατε ἡμῖν, ἀδελφοὶ, χρήσατε τὸ ἐκ συμπαθείας δάκρυον. Καὶ γὰρ ὅτε ὑμεῖς διέφραίνεσθε, ἡμεῖς τῆς διέφροσιώης ὑμῶν ἐκοινωνήσαμεν. Οὐκοιῦ ἀπόδοτε ἡμῖν τὸ πονηρὸν τοῦτο ἀντάλλαγμα. Χαίρειν μετὰ χαιρόντων, τοῦτο ἡμεῖς ἐποιήσαμεν. Κλαίειν μετὰ κλαιόντων, τοῦτο ὑμεῖς ἀνταπόδοτε. Ἐδάκρυσε ποτὲ ξενὸς λαὸς ἐπὶ τοῦ Πατριάρχου Ἰακώβ, καὶ τιὼ ἀλλοτρίαν συμφορὰν ᾠκειώσατο, ὅτε τὸν πατέρα ἐξ Αἰγύπτου οἱ ἀπ' ἐκείνου μεταπομίσαντες, πανδημεῖ τιὼ ἐπ' αὐτῷ συμφορὰν ἐπὶ τῆς ἀλλοτρίας κατωλοφύραντο, ἡμέρας τριάκοντα, καὶ τοσούταις νυξὶ τὸν ἐπ' αὐτῷ θρηνῶν συμπαρατείνοντες. Μιμήσασθε τὰς ἀλλοφύλους, ἀδελφοὶ καὶ ὁμόφυλοι. Κοινὸν ἦν τότε τῶν ξένων, καὶ τῶν ἐγχωρίων τὸ δάκρυον, κοινὸν ἔσω καὶ νῦν, ἐπεὶ καὶ τὸ πάθος κοινόν. Ὁρᾶτε τοὺς Πατριάρχας τούτους; πάντες ἔτοι τέκνα τοῦ ἡμετέρου εἰσὶν Ἰακώβ, ἐξ ἐλευθέρας οἱ πάντες, οὐδεὶς νόθος, οὐδὲ ὑπόβλητος. Οὐδὲ γὰρ ἦν θέμις ἐκείνῳ δουλικῆν συγγενείαν ἐπισάγειν τῇ εὐγενείᾳ τῆς πίστεως. Οὐκοῦν κἀ ἡμέτερος ἐκεῖνος πατὴρ, διότι τοῦ πατρὸς ἦν τοῦ ἡμετέρου πατήρ.

Ἠκούσατε ἀρτίως τοῦ Ἐφραὶμ, καὶ τοῦ Μανασσῆ, οἷα, καὶ ὅσα περὶ τοῦ πατρὸς διηγήσαντο, ὡς ὑπερβαίνειν λόγον τὰ θαύματα· δότε κἀμοὶ περὶ τούτων εἰπεῖν· καὶ γὰ ἀκίνδυνον τὸ μακαρίζειν λοιπὸν, ἔτε φοβοῦμαι τὸν φθόνον. Τί γάρ με χεῖρον ἐργάσεται; ἀκοῦν γνῶτε, τίς ὁ Ἀνήρ. Εὐγενὴς τῷ ἀφ' ἡλίου ἀνατολῶν, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Οὐ γὰρ

δὴ

δὴ ζηλοτυπήσει ὁ μέγας Ἰωβ, εἰ ταῖς περὶ αὐτοῦ μαρτυρίαις ᾗ ὁ μιμητὴς ἐκείνε ἐγκαλλωπίζοιτο. Ἀλλ' ὁ τὰ καλὰ πάντα βλέπων φθόνος, εἶδε καὶ τὸ ἡμέτερον ἀγαθὸν πικρῷ τῷ ὀφθαλμῷ· καὶ ὁ ἐμπειρίατῶν τῇ οἰκεμένῃ, ᾗ δι' ἡμῶν περιεπάτησε, πλατὺ τὸ ἴχνος τῆς θλίψεως ταῖς διώραγίαις ἡμῶν ἐναπερείσας. Οὐ βοῶν καὶ προβάτων ἀγέλας διελυμήνατο· (πλὴν εἰ μή ἄρά τις κατὰ τὸ μυστικὸν εἰς τὴν Ἐκκλησίαν μεταλάβοι τὸ ποίμνιον·) πλὴν οὐκ ἐν τούτοις ἡμῖν παρὰ τὸ φθόνε ἡ βλάβη. Οὐδὲ ἐν ὄνοις καὶ καμήλοις τὴν ζημίαν εἰργάσατο, οὐδὲ τραύματι σαρκὸς τὰς αἰσθήσεις ἐδείμυξεν, ἀλλ' ἡμᾶς τῆς κεφαλῆς ἀπεσύλησε· τῇ δὲ κεφαλῇ συναπῆλθε τὰ τίμια ἡμῶν αἰσθητήρια. Οὐκέτι ἐστὶν ὀφθαλμὸς, ὁ τὰ οὐράνια βλέπων, οὐδὲ ἀκοὴ, τῆς θείας φωνῆς ἐπαΐουσα, οὐδὲ ἡ γλῶσσα ἐκείνη, τὸ ἁγνὸν ἀνάθημα τῆς ἀληθείας. Ποῦ ἡ γλυκεῖα τῶν ὀμμάτων γαλήνη; ποῦ τὸ φαιδρὸν ἐπὶ τῶ χείλους μειδίαμα; πῦ ἡ διώροσήγορος δεξιὰ, τῇ τῶ στόματος διλογίᾳ τοὺς δακτύλους συνεπισείουσα; προάγομαι δὲ ὡς ἐπὶ σκηνῆς ἀναβοῆσαι τὴν συμφοράν. Ἐλεῶσε, ὦ Ἐκκλησία. Πρὸς σὲ λέγω, τὴν Ἀντιόχε πόλιν. Ἐλεῶσε τῆς ἀθρόας ταύτης μεταβολῆς. Πῶς ἀπεκοσμήθη τὸ κάλλος; πῶς ἀπεσυλήθη ὁ κόσμος; πῶς ἐξαίφνης ἀπερρύη τὸ ἄνθος; ὅντως ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. Τίς ὀφθαλμὸς πονηρός; τίς βασκανία κακὴ κατὰ τῆς Ἐκκλησίας ἐκείνης ἐκώμασεν; οἷα ἀνθ' οἵων ἠλλάξατο; ἐξέλιπεν ἡ πηγὴ, ἐξηράνθη ὁ ποταμός· πάλιν εἰς αἷμα μετεποιήθη τὸ ὕδωρ. Ὦ δυστυχοῦς ἀγγελίας ἐκείνης, τῆς διαγγελούσης τῇ Ἐκκλησίᾳ τὸ πάθος! Τίς ἐρεῖ τοῖς τέκνοις, ὅτι ἀπορφανίσθησαν; τίς ἀπαγγελεῖ τῇ νύμφῃ, ὅτι ἐχήρευσεν; Ὦ τῶν κακῶν! Τί ἐξέπεμψαν, καὶ τί ὑποδέχονται; κιβωτὸν προέπεμψαν, καὶ σορὸν ὑποδέχονται. Κιβωτὸς ἦν, ἀδελφοὶ, ὁ τοῦ Θεοῦ ἄνθρωπος. Κιβωτὸς, περιέχων

ἐν ἑαυτῷ τὰ θεῖα Μυστήρια. Ἐκεῖ ἡ σάρκος ἡ χρυσῆ πλήρης τῆς θείου μάννα, πλήρης τῆς οὐρανίου ζοφῆς. Ἐν ἐκείνῃ αἱ πλάκες τῆς διαθήκης, ἐν ταῖς πλαξὶ τῆς καρδίας ἐγγεγραμμέναι πνεύματι θεοῦ ζῶντος, οὐ μέλανι. Οὐδὲν δὲ τῇ καθαρότητι τῆς καρδίας ζοφῶδες, καὶ μέλαν ἐνεκέκαυτο νόημα, ἐν ἐκείνῃ οἱ σύλοι, αἱ κεφαλίδες, τὸ θυμιατήριον, ἡ λυχνία, τὸ ἱλαστήριον, οἱ λατῆρες, τὰ τῆς εἰσόδων καταπετάσματα· ἐν ἐκείνῃ ἡ ῥάβδος τῆς ἱερωσύνης, ἡ ἐν ταῖς χερσὶ ταῖς ἐκείνου βλαστήσασα· καὶ εἴτι ἄλλο τοιοῦτον ἔχειν ἀκούομεν, πάντα τῇ ψυχῇ τοῦ ἀνδρὸς περιείληπτο. Ἀλλ' αὐτ' ἐκείνων τί; σιωπάτω ὁ λόγος. Σινδόνες καθαραὶ, καὶ τὰ ἐκ σηρῶν ὑφάσματα. Μύρων καὶ ἀρωμάτων δαψίλεια, γυναικὸς φιλοτιμία κοσμίας τε καὶ διηκόνου. Εἰρήσεται γάρ, ὡς ἂν καὶ ταῦτα γένοιτο εἰς μαρτύριον αὐτῇ, ἃ περὶ τὸν Ἱερέα ἐποίησε, δαψιλῶς τὸν ἀλάβαστρον τοῦ μύρου τῆς τοῦ Ἱερέως κεφαλῆς καταχέασα. Ἀλλὰ τὸ ἐν τάφοις διασωζόμενον, τί; ὀστέα νεκρὰ, καὶ πρὸ τοῦ θανάτου μεμελετηκότα τοῦ νέκρωσιν. Τὰ λυπρὰ τῆς συμφορᾶς ἡμῶν μνημόσυνα. Ὦ οἵα φωνὴ πάλιν ἐν Ῥαμὰ ἀκουσθήσεται· Ῥαχὴλ κλαίουσα, οὐχὶ τὰ τέκνα αὐτῆς, ἀλλὰ τὸν ἄνδρα, καὶ τὴν προσιεμένην παράκλησιν. Ἄφετε οἱ παρακαλοῦντες, ἄφετε. Μὴ κατισχύσητε παρακαλέσαι. Βαρὺ πενθείτω ἡ χήρα, αἰθέσθω τῆς ζημίας, ἧς ἐζημίωται. Καίτοι καὶ ἀμελέτητός ἐστι τοῦ χωρισμοῦ, ἐν τοῖς ἀγῶσι τοῦ ἀθλητοῦ προεθισθεῖσα φέρειν τοῦ μόνωσιν. Μέμνησθε πάντως, ὅπως ὑμῖν ὁ πρὸ ἡμῶν λόγος τοὺς ἀγῶνας τοῦ ἀνδρὸς διηγήσατο, ὅτι διὰ πάντων τιμῶν τοῦ Ἁγίαν Τριάδα, καὶ ἐν τῷ ἀριθμῷ τῷ ἀγώνων τὴν τιμὴν διεσώσατο, ξίσι πειρασμῶν προσβολαῖς ἐναθλήσας. Ἠκούσατε τοῦ ἀκολουθίαν τῶν πόνων, οἷος ἐν πρώτοις, οἷος ἐν μέσοις, ἐν τελευταίοις οἷος ἦν. Περιττὴν κρίνω τοῦ παράληψιν τῶν εἰρημένων καλῶς· ἀλλὰ τοσοῦτον εἰπεῖν ἴσως

ὀκ

ἐκ ἄκαιρον. Ὅτε τὸ πρῶτον εἶδεν ἡ σώφρων Ἐκκλησία ἐκείνη τὸν ἄνδρα, εἶδε πρόσωπον ἀληθῶς ἐν εἰκόνι Θεοῦ μεμορφωμένον. Εἶδεν ἀγάπην πηγάζουσαν· εἶδε χάριν περικεχυμένην τοῖς χείλεσι· ταπεινοφροσύνης τὸν ἀκρότατον ὅρον, μεθ' ὃν οὐκ ἔστιν ἐπινοῆσαι τὸ πλέον. Κατὰ τὸν Δαβὶδ τὴν πραότητα, κατὰ τὸν Σολομῶντα τὴν σύνεσιν, κατὰ τὸν Μωσέα τὴν ἀγαθότητα, καὶ τὸν Σαμουὴλ τὴν ἀκρίβειαν, κατὰ τὸν Ἰωσὴφ τὴν σωφροσύνην, καὶ τὸν Δανιὴλ τὴν σοφίαν, κατὰ τὸν μέγαν Ἠλίαν ἐν τῷ ζήλῳ τῆς πίστεως, καὶ τὸν ὑψηλὸν Ἰωάννην ἐν τῇ ἀφθορίᾳ τοῦ σώματος, κατὰ τὸν Παῦλον ἐν τῇ ὑπερθέτῳ ἀγάπῃ. Εἶδε τοσούτων ἀγαθῶν στεφάνους περὶ μίαν ψυχήν. Ἐτρώθη τῷ μακαρίῳ ἔρωτι, ἐν τῇ ἁγνῇ καὶ ἀγαθῇ φιλοφροσύνῃ τὸν νυμφίον ἑαυτῆς ἀγαπήσασα. Ἀλλὰ περὶ τὴν ἐπιθυμίαν ἐμπλῆσαι, περὶ ἀναπαῦσαι τὸν πόθον, ἔτι τῷ φίλτρῳ ζέουσα, κατελείφθη μόνη, τῶν πειρασμῶν τὸν ἀθλητὴν ἐπὶ τοὺς ἀγῶνας καλούντων. Καὶ ὁ μὲν ἐνήθλει τοῖς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶσιν, ἡ δὲ ὑπέμενεν, ἐν σωφροσύνῃ τὸν γάμον φυλάττουσα. Χρόνος ἦν ἐν μέσῳ πολύς, καί τις μοιχικῶς κατεπεχείρει τῆς ἀχράντου παστάδος· ἀλλ' ἡ νύμφη οὐκ ἐμιαίνετο· καὶ πάλιν ἐπανόδος, καὶ πάλιν φυγή· καὶ ἐκ τείτου ὡσαύτως, ἕως διαχὼν τὸν αἱρετικὸν ζόφον ὁ Κύριος, καὶ τὴν ἀκτῖνα τῆς εἰρήνης ἐπιβαλὼν, ἔδωκεν ἀνάπαυσίν τινα τῶν μακρῶν πόνων ἐλπίζειν. Ἀλλ' ἐπειδὴ πάλιν εἶδον ἀλλήλους, καὶ ἀνενεώθη τὰ τῆς σωφροσύνης, καὶ θυμηδίαι πνευματικαὶ, καὶ πάλιν ἀνεφλέχθη ὁ πόθος· δι' ὃν διακόπτει τὴν ἀπόλαυσιν ἡ ἐχάτη αὕτη ἀποδημία. Ἦλθε νυμφοστολήσων ὑμᾶς, καὶ ἐ διήμαρτε τοῦ σπουδάσματος. Ἐπέθηκε τῇ καλῇ συζυγίᾳ τὰς τῆς δόξης στεφάνους. Ἐμιμήσατο τὸν Δεσπότην. Ὡς ἐν Κανᾷ τῆς Γαλιλαίας ὁ Κύριος, οὕτω καὶ ἐνταῦθα ὁ μιμητὴς τοῦ Χριστοῦ. Τὰς γὰρ Ἰουδαϊκὰς ὑδρίας τοῦ αἱρετικοῦ ὕδατος πεπληρωμένας,

πλήρεις τοῦ ἀκηράτου οἴνου ἐποίησεν, ἐν τῇ δυνάμει τῆς πίστεως μεταποιήσας τὸ φύσιν. Ἔσησεν ἐν ὑμῖν πολλάκις κρατῆρα νηφάλιον, τῇ γλυκείᾳ αὐτοῦ φωνῇ δαψιλῶς οἰνοχοήσας τῷ χάριν. Πολλάκις ὑμῖν προεθήκατο τὴν λογικὴν πανδαισίαν. Ὁ μὲν ἀλλογῶν καθηγεῖτο· οἱ δὲ καλοὶ οὗτοι μαθηταὶ δικκονεν τοῖς ὄχλοις μυστοποιοῦντες τὸν λόγον· καὶ ἡμεῖς εὐφραινόμεθα, τῷ τοῦ γένους ὑμῶν δόξαν, οἰκείαν ποιέμενοι.

Ὡς καλὰ μέχρι τούτου τὰ διηγήματα! Ὡς μακάριον ἦν τούτοις ἐναπολῆξαι τὸν λόγον! Ἀλλὰ μετὰ ταῦτα τί; καλέσατε τὰς θρηνούσας, ὁ Ἱερεμίας φησίν. Οὐ γάρ ἐστιν ἄλλως φλεγομένῳ καρδίαν καταπεμφθῆναι, ὑπὸ τῶ πάθους οἰδαίνουσαν, μὴ σταγμοῖς, καὶ δακρύοις κουφιζομένῳ. Τότε παρεμυθεῖτο τὸν χωρισμὸν ἡ τῆς ἐπανόδου ἐλπίς· νυῦ δὲ τὸν ἕκατον ἡμῶν χωρισμὸν ἀπεσχίσθη. Χάσμα μέγα μεταξὺ αὐτῶ τε, καὶ τῆς Ἐκκλησίας καὶ τὸ μέσον ἐστήρικται. Ὁ μὲν ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ἀναπαύεται· ὁ δὲ διακομίζων τῷ σταγόνα τοῦ ὕδατος, ἵνα καταψύξῃ τῆς ὀδυνωμένων τῷ γλῶσαν, οὐκ ἔστιν. Οἴχεται τὸ κάλλος ἐκεῖνο, σιγᾷ ἡ φωνὴ, μέμυκε τὰ χείλη, ἀπέπτη ἡ χάρις, δίνημα γέγονεν ἡ δύκλησία. Ἐλύπει ποτὲ καὶ τὸν Ἰσραηλίτῳ λαὸν Ἠλίας ἀπὸ γῆς πρὸς Θεὸν ἀναπτάμενος· ἀλλὰ παρεμυθεῖτο τὸν χωρισμὸν Ἐλισαῖος, τῇ μηλωτῇ τῶ Διδασκάλου κοσμέμενος. Νυνὶ δὲ τὸ τραῦμα ὑπὲρ θεραπείαν ἐστίν· ὅτι καὶ Ἠλίας ἀνελήφθη, καὶ Ἐλισαῖος οὐχ ὑπελείφθη. Ἠκούσατε τῶ Ἱερεμίᾳ φωνάς τινας σκυθρωπὰς καὶ γοώδεις, ἃς ὡς ἐρημωθεῖσαν τὴν πόλιν Ἱεροσολυμιτῶν κατεθρήνησεν· ὃς ἄλλατέ τινα περιπαθῶς διεξῆλθε, καὶ τοῦτό, φησιν, ὁδοὶ Σιὼν πενθοῦσι. Ταῦτα τότε μὲν εἴρηται, νῦν δὲ πεπλήρωται· ὅταν δὲ περιαγγελθῇ τῶ πάθους ἡ φήμη, τότε πλήρεις ἔσονται αἱ ὁδοὶ τῶν πενθούντων, καὶ προχεθήσονται οἱ

ὑπ'

ὑπ' αὐτῷ ποιμαινόμενοι, τῷ τῷ Νινευΐτῃ φωνῷ ἐπὶ τῷ πάθει μιμούμενοι· μᾶλλον δὲ κἀκείνων ἀλγεινότερον ὀδυρώμενοι. Τοῖς μὲν γὰρ ὁ θρῆνος τὸν φόβον ἔλυσε· τοῖς δὲ λύσις ὠδεμία τῶν κακῶν ἀπὸ τῶν θρήνων ἐλπίζεται. Οἶδά τινα τὸ Ἱερεμίου καὶ ἄλλῳ φωνῷ, ταῖς βίβλοις ὅσαν τῶν Ψαλμῶν ἐναρίθμιον, ᾠδῇ ἐπὶ τῇ αἰχμαλωσίᾳ τῷ Ἰσραὴλ ἐποιήσατο. Φησὶ δὲ ὁ λόγος, ὅτι ἐν ἰτέαις ἐκρεμάσαμεν ἑαυτῶν τὰ ὄργανα, σιωπῇ ἑαυτῶν τε καὶ τῶν ὀργάνων καταδικάσαντες. Ἐμοὶ ποιοῦμαι τὸν ᾠδὸν τοῦτον· ἐὰν γὰρ ἴδω τὴν αἱρετικὴν σύγχυσιν (Βαβυλὼν δέ ἐστιν ἡ σύγχυσις) καὶ ἐὰν ἴδω τοὺς πειρασμοὺς τοὺς διὰ τῆς συγχύσεως ῥέοντας, ταῦτα ἐκεῖνά φημι τὰ Βαβυλώνια ῥεύματα, οἷς προσκαθήμενοι κλαίομεν, ὅτι τὸν διάγοντα ἡμᾶς διὰ τούτων οὐκ ἔχομεν. Κἂν τὰς ἰτέας εἴπῃς, καὶ τὰ ἐπὶ τούτων ὄργανα, ἐμὸν καὶ τοῦτο τὸ αἴνιγμα. Οὕτως γὰρ ἐν ἰτέαις ὁ βίος· δενδρον γὰρ ἄκαρπον ἡ ἰτέα ἐστίν. Ἡμῶν δὲ ἀπερρύη τῆς ζωῆς ὁ γλυκὺς καρπός. Οὐκοῦν ἰτέαι γεγόναμεν ἄκαρποι, ἀργὰ καὶ ἀκίνητα τὰ τῆς ἀγάπης ὄργανα ἐπὶ τῶν ξύλων κρεμάσαντες. Ἐὰν ἐπιλάθωμαί σου, φησὶν, Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου. Δότε μοι μικρὸν ὑπαλλάξαι τὸ γεγραμμένον, ὅτι ἐχ ἡμεῖς τῆς δεξιᾶς, ἀλλ' ἡ δεξιὰ ἡμῶν ἐπιλέλησται· καὶ ἡ γλῶσσα τῷ ἰδίῳ λάρυγγι κολληθεῖσα, τὰς τῆς φωνῆς διεξόδους ἀπέφραξεν, ἵνα μηκέτι ἡμεῖς τῆς γλυκείας ἐκείνης φωνῆς πάλιν ἀκούσωμεν.

Ἀλλ' ἀπολήσασθέ μοι τὰ δάκρυα· αἰδοῦμαι γὰρ πέρα τοῦ δέοντος ἐπὶ τῷ πάθει γυναικιζόμενος. Οὐκ ἀφῃρέθη ἀφ' ἡμῶν ὁ νυμφίος· μέσος ἡμῶν ἕστηκε, κἂν ἡμεῖς μὴ βλέπωμεν. Ἐν τοῖς ἀδύτοις ὁ Ἱερεύς· εἰς τὰ ἐνδότερα τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός. Κατέλιπε τὸ τῆς σαρκὸς παραπέτασμα. Οὐκέτι ὑποδείγματι καὶ σκιᾷ λατρεύει τῷ ἐπουρανίων, ἀλλ' εἰς αὐτὸν βλέπει τὸν τῷ πραγμά-

τῳ

μάτων εἰκόνα. Οὐκέτι δι' ἐσόπτρου καὶ αἰνίγματος, ἀλλ' αὐτοπροσώπως ἐντυγχάνει τῷ Θεῷ. Ἐντυγχάνει δὲ ὑπὲρ ἡμῶν, καὶ τῶν τῆς λαοῦ ἀγνοημάτων. Ἀπέθετο τοὺς δερματίνους χιτῶνας· οὐδὲ γάρ ἐστι χρεία τοῖς ἐν Παραδείσῳ διάγουσι, τῶν τοιούτων χιτώνων· ἀλλ' ἐνδύματα, ἃ τῇ καθαρότητι τοῦ βίου αὐτοῦ ἐξυφάνας, ἀπεκοσμήσατο. Τίμιος ἐναντίον Κυρίου τῆς τοιούτου ὁ θάνατος· μᾶλλον δὲ οὐχὶ θάνατος, ἀλλὰ ῥῆξίς ἐστι μελῶν. Διέῤῥηξας γάρ, φησι, τοὺς δεσμούς μου. Ἀπελύθη ὁ Συμεών· ἠλευθερώθη ἐκ τῶν δεσμῶν τοῦ σώματος. Ἡ παγὶς συνετρίβη, τὸ δὲ σκεῦος ἀπέπτη. Κατέλιπε τὴν Αἴγυπτον, τὸν ὑλώδη βίον. Ἐπέρασεν οὐχὶ τὴν ἐρυθρὰν ταύτην, ἀλλὰ τὴν μέλαιναν ἐκείνην καὶ ζοφώδη τῆς βίου θάλασσαν. Εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας· ἐπὶ τοῦ ὄρους προσφιλοσοφεῖ τῷ Θεῷ. Ἐλύσατο τὸ ὑπόδημα τῆς ψυχῆς, ἵνα καθαρᾷ τῇ βάσει τῆς διανοίας τῆς Ἁγίας Γῆς ἐπιβατεύσειεν, ἣ καθορᾶται Θεός. Ταύτην ἔχοντες, ἀδελφοὶ, τὴν παράκλησιν, ἡμεῖς οἱ τὰ ὀστᾶ τοῦ Ἰωσὴφ ἐπὶ τὴν χώραν τῆς εὐλογίας μετακομίζοντες, ἀκούσατε τοῦ Παύλου παρεγγυῶντος· μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. Εἴπατε τῷ ἐκεῖ λαῷ, διηγήσασθε τὰ καλὰ διηγήματα· εἴπατε τὸ ἀπιστούμενον θαῦμα. Πῶς εἰς θαλάσσης ὄψιν καταπυκνωθέντες ὁ μυριάνθρωπος δῆμος, ἐν ἦσαν κατὰ τὸ συνεχὲς σῶμα οἱ πάντες, οἷόν τι ὕδωρ περὶ τὴν τοῦ σκηνώματος πομπὴν πελαγίζοντες· πῶς ὁ καλὸς Δαβὶδ πολυμερῶς καὶ πολυτρόπως εἰς μυρίας τάξεις ἑαυτὸν καταμερίσας, ἐν ἑτερογλώσσοις καὶ ὁμογλώσσοις περὶ τὸ σκῆνος ἐχόρευσε. Πῶς ἑκατέρωθεν οἱ τοῦ πυρὸς ποταμοὶ τῇ συνεχείᾳ τῶν λαμπάδων ὁλκὸς ἀδιάστατος ῥέοντες, ἕως ἔδυνατὸν τῷ ὀφθαλμῷ λαβεῖν, παρατείνοντο. Εἴπατε τοῦ λαοῦ παντὸς τὴν προθυμίαν, τῶν Ἀποστόλων τὴν συσκηνίαν. Πῶς τὰ σουδάρια τῶν προσώπων αὐτοῦ, εἰς φυλακτήρια τῶν τι-

πιςῶν διετίλλετο. Προσκείσθω τῷ διηγήματι Βασιλὶς σκυθρωπάζων ἐπὶ τῷ πάθει, καὶ θρόνου ἐξανιστάμενος· καὶ πόλις ὅλη τῇ πομπῇ τοῦ Ἁγίου συμμεταβαίνουσα· καὶ παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. Καλῶς Σολομὼν ἰατρεύει τὴν λύπην· κελεύει γὰρ τοῖς ἐν λύπῃ οἶνον διδόναι, φησὶν ἡμᾶς τοῦτο λέγων, τὰς τοῦ ἀμπελῶνος ἐργάτας. Δότε οὖν τὸν ὑμέτερον οἶνον τοῖς λυπουμένοις, οὐ τὸν τῆς μέθης ἐργάτην, καὶ τῶν φρενῶν ἐπίβουλον, καὶ φθορέα τοῦ σώματος, ἀλλὰ τὸν τὴν καρδίαν εὐφραίνοντα, ὃν ὁ Προφήτης ἡμῖν ἐπεδείκνυε, λέγων· οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου· Ζωροτέρῳ τῷ πράματι, καὶ ἀφθονωτέραις δεξιῶσθε τὰς πνευματικὰς λόγους ταῖς κύλιξιν, ὥς τε ἡμῖν πάλιν εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν περισταθῆναι τὸ πρόσωπος, χάριτι τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· δι' οὗ ἡ δόξα τῷ Θεῷ, καὶ Πατρὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ

Τεσσαράκοντα Μάρτυρας Ἐγκώμιον.

Χθὲς οἱ Μάρτυρες πρὸς ἑαυτὰς τὸν λαὸν ἐκάλεσν, νῦν τῷ καταγωγίῳ τῆς Ἐκκλησίας ἐπιξενῶνται αὐτόκλητοι. Νόμος δέ τις ἐστὶ συμποτικὸς, καὶ τὰς ἐγκυκλίους ταύτας ἐσιάσεις παρὰ τῶν δαιτυμόνων ἀλλήλοις ἐκ περιτροπῆς ἐπιδίδοσθαι. Οὐκ ἂν ἀνάγκη καὶ ἡμᾶς τὸν αἰτὸν ἀντιπληρῶσαι τοῦ δείπνου τοῖς Μάρτυσιν ἔρανον. Ἀλλ' ἐπειδὴ πρέπει ἡμῖν ἡ χορηγία τὸ λόγε, καλῶς ἔχει τοῖς παρ' αὐτῷ ἐκείνων λειψάνοις ἡμᾶς δεξιῶσθαι, τὰς χθὲς μὲν ἑστιάτορας, σήμερον δὲ δαιτυμόνας. Ἀρκεῖ γὰ καὶ βραχύ τι μέρος ἐκ πλεσίας τραπέζης, μεγάλης δ' ὠφελίας γενέσθαι παρασκευὴ, ὅταν τοιοῦτον λείψανον ᾖ. Τί δ' ἐν τῶτο τὸ λείψανον; μέμνησθε πάντως ἐν τίνι ἡμεν τὸ λόγε, ὅτε ὁ δίκαιος ἐκεῖνος, καὶ ἡδὺς ἡμῖν ἐκ τῦ πλήθους τῷ συνειλεγμένων θόρυβος συνέχεε τὴν τῶν λεγομένων ἀκρόασιν, ὅτε ἡ ἔμψυχος ἐκείνη τῆς Ἐκκλησίας θάλασσα τῷ πλήθει τῶν ἐπεισρεόντων πλημμυρῦσα, πρὸς τὴν ῥοπὴν τῶν ἀεὶ βιαζομένων ἐκύμαινε, μιμεμένη καὶ τῷ ἦχῳ τὸν ὄντως θάλασσαν, οἷον αὐταῖς ταῖς ἀκοαῖς ἡμῶν προσρηγνῦσα τῶν κυμάτων τὸν φόφον. Ἐν τίσι τοίνυν καταλίπομεν χειμαθσύτα τῷ θορύβῳ τὸν λόγον, μέμνησθε πάντως οἷς μεμελέτηται διὰ μνήμης ἔχειν τὰς Μάρτυρας. Ἦν δὲ, ὡς οἶμαι, ἡ ἀκολυθία τὸ λόγε αὕτη, ὅτι ἐ τῶν τυχόντων ἦσάν τινες, οἱ εἰς τὸν ἀγῶνα τῶτον ἐξειλεγμένοι, ἐδέ τις σύμμικτος καὶ ἀνώνυμος ὄχλος, ἐκ ταπεινῶν ἐπιτηδευμάτων ὁρμηθέντες, πρὸς τὸ ἀξίωμα τῶτο ἐπήρθησαν· ἀλλὰ πρῶτον μὲν δι' εὐφυΐαν σώματος, κάλλει καὶ δυνάμει, καὶ ῥώμης περισσίᾳ τῶν λοιπῶν διενεγκόντες, τοῖς στρατιωτικοῖς καταλόγοις ἐνηριθμήθησαν. Μετὰ ταῦτα δὲ τῷ κατ' ἀρετὴν βίῳ, καὶ πολιτείᾳ σώφρονι

διὰ-

διαφρέψαντες, ὥσπερ τι γέρας καὶ ἀριστεῖον τιμὴ χάριν τῆς Μαρτυρίας τελειωθέντες ἐδέξαντο. Καὶ εἰ δοκεῖ ὡς αὖ ἡδίως γινοίμεθα, πάντα τὰ τῶν Μαρτύρων ἐφεξῆς ἀναλάβωμεν, οἷον ὑπ' ὄψιν ἄγοντες τῷ παρόντι θεάτρῳ τὴν ἄθλησιν. Ἦν τι τάγμα στρατιωτικὸν παλαιὸν καὶ τιμὴ γείτονα πόλιν, παντὸς τοῦ ἔθνους πρὸς τὰς τῶν βαρβάρων ὁρμὰς προκαθήμενον. Ἐκείνοις ἔκτινος προϋπαρχούσης θεόθεν ἐπιφανείας πλεῖον ἡ πίστις τῶν πακτικῶν ἐσπουδάζετο· καὶ ἴσως οὐκ ἄκαιρον σύντι κατόρθωμα τῆς πίστεως τῶν ἀνδρῶν ἐκείνων ἐν παραδρομῇ διηγήσασθαι· συσσίτους γὰρ αὐτοῖς ποτὲ τοὺς πρὸς τοὺς βαρβάρους πολέμους, καὶ τῶν ἐπικαίρων πάντων προκαταλιφθέντων ὑπὸ τῆς τῶν ἐναντίων στρατιᾶς, καὶ τῶν ὑδάτων ἐν τῇ τῶν ἐχθρῶν ἐξουσίᾳ γεγενημένων, εἰς ἔσχατον ἐλθόντες κίνδυνον, εἴτε δι' ἀπειρίαν τῶν τὰ ἡμέτερα στρατηγούντων, εἴτε διά τινα κρείττονα, καὶ θειοτέραν οἰκονομίαν, ὡς αὖ μάλιστα καὶ διὰ τοῦτο φανείη τῶν Χριστιανῶν τὸ πρὸς τοὺς ἀλλοφύλους διάφορον· ἐπειδὴ οὐκ εἶχον ὅ,τι χρήσονται τοῖς παροῦσι, καὶ πολλή τις ἦν ἡ ἀμηχανία, δεδεμένοις αὐτοῖς πίδακος, ἢ ἀπορροίας ὑδάτων ἐμφαινομένης τῷ τόπῳ, καὶ κίνδυνος ἦν ὑποκύψαι τοῖς ἐναντίοις ἐκπολιορκηθέντας τῷ δίψει, τότε καταλιπόντες οἱ γενναῖοι τὴν ἐκ τῶν ὅπλων βοήθειαν, ἔγνωσαν τιμὴν ἄμαχον καὶ ἀκαταγώνιστον ἐν τοῖς φοβεροῖς ἐπικαλέσασθαι συμμαχίαν. Ἀφσύτες γὰρ ἐπὶ τοὺς στρατοπέδους τοὺς μήπω παραδεδεγμένους τὴν πίστιν, καὶ ἐφ' ἑαυτῶν ἰδιάσαντες, μιμοῦνται τὴν ἐπὶ Ἠλιοὺ τοῦ Προφήτου γενομένην θαυματουργίαν, κοινῇ τῇ φωνῇ καὶ συντεταγμένῃ λύσιν αὐτοῖς ἐξ ἀμηχανίων γενέσθαι τῆς συμφορᾶς αἰτησάμενοι. Καὶ οἱ μὲν ηὔχοντο, ἡ δὲ δίκη παραχρῆμα ἔργον ἐγίνετο. Ἔτι γὰρ αὐτῶν τῇ γονυκλισίᾳ προσκαρτερούντων, πνεύματι βιαίῳ νεφέλη ποθὲν ἀπολιφθεῖσα μετέωρος, ὑπὲρ τὸ τῶν πολεμίων στρατόπεδον ἵσατο. Εἶτα βροντὰς ἐξαισίους ἐπικτυπήσασα, καὶ ἀστραπὰς φλογώδεις κατὰ τῶν ὑποκειμένων ἐξάψασα, κατερ-

τερῤῥήγνυσιν ὕδωρ ποταμῶν ἀφθονώτερον, ὥστε τοῖς μὲν ὑπεναντίοις, καὶ τῇ σκληρᾷ τιὼ συνέχειαν, καὶ τὸ πλῆθος τῆς ἐπομβρίας αἴτιον γενέσθαι παντελοῦς καταφθορᾶς· τούτοις δὲ τοῖς διὰ τῆς ἀχῶν παραταξομένοις, ἱκανὸν πρὸς ἀμφότερα γενέσθαι, πρός τε τιὼ νίκην τῆς ἀντιτεταγμένων, καὶ πρὸς τὴν παραμυθίαν τῆς δίψης, τῆς τῶν χειμάῤῥων ἀπορῥοῆς ἀφθόνως αὐτοῖς τὸν ποτὸν χορηγούσης.

Τούτοις τοίνυν συνετάχθη ὁ ἡμέτερος τῆς στρατιᾶς χορός. Ἀπ' ἐκείνων τῶν ἐπιγημάτων, καὶ αὐτοὶ περὶ τιὼ πίστιν κυρωθέντες, καὶ τοῖς ὁμοίοις ἐντραφέντες ἐπιτηδεύμασιν, εἰς τοσοῦτον μεγαλοφυΐας ἐπῆρθησαν, ὥστε τῷ περιόντι τῆς ἀρετῆς, καθ' ἑαυτῆς αὐξῆσαι τὸν φθόνον. Καθάπερ γὰρ ἐπὶ τῶν νεῶν ὑπαναγνωσθέντων ἡμῖν ἐκ τῆς τοῦ Ἰωὴβ ἱστορίας ἐμάθομεν, ὅτι ἀδίκημα ἑαυτῷ ἐποίει ὁ ἀντίπαλος τῆς ἀνθρωπίνης ζωῆς τιὼ τὸν Ἰωὴβ δοκίμησιν, καὶ διὰ τοῦτο ἐζητεῖτο πρὸς αἰτίσμον, ὅτι ἐλύπει αὐτὸν ὁ Ἰωὴβ, ἀληθινὸς καὶ δίκαιος καὶ ἄμεμπτος ὤν· τὸν αὐτὸν τρόπον εἶδε πονηρῷ τῷ ὀφθαλμῷ ὁ τοῖς ἀγαθοῖς ἐπιφυόμενος, τοὺς μεγάλους τούτους ἀγωνισὰς, καὶ ἐκ νέου πολιὰν ἠθῶν ἐν ἡλικίας νεότητι βλέπων. Εἶδε σωμάτων ἄνθος ἐν σωφροσύνῃ κουμιζόμενον· εἶδεν ἐνόπλιόν τινα χοροστασίαν, διὰ τῆς στρατιᾶς αὐτὸς τῷ Θεῷ χορεύοντας, καλὸς φροσιδεῖν, βλοσυρὸς τὸ ὄμμα, γαῦρος τὸ φρόνημα, πάχος ποδῶν, περιουσίαν δυνάμεως, συμμετρίαν μελῶν, ἐν πᾶσι τοῖς φροσοῦσιν αὐτοῖς φροτερήμασι τιὼ τῆς ψυχῆς ἀρετιὼ, τῆς σωματικῆς ἀκλινείας ὑπερασπάπτουσαν. Ἐμπεριπατεῖ καὶ δι' ἐκείνων τῷ φθόνῳ, ὁ ἐμπεριπατῶν τιὼ οἰκουμένην. Εἶδεν οὐχ ἕνα ἄνθρωπον ἀληθινὸν, ἀλλὰ σύστημα θεῖον τοσούτων ἀνθρώπων, πάντων ἀληθινῶν, δικαίων, θεοσεβῶν. Ἐξαιτεῖται κἀκείνους εἰς τὸ ἴδιον βάλημα· καὶ πρῶτον μὲν εἰδωλομανοῦντι τῷ τῆς στρατιᾶς ἄρχοντι σύμβουλος γίνεται, μὴ αὖ ἄλλως ὑπερχεῖν τῆς κῆ τῆ βαρβάρων νί-

νίκης, εἰ μὴ τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας προθύσαιτο. Ἀναδειχθέντων δὲ τέκνων ὡς τάχισα διὰ τῆς ἀγαθῆς ὁμολογίας, καὶ αὐτομολούντων πρὸς τὸν διὰ τὸ πάθος τελείωσιν, τὸ μὲν δίθυς ἐπαγαγεῖν τὸν διὰ τοῦ ξίφους θάνατον, ὡς τι φιλάνθρωπον ὁ ἐχθρὸς παρητήσατο, δεσμοῖς δὲ τοῖς ἐκ σιδήρου καταπιέσας, ταύτῃ ἐποιεῖτο τὴν τῆς τιμωρίας ἀρχήν. Τοῖς δὲ ἦν ἄρα καὶ ὁ δεσμὸς ἐγκαλλώπισμα, καὶ θέαμα γλαφυρὸν καὶ ἡδὺ Χριστιανῶν ὀφθαλμοῖς, νέοτης ἐξειλεγμένη ἀριθμῷ τοσούτῳ, κάλλει διαφερπὴς, ἡλικίᾳ ὑπὲρ τοὺς ἄλλους, πάντες καὶ ταὐτὸν μετ' ἀλλήλων τῷ δεσμῷ συνηρμόζοντο, ὥσπερ τις στέφανος ἢ ὅρμος περιαυχένιος ἰσομεγέθεις μαργαρίτας ἐν κύκλῳ διειλημμένους ἔχων. Τοιοῦτοι ἦσαν οἱ Ἅγιοι, καὶ διὰ πίστεως ἡνωμένοι, καὶ διὰ τῶν δεσμῶν πρὸς ἀλλήλους σφιγγόμενοι· ὄντες δὲ καὶ καθ' ἑαυτὸν ἕκαστος καλοὶ, προθήκη τοῦ κάλλους ἀλλήλοις ἐγίνοντο. Οἷον ἐπὶ τῶν οὐρανίων συμβαίνει θαυμάτων, ὅταν δι' αἰθρίας καθαρᾶς ἡ τῶν ἀστέρων χάρις δι' ἀλλήλων ποικίληται, ἑκάστου τὴν οἰκείαν αἴγλην εἰς τὸν κοινὸν κόσμον τῷ Οὐρανῷ συνεισφέροντος. Τοιοῦτον ἦν τῷ Ἁγίων τὸ θέαμα, ὄντως, καθὼς φησὶ που Ἰεζεκιὴλ ὁ Προφήτης, ὅρασις λαμπάδων συστρεφομένων. Ἐμφιλοχωρεῖ ὁ λόγος τῷ κάλλει τῆς ὥρας· οἶδε γὰρ, καθὼς ἡ Σοφία φησὶν, ἐκ μεγέθους καὶ καλονῆς κτισμάτων, καὶ τὸ ἐν κρυπτῷ κάλλος ἀναλογίζεσθαι. Ἐπειδὴ καὶ ἡ τῆς ψυχῆς καθαρότης διὰ τοῦ φαινομένου διέλαμπε, καὶ ὁ φαινόμενος ἄνθρωπος, ἄξιον λῶ τοῦ ἀφανοῦς οἰκητήριον. Ὡς καλὸν τοίνυν τότε τοῖς ὁρῶσι τὸ θέαμα, καλὸν λέγω τοῖς τὰ καλὰ βλέπειν ἐθέλουσι· καλὸν Ἀγγέλοις, καλὸν ταῖς ὑπερκοσμίαις δυνάμεσι· πικρὸν δὲ τοῖς δαίμοσι, καὶ ὅσοι τὰ τῶν δαιμόνων ἠσπάζοντο, ἄνθρωποι. Εἴπερ ἄνθρωποι, οἱ τοσοῦτον ἀνεσηκότες τῷ μεγαλείῳ τῆς φύσεως, στρατιῶται τοῦ Χριστοῦ, τοῦ Ἁγίου Πνεύματος ὁπλῖται, τῆς πίστεως πρόμαχοι, πύργοι τῆς θείας Πόλεως, οἳ πᾶσαν

σαν αἰκισμῶν τιμωρίαν, πᾶσαν φόβων ἐπανάστασιν, πᾶσαν ἀπειλῆς προσβολὴν, ὡς τινα παιδίων ἄνοιαν κατεχλεύαζον. Καθάπερ ἐκεῖ τὰ σώματα ταῖς αἰκίαις ἐνδόντες, ἀλλὰ πὰς τῶν σωμάτων σκιάς· οἱ σαρκικὴν σάρκα καταπαλαίσαντες, καὶ τῇ πρὸς τὸν θάνατον ὑπεροψίᾳ πάντων τῶν τυραννικῶν φόβων ὑπερφρονήσαντες, ὑψηλότεροι τῆς ἀνθρωπίνων μέτρων ἐδείχθησαν. Ὦ καλῶς τοῖς σωματικοῖς τροπαίοις ἐμμελετήσαντες! ὦ καλῶς μετενεγκόντες τὴν τὸ πολεμεῖν ἐμπειρίαν εἰς τὴν κατὰ τοῦ διαβόλου παράταξιν! Οὐ ξίφει τὰς χεῖρας ὁπλίσαντες, οὐδὲ τὸν ἐκ τοῦ ξύλου θυρεὸν προβαλλόμενοι, οὐδὲ χαλκῇ περικεφαλαίᾳ, καὶ κνήμισι περιφραξάμενοι, ἀλλὰ τὴν τοῦ Θεοῦ πανοπλίαν ἀναλαβόντες, ἣν διαγράφει ὁ στρατηγὸς τῆς Ἐκκλησίας, ὁ θεῖος Ἀπόστολος, θυρεὸν, καὶ θώρακα, καὶ περικεφαλαίαν, καὶ μάχαιραν. Οὕτως ἐχώρει κατὰ τῆς ἐναντίας δυνάμεως· ἐστράτηγει δὲ τούτων μὲν ἡ οὐράνια χάρις, τῆς δὲ τοῦ διαβόλου παρατάξεως ὁ ἔχων τὸ θανάτου κράτος· τόπος δὲ τῆς παρατάξεως αὐτοῖς, τὸ τῆς μιαιφόνων δικαστήριον ἦν. Ἐν ἐκείνῳ συναντες διηγωνίζοντο, οἱ μὲν ἀπειλαῖς ἀκροβολιζόμενοι, οἱ δὲ διὰ τῆς ὑπομονῆς ἀμυνόμενοι. Πρότασις ἦν παρὰ τῆς ὑπεναντίων, ἐξόμνυσθαι τὴν εἰς τὸν Κύριον πίστιν, ἢ ζημιοῦσθαι θανάτῳ· ἀπόκρισις παρὰ τῆς ἀρετῆς, μέχρι θανάτου παραμένειν τῷ λόγῳ. Πῦρ ἐπὶ τούτοις ἠπείλητο, καὶ ξίφος, καὶ βάραθρον, καὶ ὅσα ἄλλα τῶν κολαστηρίων ὀνόματα. Μία φωνὴ πρὸς ταῦτα πάντα ἠκούετο, Χριστὸς ἐν τοῖς στόμασι τῶν Ἁγίων ὁμολογούμενος· αὕτη ἦν ἡ τῶν ἐναντίων πληγή· ταύτην προέτεινον κατὰ τοῦ ἐχθροῦ τὴν αἰχμήν· διὰ ταύτης τῆς φωνῆς μέσην ἐτρώθη τὴν καρδίαν ὁ ἀντικείμενος. Οὗτος ὁ λίθος ἐστὶν, ὁ ἐν τῇ χειρὶ τοῦ Δαβὶδ σφενδονούμενος, ὁ τυχὼν τῆς περικεφαλαίας τοῦ ἀντικειμένου· ἡ γὰρ τοῦ Χριστοῦ ὁμολογία, σφενδόνη γίνεται τοῦ καλοῦ στρατιώτου. Πίπτει ὁ ἐχθρὸς, καὶ ἀκέφαλος γίνεται· ἀλλὰ

λὰ παρηνέχθη ἀφηνιάσας ὁ λόγος, καὶ ὑπὲρ τὰς ὅρους ἐξάλλεται, καὶ τῷ ἀῤῥήτων καταπολμᾷ, καὶ λέγειν προάγεται, ὥσπερ εἰ θεατὴς τῶν ἀοράτων γενόμενος. Ὅτι ἐπὶ τῇ παύτῃ φωνῇ τῇ τὸν Χριστὸν ἐν παῤῥησίᾳ ὁμολογέσῃ, πρότος μὲν ἦν ἄνω, καὶ ἔπαινος παρὰ τῶν ἁγίων ἀγγέλων, εὐφημία δὲ τῶν πολιτῶν τῆς ἐρανίας Πόλεως ἐπικροτύπων τῷ κατορθώματι, χαρὰ δὲ πάσης τῆς ἐν Οὐρανῷ πανηγύρεως· οἷον δὲ συνέση τότε τοῖς Ἀγγέλοις ἐν τῷ κόσμῳ τῶν ἀνθρώπων τὸ θέατρον; οἵαν εἶδον συμπλοκὴν τὸ διαβόλου, καὶ τῶν ἀνθρώπων, οἱ θεαταὶ τῆς ἡμετέρας ζωῆς; ὡς ἀπεναντίον τῇ πρώτῃ πάλῃ τὴν σύστασιν ἔχει, ὅτε ὁ ὄφις τὸν Ἀδὰμ κατεπάλαισεν; ὃν ἤνεγκε τότε ἄνθρωπος μίαν τὸ πονηρὸ προσβολήν, διά τινος εὐχροίας, καὶ δελεάσματος αὐτῷ προσαχθεῖσαν, ἀλλ' ὁμὸ τε προσέπεσε, καὶ ἀνετράπη τῷ πτώματι. Ἐπὶ τούτων δὲ πάντων ἦν ἀργὰ καὶ σπρακτα τὸ ἐχθρὸ τὰ παλαίσματα· ἐλπίδας προέτεινεν, οἱ δὲ κατεπάτων. Φόβος ἠπείλει, οἱ δὲ κατεγέλων. Ἓν φοβερὸν ἦν μόνον αὐτοῖς τὸ τὸ Χριστὸ χωρσθῆναι. Ἓν ἀγαθὸν τὸ μετὰ Χριστὸ εἶναι μόνον, τὰ δὲ ἄλλα πάντα, γέλως, καὶ σκιὰ, καὶ φλυαρία, καὶ ὀνειρώδη φαντάσματα. Διὰ ταῦτα καταπολμᾷ τῶν ἀθέτων ὁ λόγος, καὶ φησιν, ἐπαγάλλεσθαι πᾶσαν τὴν ὑπερκόσμιον δύναμιν τῷ τῶν Ἀθλητῶν κατορθώματι. Ἔτι ὁ λόγος καὶ τῶν ἀτολμήτων θρασύνεται· ἔτι τολμᾷ διηγεῖσθαι τὰ ὑπερκόσμια, ὅτε τῶν ἐνταῦθα κατορθωμένων ἐν τῇ πρὸς τὰς ἐναντίας συμπλοκῇ ὁ δίκαιος ἀγωνοθέτης τὰς ἐπὶ τῇ νίκῃ σεφάνας προέτεινε, καὶ ὁ Ἀρχισράτηγος τῆς θείας δυνάμεως τὰ ἀριστεῖα τοῖς νικηταῖς παρεσκεύαζε· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον τοῖς πανοδαποῖς ἐδεξιῶτο χαρίσμασιν. Ἐπειδὴ γὰρ εἰς τὴν Τριάδα ἡ πίστις ὡμολογεῖτο, διὰ τῶτο καὶ ἡ χάρις αὐτοῖς παρὰ τῆς Τριάδος ἀντεμετρεῖτο. Τίς δὲ ἡ χάρις ἦν; αὐτὸ τῶτο, τὸ ὑψηλοτέρας ἐπιδειχθῆναι τῶν πρώτων ἀγωνισῶν, τοῦ

Ἀδὰμ, λέγω, καὶ τῆς Εὔας. Ἐκεῖνοι ἐσῶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς ἁμαρτίας κατήνεγκαν. Οὗτοι κειμένην ἐν τῷ πτώματι τῶν προλαβόντων διὰ τῆς ὑπομονῆς πάλιν ἀνώρθωσαν. Ἐκεῖνοι ἐκ τοῦ Παραδείσου ἐπὶ τὴν γῆν ἀπώθησαν· οὗτοι ἐντεῦθεν ἐπὶ τὸν Παράδεισον ἀνῳκίσθησαν. Ἐκεῖνοι καθ' ἑαυτῶν τὸν θάνατον ὥπλισαν, ὅπλον γὰρ θανάτου ἡ ἁμαρτία, φησίν· οὗτοι καθωπλισμένον τῇ ἁμαρτίᾳ τὸν θάνατον διὰ τῆς ἑαυτῶν ἀνδρίας ἠχρείωσαν, τῇ ὑπομονῇ τῶν παθημάτων, τοῦ κέντρου τὴν ἀκμὴν ἀπαμβλύναντες· ὥστε εἰπεῖν καλῶς, ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; καρπὸν ξύλου τί ἀθλιώτερον; τί εὐτελέστερον ξύλου; καρπὸς εὐχροίᾳ τινὶ, καὶ ἡδονῇ γεύσεως ἐπικεχωσμένος, ἀτιμασθῆναι τοῦ Παραδείσου τὴν χάριν ἐποίησε. Τοῖς δὲ μεγάλοις τούτοις ἀγωνισταῖς, οὐδὲ αὐτὸς ὁ ἥλιος ἐφαίνη γλυκύς, ἀλλὰ καὶ τότε ἑκουσίως ἀλλοτριοῦντο, ἵνα μὴ τοῦ ἀληθινοῦ φωτὸς ἀποπέσωσι. Τί λέγει περὶ τῆς Εὔας ὁ λόγος, προάγομαι γὰρ καὶ πέρα τοῦ δέοντος καταδραμεῖν τῶν πρωτογόνων. Εἰδέ φησιν, ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς καὶ ὡραῖον εἰς γεῦσιν. Εἶτα τὴν ἐν τούτοις χάριν αὐτὶ τοῦ Παραδείσου ἠλάζαντο. Τούτοις δὲ ἆρα κατὰ γεύσεως ἡδονὴν τὰ ὁρώμενα ἦν, Οὐρανὸς, ἥλιος, γῆ, ἄνθρωποι, πατρὶς, μητέρες, ἀδελφοὶ, φίλοι, συγγενεῖς, ἡλικιῶται, ὧν τί μὲν ὀφθῆναι γλυκύτερον; τί δὲ εἰς γεῦσιν ἐλθεῖν τιμιώτερον; Οἴδατε οἱ παῖδες τὴν εἰς τοὺς γονέας σοργήν· οἴδατε οἱ Πατέρες τὴν πρὸς τὰ τέκνα διάθεσιν· οἶδας ὁ βλέπων τὸ ἐν ἡλίῳ γλυκύ. Οὐκ ἀγνοεῖς ὁ φιλάδελφος τὴν φυσικὴν πρὸς τὴν ἀδελφότητα σχέσιν. Ἐπίσασαι ὁ νέος τὴν ἐκ τῶν ἡλικιωτῶν χάριν, ὅσον σοι τὸν βίον ἡδύνουσιν· ἀλλ' ἐκείνοις πάντα ἐχθρὰ, πάντα ἀλλότρια ἦν. Ἓν μόνον ἀγαθὸν ὁ Χριστός. Πάντα ἠρνήσαντο, ἵνα τοῦτον κερδήσωσι. Χρόνος ἦν τῶν δεσμῶν οὐκ ὀλίγος, καὶ τοῖς Ἁγίοις τῇ παραπάσει τῆς τιμωρίας, ἡ πρὸς τὴν τελείωσιν ἐπιθυμία συνήμαζε·

καὶ

καὶ ὥσπερ οἱ τὴν σωματικὴν εὐεξίαν μελετῶντες, ἐπειδὰν ἱκανὴν ἐν παιδοτρίβᾳ τὴν δύναμιν κτήσωνται, ὅπω θαρρήσαντες ἐπὶ τὰς ἀγῶνας χωρῶσιν, τὸν αὐτὸν τρόπον κἀ ἔτοι διὰ τῶν δεσμῶν, καὶ τῆς φυλακῆς ἱκανῶς παιδοτριβηθέντες πρὸς τὴν εὐσέβειαν, ὅπως ἐπὶ τὸν στέφανον τῶν ἀγώνων προήλθοσαν.

Ἦλθεν ἡ ἀκολουθία τοῦ λόγου ἐπὶ τὴν τελευτὴν, μᾶλλον δὲ ἐπὶ τὴν κορυφὴν ὅλου τὸ κατορθώματος· ἔτος ἦν ὁ καιρὸς, αὗται τοῦ ἀγῶνος αἱ ἡμέραι, τοῦτο τὸ τὸ Πάσχα προοίμιον, τὸ τῆς ἁγίας τεσσαρακοντάδος Μυστήριον. Τεσσαράκοντα ἐξιλασμοῦ ἡμῖν αἱ ἡμέραι, ἰσάριθμοι καὶ τῶν Ἁγίων οἱ στέφανοι. Ἦπα περιττὸς ὑμῖν εἶναι δοκῶ καὶ ἀδόλεχος, τὰ ὑμέτερα θαύματα ἐν ὑμῖν διηγούμενος, καὶ τοῖς ὑμετέροις τὴν ἀκοὴν δεξιούμενος. Πλὴν ὡς ἂν μὴ ἀγωλεῖς ὑμᾶς παραδράμοι ὁ λόγος, πρὸς τὸ πέρας τῶν ἀγώνων, τοῖς Ἁγίοις καὶ ἡμεῖς συνδραμούμεθα. Κρυμὸς ἦν κατὰ τὴν ἡμέραν ἐκείνην. Παντὸς δὲ ἐδὲν δεῖ μαθεῖν ἡμᾶς, οἷος ὁ κρυμὸς, ἐκ τῆς παρούσης ἡμέρας στοχαζομένους· κρυμὸς καὶ αὐτῶν τῶν τριχῶν διαδυόμενος. Ἴστε τὴν ὑπερβολὴν, οἵτε ἐπήλυδες τῶν τόπων, καὶ οἱ αὐτόχθονες, καὶ ἐδὲν δεῖσθε λόγῳ μαθεῖν· ἀλλὰ κἂν ἕτερος εἴποι τὴν θαυματοποιΐαν τῶν ὑμετέρων χειμώνων, ὅπως ποταμοὶ μὲν ἀένναα ῥέοντες ἴσανται, ἀντιβαινούσης τῷ ῥείθρῳ τῆς πήξεως, καὶ ἀπολιθοποιούσης τὰ κύματα. Ἡ δὲ γείτων λίμνη σημείων τινῶν πρὸς τὸ ἐπιγνωσθῆναι λίμνη ἔσα προσδέεται, χερσωθεῖσα διὰ τῆς πήξεως, ἐφ' ἧς σύνηθές ἐστι τοῖς βαλομένοις ἄνω τῶν κυμάτων αὐτῆς καθιππάζεσθαι. Οἶδα πολλάκις κἀ ἐκ πυρὸς ὕδωρ τοῖς ἐγχωρίοις ἐπινοούμενοι, ὅταν τι τρύφος ὕδατος ἀποκλάσαντες, ὥσπερ τινα χαλκὸν, ἢ σίδηρον τῷ πυρὶ διατήξαντες, ὕδωρ τὸν λίθον ποιήσωσι. Τοιοῦτος ἦν ὁ καιρὸς κἀ τὸ τῆς ἀθλήσεως χρόνον, ἐπίτασιν τῶ κακῶ παρὰ φύσιν ἐκ βορείων πνευμάτων λαβόντος, καθὼς ἐστιν ἀκούειν

τῶν διηγημένων τὰ θαύματα. Ἐπειδὴ τοίνυν λαμπρῶς τὸ ὄνομα τῦ Κυρίου δημοσίᾳ κηρύξαντες, καὶ ἤδη σεφανίτας ἑαυτὸς διὰ τῆς τοιαύτης ἀναῤῥήσεως δείξαντες, ἐχώρων ἐπὶ τὴν διὰ τῦ θανάτου τελείωσιν, ὅπος αὐτοῖς ἐπενοήθη τῆς ἀθλήσως ὁ τρόπος. Πρόσαγμα γίνεται τοῦ τυράννου κρυμῷ τὰς ἀθλητὰς τιμωρήσασθαι. Ὦ τῆς ἀσθενείας καὶ τῶν ῥημάτων καὶ τῶν νοημάτων! Ὅσον ἀπολείπεται τῆς ἀξίας ὁ λόγος! Θανάτῳ πρόσταγμα, καὶ κρυμὸς, καὶ τιμωρία, καὶ προσδοκία τῆς τοιαύτης κολάσεως· καὶ ἡ μακαρία νεότης ἐν γέλωτι καὶ παιδιᾷ καὶ φαιδρότητι τὸν τῆς τιμωρίας κατελάμβανε τόπον. Δρόμος ἦν τῶν ἀθλητῶν ἐπὶ τὸ πάθος· δρόμος ἱερός τε καὶ σύντονος, καὶ φιλονεικία τῦ προαρπάσαι τῆς ὁμολογίας τὸν σέφανον· ἴσῃ πρὸς τὴν νίκην ἦν αὐτοῖς ἡ σπυδή. Οὐδεὶς ὕσερον ὤφθη τῇ προθυμίᾳ· ἀλλ' ὁμοθυμαδὸν ἅπαντες τουτονὶ καταλαβόντες τὸν τόπον, ὡσεὶ δημοσίοις τότε λατροῖς χολάζοντα, ὡς καὶ αὐτοὶ μέλλοντες τῷ λουτρῷ καταφαιδρύνειν τὰ σώματα, ἑτοίμως τὴν τῶν χιτώνων περιβολὴν ἀπετίθεντο, τὸ τῦ Ἰὼβ πάντες ἐπιφθεγγόμενοι· ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν κόσμον, γυμνοὶ πρὸς τὸν εἰσαγαγόντα ἀπελευσόμεθα. Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, ὐδὲ ἐξενεγκεῖν τι ὀφείλομεν, μᾶλλον δὲ γυμνοὶ εἰσελθόντες, πλήρεις θησαυρῶν τῶν ἐκ τῆς ἀγαθῆς ὁμολογίας ἀπελευσόμεθα. Ταῦτα λέγοντες, καὶ τοιύτοις ἑαυτοὺς λόγοις παραθαρσύνοντες, ἐδίδοσαν τῇ πήξει τὸ σῶμα· καὶ ἡ μὲν τῶν στοιχείων φύσις κατεκρατεῖτο τῇ πήξει, ἡ δὲ τῶν Μαρτύρων φύσις, ὡς ἀδούλωτος ἦν· μᾶλλον δὲ ἡ μὲν φύσις τὸ οἰκεῖον ἔπασχε, καὶ τὰ ἀλγεινὰ παρεδέχετο· ἡ δὲ μεγαλοφυΐα τῶν Ἀθλητῶν, καὶ πρὸς αὐτὴν τὴν φύσιν διηγωνίζετο. Ἡ μὲν γὰρ δύναμις κατὰ μικρὸν διελύετο, μαραινομένη καὶ δαπανωμένη διὰ τῆς πήξεως, ὁ δὲ τῆς ψυχῆς τόνος μείζων ἐγίνετο. Ἐμελαίνετο μὲν ἡ ὥρα τῦ σώματος, καὶ ἀπήνθει τὸ κάλλος, καὶ τὸ τῆς σαρκὸς εὔχρων κατεμα-

τεμαραίνετο. Ἀπέρρεον δάκτυλοι, τῷ κρυμῷ κατ' ὀλίγον περικοπτόμενοι. Μέλητε πάντα καὶ αἰθητήρια τῇ πικρίᾳ τοῦ κρύους περιεθρύπτετο. Πελινδυμένη γὰρ κατ' ὀλίγον ἡ σὰρξ, καὶ διοιδοῦσα, καὶ περιλακιζομένη τοῖς μέλεσι, τῶν ὀστέων ἀπέρρεε, καὶ τὰ τῆς νεκρότητος πάθη ἐν αἰσθήσει ἐδέχετο· καὶ ὅπως αὐτοῖς κατὰ μικρὸν ὁ θάνατος προϊὼν ἐμηκύνετο τρισὶν ἡμέραις παρατεινόμενος. Μέχρι γὰρ τοσούτου τῆς αἰσθήσεως αὐτοῖς διαρκούσης, ἔμειναν ἐφ' ἧς ἐξ ἀρχῆς ἐτάχθησαν τάξεως, διὰ πάντων νικηταὶ κατὰ τὸ ἐναντίον γινόμενοι.

Ἀλλὰ τίς αὖμοι τὰ ἐπὶ τούτοις πρὸς ἀξίαν ἐκδιηγήσαιτο; τίς ὑπογράψει λόγος τὴν θείαν ἐκείνην πομπὴν, ὅτε τὰ ἅγια σώματα δι' ἁμαξῶν ἐπὶ τὸ πῦρ ἐπομπεύετο; πῶς ἀντὶ τοῦ κλαπέντος ὑπὸ τοῦ διαβόλου, ἀντεισήχθη τῷ ἀριθμῷ ὁ δεσμοφύλαξ ὑπὸ τῆς χάριτος; τίς μοι διηγήσεται τὴν μητέρα ἐκείνην τὴν ἀξίαν τοῦ Μάρτυρος ῥίζαν, ἣ καταλειφθέντα ὑπὸ τοῦ δημίου τὸν ἐξ αὐτῆς, διότι ἔμπνους ἦν, καὶ διὰ τοῦτο μὴ ἀναληφθέντα μετὰ τῶν ἄλλων ἐπὶ τὴν ἅμαξαν, ἐπειδὴ εἶδε τὴν φιλανθρωπίαν τοῦ δημίου ἐπὶ τὸν ἀριστέα, τὴν ὕβριν οὐκ ἤνεγκεν· ἀλλ' ἐκεῖνον μὲν ἐλοιδόρει, ὅτι τῶν συναγωνιστῶν τὸν ἀθλητὴν ἀπεχοίνισεν· αὕτη δὲ παρασᾶσα τῷ Μάρτυρι, ἤδη νεναρκηκότι, καὶ ἀκινήτως ὑπὸ τῆς πήξεως ἔχοντι, καὶ ἰδοῦσα ψυχρῷ καὶ ἀθενεῖ τῷ ἄθματι συνεχόμενον, τοσοῦτον ζῶντα μόνον, ὅσον τῶν ἀλγεινῶν ἐπαισθάνεσθαι, ἀμυδρῷ καὶ μεμαρασμένῳ τῷ βλέμματι τὴν μητέρα ἑαυτοῦ ὑποβλέποντα, νεκρᾷ καὶ ἀτονούσῃ τῇ χειρὶ διανεύοντά τε καὶ παραμυθούμενον, ὑποφέρειν γενναίως παρεγγυῶντα· ἐπειδὴ ταῦτα εἶδεν ἡ μήτηρ, ἆρά τι ἔπαθε μητρικόν; ἆρα συνεκινήθη τὰ σπλάγχνα; ἢ τὸν χιτῶνα περιερρήξατο; ἢ περιεχύθη τῷ τέκνῳ, θερμαῖς ταῖς ὠλέναις τὸν μαρασμὸν ἐπιθάλπουσα; ἄπαγε. Καὶ τὸ εἰπεῖν τι τοιοῦτον, τῶν ἀτόπων ἐστίν. Οὕτως ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκομεν· οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιῆ-

σαι. Ἐπεὶ ὖν ὁ καρπὸς τῆς μαρτυρίας καλὸς, ἐπαίνεσον τὴν ἀριστότοκον μητέρα, τὴν διὰ τῆς τεκνογονίας σωζομένην, καθὼς φησιν ὁ Ἀπόστολος. Ἐπειδὴ γὰρ τοιῦτον παρέσησε τῷ Θεῷ τὸν καρπὸν, ὑπὲρ τῆς κοινῆς τῶν γυναικῶν ἀπελογήσατο φύσεως, ὐκ ἐμὸν, φησι, τέκνον, σύ· ὐ τῆς ἐμῆς ὠδῖνος βλάστημα. Τὸν Θεὸν δεξάμενος, κ) Θεὸν ἐγεννήθης. Ἔλαβες ἐξσίαν τέκνον Θεῦ γενέθαι. Δράμε τρὸς τὸν σὸν πατέρα. Μὴ καταλειφθῆς παρὰ τῶν ὁμηλίκων. Μὴ δεύτερος ἐπὶ τὸν στέφανον ἔλθῃς. Μὴ ἀτελῆ τοιήσῃς μητρῴαν εὐχήν. Οὐ λυπήσεις μητέρα, σεφανίτης κ) νικητὴς κ) τροπαιοφόρος γενόμενος. Ταῦτα λέγουσα, κ) ὑπὲρ τὴν φύσιν ἑαυτὴν τονώσασα, μᾶλλον δὲ τονωθεῖσα ὑπὸ τῦ πνεύματος, ἀυτὴ τὸν ἐξ ἀυτῆς μετὰ τῶν λοιπῶν ἐπὶ τὴν ἀπήνην ἀπέθετο, φαιδρῷ τῷ τροσώπῳ τοῦ Ἀθλητοῦ τροπομπεύουσα. Τὰ δὲ ἐπὶ τύτοις οἷα; ἐνήθλησαν τῷ ἀέρι οἱ Ἅγιοι, πγίασαν κὰι τὸ πῦρ τῇ ἑαυτῶν τροθήκῃ, ὕλη τῇ φλογὶ γενόμενοι, ἤνεγκαν κ) ἐπὶ τὸ ὕδωρ τὴν εὐλογίαν, διὰ πάντων ἐπληρῦτο τὰ θεῖα λόγια. Οἱ τρεῖς Παῖδες συμπαραλαμβάνουσιν εἰς τὴν κοινὴν ὑμνολογίαν ψύχος κ) καῦμα. Τὸ ψύχος, διὰ τῆς πήξεως, τὸ καῦμα, διὰ τῆς καύσεως. Εἶτα διῆλθον διὰ πυρὸς κ) ὕδατος. Ἀλλ' ἐπιθυμεῖ ταῦτα ὡς ἐγνωσμένα παραδραμεῖν ὁ λόγος, κ) περί τινος τῶν τρώην ζητουμένων ἐν καιρῷ νῦν ἐξετάσαι. Ὅτε ἐξωρίσθη τοῦ Παραδείσε ὁ ἄνθρωπος, ἐτάχθη φρυρεῖν τὴν εἴσοδον φλογίνη ῥομφαία ἡ τρεφομένη· κ) ἡ αἰτία τῆς τοιαύτης τῦ Θεῦ τρομηθείας, τὸ μὴ παρελθεῖν ἐπὶ τὸ τῆς ζωῆς ξύλον τὸν ἄνθρωπον, κ) ἅψασθαι, κὰι διαμεῖναι ἀθάνατον. Μέμνησθε πάντως τῶν ἐζητημένων· μέμνησθε δὲ, ὡς εἰκὸς, κ) τῶν τρὸς τὸ ζητύμενον ἡμῖν εὑρημένων. Ἀλλ' εἰ μέλλοιμεν πάλιν ὑπ' ἀρχῆς ἐπεξιέναι, κ) ὅλον διαλαμβάνειν τὸν λόγον, ὑπὲρ τὸν παρόντα ἔσαι καιρὸν ἡ παράτασις. Τὸ μὲν ὖν ζητούμενον τῦτο ἦν, εἰ κὰι τοῖς Ἁγίοις ἄβατός ἐσιν ὁ Παράδεισος διὰ τῆς

σρε-

στρεφομένης ῥομφαίας, καὶ εἰ τῷ Παραδείσῳ οἱ Ἀθλη-
ταὶ ἀποκλείονται, τίς ἡ ἐπαγγελία λοιπὸν, ὑπὲρ
ἧς ἀναδέχονται τὰς τῆς εὐσεβείας ἀγῶνας; καὶ εἰ τοῦ
Λῃστοῦ ἔλαττον ἔξουσι, παρὸς ὃν εἶπεν ὁ Κύριος· ὅτι
σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ, καίτοιγε
οὐχ ἑκουσίως ὁ λῃστὴς τῷ σταυρῷ προσῆλθεν. Ἀλλ' ἐ-
πειδὴ ἐγγὺς τῆς σωτηρίας ἐγένετο, εἶδεν ὁ ὀξὺς καὶ
εὐφυὴς κλέπτης τὸν θησαυρὸν, καὶ ἐπιτυχὼν καιροῦ
τὴν ζωὴν ἐλπίσατο, καλῶς τῇ κλεπτικῇ κὴ εὐστόχως
ἀποχρησάμενος, Κύριε μνήσθητί μου, εἰπὼν, ἐν τῇ
βασιλείᾳ σου. Εἶτα ἐκεῖνος μὲν ἀξιοῦται τοῦ Παραδεί-
σου, ἐπὶ δὲ τῶν Ἁγίων ἡ φλογίνη ῥομφαία διακω-
λύει τὴν εἴσοδον; ἢ αὐτόθεν ἔχει τὴν λύσιν τὸ ζή-
τημα; διὰ τοῦτο γὰρ κὴ ἀεὶ ἑστῶσαν ἀντιπρόσωπον τοῖς
εἰσιοῦσι τὴν ῥομφαίαν ὁ λόγος ἔδειξεν, ἀλλὰ κὴ στρε-
φομένην ἐποίησεν, ἵνα τοῖς μὲν ἀναξίοις κατὰ σόμα
προφαίνηται, τοῖς δὲ ἀξίοις στρεφομένη κατὰ νώτου γί-
νηται, ἀκώλυτον αὐτοῖς τὴν εἴσοδον ἐπὶ τὴν ζωὴν ὑ-
πανοίγουσα, ἧς ἐντὸς ἐκεῖνοι γεγόνασι τῇ παῤῥησίᾳ
τῶν ἀγώνων ἀπαθῶς τὴν φλόγα περάσαντες· ἣν καὶ
ἡμεῖς ἀδεῶς περάσαντες, τοῦ Παραδείσου ἐντὸς γενοί-
μεθα, διὰ τῆς προσβείας αὐτῶν δυναμωθέντες πρὸς
τὴν ἀγαθὴν ὁμολογίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·
ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΡΟΤΡΕΠΤΙΚΟΣ
ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.

Ἀνὴρ Φαρισαῖος, ὡς ἀρτίως ἠκούσαμεν τοῦ Λουκᾶ λέγοντος, προτρέπει τὸν Κύριον εἰς ἑστίασιν καὶ ὑπωρόφιον ἄγει, καὶ κοινὴν παρατίθεται τράπεζαν. Ὁ δὲ ὅτε τὴν κλῆσιν ἀπαναίνεται, ὅτε φεύγει τὸν ἄνθρωπον, μήτε μαθητὴν ὄντα, μήτε πιστεύσαντα, τῷ γράμματι δὲ προσδεδεμένον τοῦ νόμου, καὶ ἀδέπω πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας τοὺς ὀφθαλμοὺς ἀνοίξαντα, χαλεπῶς δὲ πρὸς τὰς ἐπαγγελίας ἀμβλυωποῦντα τῶν Προφητῶν. Τί οὖν ἡμῖν τοῦτο τὸ κεφάλαιον ἀνέγραψεν ὁ Λουκᾶς; πότερον, ἵνα τὴν γνῶσιν ἔχωμεν, ὧν ὁ Ἰησοῦς κατειργάσατο πολιτευόμενος ἐν τῷ σώματι, καὶ γνῶσιν ἱστορίας ἐπωφελῆς παραλάβωμεν, ἢ νοῦ τινος ἐπωφελοῦς καὶ παιδευτικοῦ γέμει τὰ γράμματα, τὸν ἡμέτερον βίον πρὸς τὸ ὀρθὸν καὶ ἀδιάστροφον κανονίζοντα; ὅπως δὲ ἔχειν ἔγωγε ἡγοῦμαι, καὶ ἡμᾶς προσῆκον πείθεσθαι. Πολλοὶ γάρ εἰσι τῶν ἑαυτοὺς δικαιούντων φίλαυτοι καὶ αὐτάρεσκοι, ἐν ὑπολήψει διανοίας φρονήματος ὠγκωμένοι, ἁμαρτωλοὺς καλοῦντες τοὺς ἐγγίζοντας, καὶ πρὶν ἐλθεῖν τὸ ἀληθινὸν κριτήριον, ἑαυτοὺς, ὡς ἄρνας ἀπὸ τῶν ἐρίφων, χωρίζοντες, καὶ πρὸς τὴν θύραν τῆς βασιλείας βλέποντες ὡς ἀνεπταμένην αὐτοῖς, ὁ στέγης, οὐκ ἐδεσμάτων ἀξιοῦντες τοῖς πολλοῖς κοινωνεῖν· βδελυσσόμενοι δὲ πάντας τοὺς μὴ τὴν ἄκραν, ἀλλὰ τὴν μέσην ἐπὶ τοῦ βίου πορευομένους ὁδόν. Ὁ τοίνυν Λουκᾶς ὁ πλέον τῶν ψυχῶν, ἢ τῶν σωμάτων ἰατρὸς, ἔγραψε τὸ ἐν χερσὶ δίπτυμα, ὁ λόγον ἁπλῶς, ἀλλὰ φάρμακον τῶν νοσούντων αὐθάδειαν, αὐτὸν ἡμῶν τὸν Θεὸν καὶ Σωτῆρα δεικνύς, τὸν ἀσυγκρίτως καθαρὸν καὶ μόνον δίκαιον, συγγνωμονικῶς λίαν τοῖς κατεγνωσμένοις συναναστρεφόμενον, καὶ τοῖς ἀδέπω κεκαθαρμένοις συνδιαιτώμενον· ὄχ ἵνα τι προσλάβῃ τῆς ἐκείνων κακίας, ἀλλ' ἵνα μεταδῷ τῆς οἰκείας δικαιοσύνης, καὶ τὴν ἡλιακὴν

κὴν ταύτην τὴν φαινομένην ἐνέργειαν· (ὅσον ἀπὸ τοῦ κτίσματος παρασῆσαι τῷ Κτίσῃ τὴν πρόνοιαν.) ἴσμεν μὲν γὰρ, ὅτι καὶ ὁ ἥλιος ἐ τὰς ἡπλωμένας μόνον ἐπιλάμπει χώρας, ἀλλὰ κὴ ὅσαι κοιλότεραι κὴ τῆς ἀντρώδους ἔλαχον θέσεως. Παυσώμεθα τοίνυν, εἴτινες ὕπω φρονοῦμεν, ὡς ὁ λόγος φησί. Μιμησώμεθα δὲ τὸν Δεσπότην τὸ ἵλεων κὴ φιλάνθρωπον, τοῖς ταπεινοῖς διὰ τοῦτο συγκαταβαίνοντες· ἀχ ἵνα αὐτοῖς κειμένοις συνταπεινωθῶμεν, ἀλλ' ἵνα κἀκείνους ὑψώσωμεν. Οἷον κολυμβηταί τινες ἐφυδροὶ τὰς πνιγομένους πρὸς τὸν ζωτικὸν ἀέρα τοῦτον ἀνέλκοντες. Ἐπειδὴ δὲ πρὸς ἀρίστην νόησιν τὸ εὐαγγελικὸν γράμμα χειραγωγεῖ, φέρε πρὸς τὸν ἐμπεσόντα σκοπὸν ἑαυτὸς ἀποτείνωμεν.

Θαυμάζω σφόδρα τοὺς τὴν ἐμπαθῆ ταύτην καὶ φιλήδονον περικειμένους σάρκα, ἡττωμένους δὲ καθημέραν ὕπνου καὶ γαστρὸς, οὐ μὴν οὐδὲ τῶν ἄλλων ἐρεθισμῶν ἀπείρως ἔχοντας, τῶν ὅσοι γνώριμοι πᾶσιν ἡμῖν τοῖς τῆς μιᾶς κὴ τῆς αὐτῆς κοινωνοῦσι φύσεως, ὅπως εἰσὶ σκληροὶ δικασαὶ τῶν ἁμαρτανόντων, κὴ ἑαυτῶν συγγνώμονες· ἀθενεῖς ἀγωνισαὶ καὶ ἀπαραίτητοι νομοθέται, ὡς καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας αἱρεῖν τὴν ἐλπίδα, καὶ ἀποφράττειν, ὡς νομίζουσι, τὴν ἄφθονον τῶ ἐλέους πηγὴν, κὴ μετὰ πολλῆς δὲ τῆς αὐθεντίας ἀποκλείειν τοῖς πλανηθεῖσι τῆς βασιλείας τὴν εἴσοδον. Τοῦτο δὲ οὐδὲν ἄλλο, ἢ ἀπόγνωσιν ἐμποιεῖν ψυχαῖς ἰατρείαν ζητούσαις. Ὁ γὸ τῆς θεραπείας ἀπελπίσας, δῆλος γίνεται καθάπαξ τῆς νόσου, κὴ πρός γε πάσης τῆς τῶν ἡμετέρων γραφῶν ἐπαγγελίας ἀλλότριος. Οὐδὲν γὰρ ἐκεῖ τῷ συνετῶς ἐξετάζοντι τοιοῦτον, ὃ μὴ χάρις δωρεῖται, κὴ θεραπεύει συγγνώμη. Καὶ τίς ὕπως ὑπόκωφος κὴ ἀνήκοος τῶν λόγων τοῦ Ἰωβ διαῤῥήδην πρὸς πάντας ἐκβοῶντος, ὅτι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, ἡμέρα οὐ' ἂν μία ἡ ζωὴ αὐτοῦ; Τίς δ' ἂν σωφρονῶν τοσοῦτον φρονήσειεν, ὡς ὑποκείμενος εὐθύναις, κὴ πάντας ἐν δικασηρίῳ Θεοῦ, περιττὸν οἴεσθαι συγγνώμην

μην καὶ ἀχρεῖον τὸν ἔλεον; Εἰ δὲ καὶ πρὸς τὸ ἀκρότατον δικαιοσύνης καὶ ἀκριβείας ἦσαν ἐλλιπέστερον· πατήσαντες δὲ ἀληθῶς, κατὰ τὸ γεγραμμένον, ἐπάνω ὄφεων καὶ σκορπίων· νικηταὶ δὲ καὶ στεφανῖται κατὰ τῆς ἁμαρτίας ἀνηγορεύθησαν, [ὑδ' ὅπως ἐχθὴν πρὸς τὴν οἰκείαν ἀνδρίαν καὶ τῶν ἄλλων ἁπάντων κανονίζειν τὸν βίον. Ἀλλὰ τῆς μὲν ἰδίας εὐδοκιμήσεως τῷ δεδωκότι Θεῷ τὴν χάριν ὁμολογεῖν, ὅτι καὶ φύσιν ἡγεμονικῶς ἠνιόχησαν, καὶ πειρασμῶν σατανικῶν ὑπερεγένοντο χείρες. Τοῖς δὲ ἀσθενήσασιν ὀρέγειν φιλανθρωπίας δεξιάν, καὶ ἀνεγείρειν ἐκ τῆς πηλῆς, καὶ καθαίρειν ἐκ τῶν μολυσμάτων. Διπλῆν δὲ αὖ ὅπως τὸν ἔπαινον ἤραντο, τῆς τε ἰδίας ἀνδραγαθίας ὁμῦ καὶ τῆς φιλαδέλφου καὶ χριστῆς σαμπαθείας τὰ γέρα λαμβάνοντες. Νυνὶ δὲ ἀνθρωποί τε ὄντες τῶν χαμαὶ ἐρχομένων, καὶ ζῶντες βίον ὑπὲρ τὸν Ἀγγελικὸν καὶ ἐγγὺς τῶν ἀσωμάτων, ἀλλὰ τοιοῦτον, οἷον αὖ τις καὶ ὑπ' εὐθύνας ἀγάγοι καὶ σκώψειε, δικάζουσιν αὐστηρῶς, καὶ μετὰ πολλῆς τῆς αὐθεντίας τὴν κατακρίνουσαν φέρουσι ψῆφον· ὡς ἐμὲ πολλάκις ὑπὸ τοῦ τύφου καὶ τῆς ἀλαζονείας ἀποπνιγόμενον εἰπεῖν ἐπ' αὐτοῖς τὰς Εὐαγγελικὰς ῥήσεις· ὅτι τὰς δοκοὺς ἐν τοῖς ἰδίοις ὀφθαλμοῖς μὴ βλέποντες, τῶν ἀλλοτρίως ὄψεων ἀποφυσᾶτε τὰ κάρφη· καὶ τὰ βαρύτατα φορτία τοῖς ἄλλοις δεσμεύοντες, περινοστεῖτε βαρεῖς κριταὶ καὶ ἀσθενεῖς ἀχθοφόροι, τὸ βῆμα τοῦ Χριστοῦ προλαμβάνοντες, καὶ τοῦ Κριτοῦ τὴν ἀπόφασιν προαρπάζοντες· δοῦλοι καταφρονηταὶ, καὶ ἀπαραίτητοι τῶν ὁμοδούλων κριταί. Εἰ ζηλοῦτε Θεὸν, ὡς κατ' εἰκόνα κτισθέντες, μιμήσασθε ὑμῶν τὸ ἀρχέτυπον· ὦ Χριστιανοὶ τὸ φιλάνθρωπον ὄνομα, ζηλώσατε τοῦ Χριστοῦ τὴν ἀγάπην, ἀποβλέψατε πρὸς τὸν πλοῦτον τῆς ἐκείνου φιλανθρωπίας. Μέλλων δὲ ἀνθρώποις ἐπιφαίνεσθαι δι' ἀνθρώπου, προκαθῆκε μὲν τὸν Ἰωάννην, μετανοίας κήρυκα, μεταμελείας εἰσηγητὴν, καὶ πάντας πρὸ Ἰωάννου Προφήτας, ἐπισροφῆς Διδασκάλους. Εἶτα καὶ αὐτὸς μετ' ὀλίγον ἐπιφανεὶς, οἰκείᾳ φωνῇ βοᾷ αὐτο-

προ-

προσώπως· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Τὲς δὲ τῇ κλήσει πειθέντας, πῶς ὑπεδέξατο; ἄπονον ἔδωκε τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ἀκαριαίαν καὶ σύντομον τὴν τῶν λυπούντων ἀπαλλαγήν. Λόγος ἡγίασε, Πνεῦμα ἐσφράγισεν· ὁ παλαιὸς ἄνθρωπος ἐνετάφη· ὁ νέος ἐτέχθη, ἀνηβήσας τῇ χάριτι. Τί τὰ ἑξῆς; ὁ ἄνθρωπος οἰκεῖος αὐτ' ἀλλοτρίῳ, υἱὸς ἀντὶ ξένου, μύστης ἐκ βεβήλου, Ἅγιος ἐξ ἀσεβοῦς. Ὁ τοίνυν ταῖς ὕπω μεγαλοπρεπέσι καὶ ἀνυπερβλήτοις δωρεαῖς πλουτισθείς, ἁμαρτῶν εἰς τὸν φιλότιμον καὶ ἀγαθὸν εὐεργέτην, παρὰ μὲν ὑμῖν τοῖς δυσκόλοις καὶ ἀμαλάκτοις δικασαῖς εὐθὺς μήτε λόγου μεταλαβών, πάντως ἂν ἐπὶ τὸν ὄλεθρον ἦλθε, καὶ τῆς ἐνθάδε ζωῆς ἀποκοπείς, καὶ τὴν ἐκεῖ κολαζόμενος. Ἐπεὶ δὲ ἄλλος ἐστὶν ὁ τῆς ψήφου Κύριος, ὁ ποιῶν τὸ ἔλεος εἰς χιλιάδας καὶ μυριάδας, καὶ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀναμένων δὲ τὴν ἐπιστροφήν, εὐδὲν ὕπως οἱ τὴν πρώην χάριν ὑβρίσαντες ἐτιμωρήθησαν· ἀλλὰ πάλιν δεύτερος ἔλεος, καὶ ἀκολουθεῖ τῷ προτέρῳ, καὶ ἀμνησία συγγνώμη συνάπτεται· καὶ δάκρυον σάξαν ἰσοδυναμεῖ τῷ λουτρῷ, καὶ σεναγμὸς ἐπίμοχθος ἐπανάχει τὴν χάριν πρὸς ὀλίγον ἀναχωρήσασαν.

Εἰ ἀπιστεῖς τῷ λόγῳ, Πέτρον ἐρώτησον ἐν τῇ οἰκίᾳ τοῦ Ἀρχιερέως καθήμενον, καὶ λέξει σοι, ὅπως τὸ παράπτωμα τῆς ἀρνήσεως πικρῶς ὀδυράμενος ἐκαθάρθη, καὶ οὐκ ἀνέλυσεν εἰς τὸν Σίμωνα, ἀλλὰ Πέτρος διέμεινεν ὁ Ἀπόστολος. Ἐγὼ δὲ νομίζω, ὅτι καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἰ μὴ παχέως αὐτὸς ἑαυτῷ ἐγένετο δήμιος, ἀσύγγνωστον κρίνας τὴν ἁμαρτίαν, προσπεσὼν δὲ τὸν ἔλεον ἧψεν, οὐκ ἂν τῶν οἰκτιρμῶν τῶν πάσης ὑπερχομένων τῆς οἰκουμένης ἠσόχησε. Τεκμήριον δὲ τοῦ λόγου πάντες Ἑβραῖοι οἱ μετὰ τὸν Σταυρὸν πιστεύσαντες, καὶ τῷ λουτρῷ τὰς ψυχὰς ὁμοῦ καὶ τὰς χεῖρας νιψάμενοι. Εἰ δὲ οἱ σαυρώσαντες ἠλεήθησαν, πῶς ἂν οὐ ὁ προδοὺς τῆς ἀμνησίας ἀπήλαυσεν; Ἐδέσ-

μει

μει ποτὲ καὶ Παῦλος Χριστιανὸς, ἀλλὰ βασάσας ὕστερον ἀλύσεις ὑπὲρ Χριστοῦ, ἐκ τῆς παυτοπαθείας ἔλυσε τὰ ἐγκλήματα. Ἥμαρτε λιθάζων Στέφανον καὶ συνευδοκῶν τοῖς φονεύουσιν, ἀλλὰ λιθασθεὶς ἐξήλειψε τὸ πλημμέλημα. Ἐτελώνει ποτὲ Ματθαῖος καὶ Ζακχαῖος, ἀλλὰ τῇ καταφρονήσει τῶν χρημάτων τὴν τελωνείαν πατήσαντες, ὁ μὲν τῇ οἰκίᾳ τὸν Ἰησοῦν ἐδέξατο, καὶ τῇ ψυχῇ πλέον· ὁ δὲ θαυμασῶν πράξεων Εὐαγγελιστὴς καὶ Συγγραφεὺς ἀπεδείχθη ὁ Τελώνης. Μετὰ τοῦ Φαρισαίου ἀναγκαῖον εἰς μνήμην, ἡ γυνὴ ἡ τὴν δραχμὴν ἀπολέσασα καὶ εὑροῦσα. Ἐξ ἀρχῆς δὲ εἰς τέλος εἴτις τοὺς ἀνθρώπους τοῦ βίου παντὸς ἐν τοῖς καθεξῆς χρόνοις λογίσαιτο, τοὺς πολλοὺς εὑρήσει πρότερον μὲν ἐνοχεθέντας ἁμαρτήμασιν, εἶτα τῇ πρὸς τὸ κρεῖττον ῥοπῇ μεταθεμένους τῆς γνώμης. Θεοῦ γὰρ οἰκεῖον καὶ μόνον ἐξαίρετον, πλημμελείας χωρὶς, πάντα κατορθοῦν. Ἄνθρωπος δὲ ὑπὸ γένεσιν καὶ φθορὰν ἠγμένος, καὶ τοσοῦτον ὑπάρχων δεκτικὸς παθῶν, ὅπου ἂν ἀκατηγόρητος δειχθείη, περικοπείσης συγγνώμης. Ἀπόβλεψον πρὸς τὸν Δαβὶδ τὸν Βασιλέα τοῦ Ἰσραὴλ, ὃν κατ' ἐκλογὴν ἐχειροτόνησεν ὁ Θεὸς, ἐπαίνοις δὲ τοῖς τῆς μαρτυρίας ἐκόσμησε, λέγων· εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου Δαβὶδ τὸν τοῦ Ἰεσσαί. Οὗτος μετὰ τὴν λαμπρὰν μαρτυρίαν, ἐπειδὴ τῷ πάθει τῆς σωμεραστίας ἑάλω, καὶ περιέπεσεν ἐκείνοις οἷς γινώσκομεν ἅπαντες, ἦλθε δὲ μετὰ τὸν ἔλεγχον τοῦ Προφήτου εἰς ἀναλογισμὸν τοῦ κακοῦ, ἀνάχαπτον ἀφῆκεν τοῖς εἰς ὕστερον ἐσομένοις τῆς μετανοίας τὸν μόχθον· καὶ θεωρῶμεν, ὡς ἐν εἰκόνι, τῷ ψαλτηρίῳ τὸν μόχθον. Νῦν μὲν ἐκπικόμενον τῇ λύπῃ τὸ σῶμα, αὖθις δὲ τὴν νύκτα καιρὸν θρήνων ποιούμενον, τὴν κοινὴν τῶν πόνων ἀνάπαυσιν, καὶ τῇ κλίνῃ τὸ δάκρυον ἐπιῤῥέοντα ὡς ἐκ πηγῶν τῶν βλεφάρων, καὶ πάλιν ἡμῖν τὸν πεντηκοστὸν Ψαλμὸν ἐκπονήσαντα, τύπον τὸν ἱλασκόμενον Θεόν· ὃ μὴν ὁ θρῆνος αὐτῷ μάτην ἐξεπονήθη, ἀλλ' οἱ βαρεῖς στεναγμοὶ τὸν ἔλεον ἐ-

φειλ-

φειλήσαντο· ἀπέλαβε δὲ ϗ τῆς βασιλικῆς ἀυθεντίας τὴν ἐξουσίαν, καὶ τῆς πρὸς Θεὸν ἱκεσίας τὴν παῤῥησίαν. Ὁμοίως κἀκεῖνος ὁ τῆς Νινευὶ βασιλεύειν λαχὼν, τῷ μὲν πλήθει τῶν ἁμαρτιῶν συνελαύνετο πρὸς τὸν ὄλεθρον ὁμοῦ τοῖς ἀρχομένοις λαοῖς, ϗ ὁ τῆς ἁμαρτίας ἔλεγχος ἐγγίζειν μετ' ὀλίγον τὴν προθεσμίαν τῆς τιμωρίας ἐκήρυττεν. Ἐπειδὴ δὲ συνετῶς ἑαυτοὺς κακώσαντες, ἔφυγον τὴν πεῖραν τῆς συμφορᾶς, ἐλυπήθη μὲν ὅτι μὴ ἠλήθευσεν ὁ τῶν κακῶν Προφήτης, ϗ πρὸς τὸν ἔλεον τοῦ Θεοῦ χαλεπῶς ἠρωτήσατο. Ὁ δὲ παντοχοῦ καὶ διὰ λόγων ϗ πράξεων γνωρίζων ἡμῖν, ὅσην ἔχει τὴν πρὸς τοὺς ἀνθρώπους εὐμένειαν, φύει μὲν τὴν κολοκύνθην ὑπὲρ κεφαλῆς τῷ Προφήτῃ σκέπην τῆς λυπούσης ἀκτῖνος· ὑποκαθεύδοντος δὲ τῇ σκιᾷ, ἀθρόον ἀποξηραίνει αὐτήν. Εἶτα ὡς δυσκόλως εἶχεν ἀφυπνώσας πρὸς τὸ συμβαν, ὀνειδίζει ϗ μέμφεται. Εἰ μὲν οὕτως ἐμπαθῶς ἐπισυγνάζοι τῷ μαρανθέντι λαχανῳ, ὁ δὲ Θεὸς οὐκ ἂν ἐπεκλάθη τηλικαύτῃ πόλει ἐγγὺς ἑλθούσῃ κινδύνου; Μάθετε ἓν οἱ σκληροὶ ϗ δυσμείλικτοι τὴν τὸ κτίσαντος ἡμᾶς χρηστότητα, ϗ μὴ γίνεσθε τῶν ὁμοδούλων πικροὶ ϗ βαρεῖς δικασταὶ, ἄχρις ἂν ἀφίκηται ὁ τὰ κρυπτὰ τῶν καρδιῶν ἀποκαλύπτων, ϗ κατ' ἐξουσίαν δεσποτικὴν ἑκάστῳ τῆς προσδοκωμένης ζωῆς ἀποκληρῶν τὴν κατάστασιν. Μὴ σκυθρωπὰς ἐκφέρετε τὰς ἀποφάσεις, ἵνα μὴ ταῖς ὁμοίαις ὑποβληθῆτε, ϗ τῶν οἰκείων σωμάτων τοῖς λόγοις ὡς ὀδοῦσιν ὀξυτάτοις περιπαρῆτε. Δοκεῖ γάρ μοι ϗ ἡ Εὐαγγελικὴ πρόῤῥησις τούτου προφυλακτικὴ τυγχάνειν τοῦ πλημμελήματος λέγουσα, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· οὐ γὰρ τὴν κρίσιν ϗ τὴν εὐγνωμοσύνην ἐκβάλλει· κρίσιν δὲ ὀνομάζει τὴν τραχυτέραν κατάκρισιν. Ποίησον οὖν, εἰ δοκεῖ, κἄφον τὸ σάθμιον, εἶπω βέλει μὴ πρὸς τὴν κατακρίνουσαν πλάσιγγα ϗ τὰς σὰς πράξεις καθελκυθῆναι, ὅταν ὁ βίος ἡμῶν, ὡς ἐν ζυγῷ, τῇ κρίσει τοῦ Θεοῦ παλαντεύηται. Σῶμα περικείμενος ϗ διαζῶν ἐν

σαρ-

σαρκὶ, μήποτε ἀπελάσῃς τὸ βίου τὴν ἀπὸ ἰατρικῆς θεραπείαν. Κἂν γὰρ ἐπὶ πλεῖσον ὅσον εὐεξίᾳ τε καὶ ὑγείᾳ συζήσῃς, ἀλλ' οὐχ ἕπου διατελέσεις ἄνοσος, ὡς ἐν χρείᾳ μὴ γενέσθαι τῆς ἐπιμελείας τοῦ θεραπεύοντος. Καὶ ψυχὴν ἔχων καταπλινομένην πρὸς τὰ γήϊνα, ἵνικα αὐ ἑαυτῆς ἐπιλαθομένη τῶν προσταθέντων ἐμπλησθῇ τοῦ σώματος, μὴ αἰαίρει τὸν ἔλεον, ἵνα μὴ ἀμοιρήσῃς συγγνώμης, ὅταν αὐτῆς ἐπιδεὴς κατασῇς. Ἱερεύς τις ἐσὶ, καὶ ἡγεμονεύειν ἔλαχε τοῦ λαοῦ; συμπαθῶν ὁράπω τῶν ὑπηκόων τὰ πτώματα, εἰδὼς ὅτι κἂν ἡ τάξις τοῦ βίου διαφορὰν ἔχῃ πρὸς τὰς πολλούς, ἀλλὰ τῇ φύσει τῶν ποιμαινομένων οὐδὲν διενήνοχε· κοινωνῶν δὲ αὐτῆς, ἴσως ποτὲ κοινωνήσει καὶ πλημμελήματος. Ταῦτα καὶ Μωϋσῆς ἰδών· ἄνθρωπος γὰρ ἦν, καὶ τὴν φύσιν ἐγνώριζε· τὸν μόχον ὑπὲρ τοῦ Ἱερέως ἱερυργεῖσθαι διέταξεν ἡμαρτηκότος παντὸς καὶ καθαρσίων δεομένου καὶ πλειόνων. Ὅπερ δὲ ἦν τότε ὁ ἔνσαρκος μόχος, τοῦτο νυνὶ ἐσιν ἡ ἀσώματος μεταμέλεια, καὶ ἡ αἱματικτος δέησις· ἧς ὑψηλολογέμενοι καὶ μεγαλαυχῶντες, τὴν εὐεργεσίαν μὴ λύσωμεν, εἰδότες ὅτι καὶ Ἀαρὼν ὁ δοκιμώτατος Ἱερεὺς τῷ λαῷ ζητοῦντι Θεὸς συναπήχθη, καὶ μετὰ τῆς ἀδελφῆς τῆς Μαρίας ἑάλω τῷ γογγυσμῷ· καὶ εἰ μὴ ὁ γογγυσθεὶς ἱκέτευσεν, οὐκ ἂν τὴν τιμωρίαν διέφυγεν. Ἄλλος ἐσὶν, οὐχ Ἱερεύς, ἀλλ' εἷς τῶν πολλῶν; φοβείσθω βαρὺν ἐπιτιθέναι ζυγόν. Εἰ γὰρ ὁ καθαίρειν τὸν λαὸν προβληθεὶς χρήζει καθαρσίων ἐνίοτε, τί ἂν πάθοι ὁ μηδὲ τῆς χειροτονίας ἔχων τὴν δύναμιν;

Μιμησώμεθα τὴν ποιμαντικὴν τοῦ Δεσπότου. Ἐγκύψωμεν τοῖς Εὐαγγελίοις, καὶ ὥσπερ ἐν ἐσόπτρῳ τὴν ἰδέαν καταμάθωμεν τῆς ἐπιμελείας τε καὶ χρησότητος. Βλέπω γὰρ ἐκεῖ ἐν παραβολαῖς καὶ τοῖς ἐπεσκιασμένοις τῶν λόγων ἄνδρα ποιμένα ἑκατὸν προβάτων, ὃς ἑνὸς θρέμματος ἀποχισθέντος τῆς ἀγέλης καὶ πλανωμένου, ἐ τοῖς ἐν πάξει καὶ ἀπλανῶς νεμομένοις παρέμεινεν, ἀλλ' ὁρμήσας ἐπὶ τὴν ζήτησιν, πολλὰς μὲν διώδευσε κοιλότητάς τε καὶ

φά-

φάραγγας, μεγάλως δὲ καὶ ὑψηλῶν ὑπερηνέχθη σκοπέλων, καὶ ταῖς ἐρημίαις κρατερῶς ἐνεμόχθησε, μέχρις αὖ εὗρεν. Εὑρὼν δὲ οὐκ ἔπληξεν, ἃ μὴν ὠδὲ ἤλασε σφοδρῶς, ἐπεγων πρὸς τὴν ἀγέλην· ἀλλ' ἐπιθεὶς τῷ αὐχένι, καὶ νομίσας μετὰ φειδοῦς, τοῖς συννόμοις ἀπεκατέστησε, χαίρων ἐπ' ἐκείνῳ πλέον, ἢ τῷ πλήθει τῶν ἄλλων. Νοήσωμεν τοίνυν τὸ πρᾶγμα τὸ τοῖς αἰνίγμασιν ἐγκρυπτόμενον. Τὸ δὲ πρόβατον οὐκ ὄντως πρόβατον· καὶ ὁ ποιμὴν δὲ πάντως ἄλλοτι, ἃ μὴν ὁ τῶν ἀλόγων νομεύς· ἀλλ' ἔστιν ὑποδείγματα ταῦτα τῶν Ἱερέων παιδευτικά, ἵνα τῶν ἀνθρώπων μήτε προχείρως ἀπελπίζωμεν, μήτε καταῤῥαθυμῶμεν κινδυνευόντων· ζητῶμεν δὲ τὸν ἐμπαθῆ, καὶ ἐπανάγωμεν εἰς τάξιν, καὶ χαίρωμεν τοῖς τρέφουσι, καὶ τῷ πληρώματι τῶν ὀρθῶς βιώντων ἀναμιγνύωμεν. Ἐπὶ τοσοῦτον δὲ τὸ Ἱερέα προσῆκεν αὐτὶ τῆς ἀποτομίας τὴν φιλανθρωπίαν ἀσκεῖν, ὥστε κἂν ὁ δεσπότης ἐκκόπτειν κελεύῃ τινά, ὡς φυτὸν ἄχρηστον, αὐτὸν ὡς φυτοκόμον αἰτεῖν δεῖ τὴν φειδὼ καὶ ὑπέρθεσιν. Τοῦτον δὲ ἡμῖν παρίστησι τὸν νοῦν τῆς ἀκάρπου συκῆς ὁ λόγος· ἣν ἐκτέμνειν θέλοντος τοῦ Κυρίου διὰ τὴν ἀκαρπίαν, ὁ γεωργὸς ἱκετεύει, καὶ ἀναβολὴν αἰτεῖ καὶ ὑπέρθεσιν, ἐλπίδας αὐτῷ χρηστὰς ὑποτείνων διὰ τῆς οἰκείας ἐπιμελείας. Μὴ τοίνυν κόπτε προχείρως ὁ τὴν τομὴν παρὰ τοῦ Κυρίου ἐπαγομένην κωλύειν ὀφείλων, μηδὲ καταγίνωσκε ταχέως τὴν ἀχρηστίαν· ἀλλ' ἐκτόνει τὴν ἐπιμέλειαν· σκάπτε τοῖς ἐλέγχοις· θάλπε ὡς κόπρῳ ταῖς παρακλήσεσι· πότιζε τῇ ἐπιῤῥοίᾳ τῶν παθημάτων· περίφραττε τοῖς προφυλακτικοῖς τῶν παραγγελμάτων ὡς χαρακώματι· σόν ἐστι τὸ παραιτεῖσθαι, τοῦ κριτοῦ τὸ δικάζειν. Ἐκεῖνο κληθῆναι σπουδάσωμεν, ὃ λέγεται καὶ ὁ Κύριος. Παράκλητος δὲ ὀνομάζεται, ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων τὸν Πατέρα ἐξιλεούμενος. Ὁμοίως καὶ τὸ Πνεῦμα τῆς ἀληθείας, τὴν ὑπὲρ ἡμῶν σπουδὴν ἔλαβεν ὄνομα. Παράκλητος δὲ κἀκεῖνο λέγεται. Πρεσβεία δὲ καὶ παρά-

κλη-

κλησις ὑπὲρ τῶν ἡμαρτηκότων παύτως σπουδάζεται, ἐ μὴν τῶν αὐθυδύνων κ᾽ ἀνεγκλήτων. Ζήλωσον ὁ Ἰερευὺς τὸ κηδεμονικὸν τῦ Μωσέως. Μίμησαι τὴν ἐκείνυ περὶ τοὺς ἀρχομένους διάθεσιν, ὃς παρακαλῶν τὸν Θεὸν, ἵνα μὴ δυσμενῇ τῷ λαῷ πλημμελήσαντι, ἐπειδὴ μικρὸν ἠθετο παρελκομένης τῆς χάριτος, τῦτο γῦν ἱκέτευε, προαπελθεῖν τὸ λαὸ, μὴ θεάσηται τῶν ποιμαινομένων τὸν ὄλεθρον. Οὐδὲν δὲ οἷον αὐτῆς ἀπομνημονεῦσαι τῆς λέξεως· δέομαι, ἡμάρτηκεν ὁ λαὸς ἁμαρτίαν μεγάλην, κ᾽ ἐποίησαν ἑαυτοῖς Θεὸς χρυσᾶς. Καὶ νῦν εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰδὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλυ, ἧς ἔγραψας. Ὁρᾷς ὅπως τὴν τῦ πλήθους σωτηρίαν τῆς οἰκείας προτίθησι, καὶ ἐξαλειφθῆναι ζητεῖ, εἰ μὴ κατορθοῖ τῷ κοινῷ τὴν συγγνώμην; Οἱ δὲ νῦν πρὸς τὰς ἁμαρτάνοντας πικραινόμενοι, προσιόντας ἐλαύνυσιν, ὑποπίπτοντας παρατρέχυσι, δακρυόντων κ᾽ ἐπικλῶσι τὸ πρόσωπον. Τί δὲ ὁ Λυκᾶς, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ Ἅγιον; ἀνέγραψέ μοι τὸν υἱὸν τὸν ἄσωτον, ὃς καθύβρισε μὲν τῇ ἀναχωρήσει πρῶτον τὸν γεννησάμενον, εἶτα πρὸς τὰς ἡδονὰς κ᾽ μέθας ἐκβακχευθεὶς, κ᾽ φιλογύνης γενόμενον, πάντα τὸν πατρικὸν πλῦτος ἐκένωσεν. Ἐπειδὴ δὲ χρόνοις ὕστερον ἱκανῶς ἐπαλαιπωρήσας τοῖς μόχθοις, ὡς κ᾽ συβώτης γενέσθαι μισθωτὸς, καὶ τῆς αὐτῆς μεταχεῖν τοῖς χοίροις τροφῆς, ἐπανῆλθε πρὸς τὴν πατρικὴν ἑστίαν σωφρονισθεὶς, οὐκ ἀπεσράφη ὁ Πατὴρ, ἐδὲ ἐπέθηκεν αὐτῷ τὰς θύρας ἐπανελθόντι· ἀλλὰ παντὸναντίον, προσέδραμεν ἐγγίζοντι, καὶ ἐπεκλίθη τῷ τραχήλῳ, κ᾽ δάκρυον ἐπέσαξε συμπαθῶς τῷ αὐχένι. Ἐποίησε δὲ πάλιν αὐτὶ ἀθλίυ μακαριςὸν, ἐλευθερίῳ ἀμφιέσας ἐσθῆτι, κ᾽ δακτύλιον τῇ χειρὶ περιθεὶς, κ᾽ ἑορτὴν ἄγων τὴν ἡμέραν, κ᾽ εὐτρεπίσας εὐωχίαν λαμπράν. Ταῦτα δὲ πάντα λόγος ἐστὶ παραβολικὸς, ὑπανοίγων ὡς πατρικὴν ἑστίαν τὴν Ἐκκλησίαν, καὶ δεχόμενος φιλοφρόνως, ἵνα μὴ ὦσιν ὁμοδίαιτοι τοῖς χοίροις

τῆς

τοῖς δαίμοσι, γενώνται δὲ πάλιν ἐξ ἀλλοτρίων υἱοί· ἵνα τῷ βελήματι τοῦ Θεοῦ συζῶσιν ὡς γνώμῃ Πατρὸς, καὶ τοῖς Ἁγίοις ἀνδράσιν, ὡς ἀδελφοῖς. Σὺ δὲ μὴ ζήλα τὴν γνώμην τοῦ πρεσβυτέρου, μηδὲ καταγόγγυζε τῆς τοῦ Πατρὸς φιλανθρωπίας, ὅτι καὶ τὸν ἄσωτον καὶ ὑβριστὴν εἰσωκίσατο. Θαύμαζε μᾶλλον τὴν ἀγαθότητα, καὶ μιμοῦ τοῦ Θεοῦ τὴν ἐπιείκειαν, καὶ τοὺς ἐκ τῆς πλάνης ὑποστρέφοντας ἐναγκαλίζου, καὶ περιπτύσσου. Οὕτω γὰρ ἔσῃ τυφλῶν ὁδηγὸς, καὶ πλανωμένων διδάσκαλος.

Πρὸς μὲν οὖν τὸν ζηλωτὴν τὴν γνώμην, καὶ τὴν ἀποτομίαν τοῦ συμπαθείας ἀσκοῦντας ἱκανῶς ἡμῖν εἰρῆται, καὶ ὁδοῦ δεῖ μακροτέρων. Ἄκου δὲ λοιπὸν καὶ ὁ τῆς ἐπιστροφῆς δεόμενος, ὅπως σὲ προσῆκεν ἐπισυγκάζειν τοῖς ἁμαρτήμασιν, καὶ τὰ παραπτώματα τῆς καρδίας ἀποθρηνεῖν· μᾶλλον δὲ, εἰ δοκεῖ, σκόπησον τὴν ἁμαρτωλὸν γυναῖκα τὴν παρὰ τοῦ Λουκᾶ ἐπὶ τοῦ παρόντος ἀναγνωσθεῖσαν ἡμῖν· κἀκείνης τὸ ταπεινὸν καὶ δισωπητὸν ζήλωσον, καὶ λάβε κανόνας μετανοίας ἀκριβωμένης. Ἐλθοῦσα γὰρ ἐπὶ τὸν οἶκον τοῦ Φαρισαίου, ὅτε τὸ πλῆθος τῶν ἐσιωμένων ἀπωθεῖτο, οὔτε τὸν καιρὸν τῆς δυσχίας ὡς ἄκαιρον εἰς ἐξομολόγησιν ἔφυγεν· ἀλλὰ τῇ λύπῃ συνεχομένη, καὶ σφοδρὸν ἔχουσα τὸ πλημμελημάτων τὸ πλῆθος, οὐδὲ τὸ βραχύτατον ἠφείτο τῶν τῆς ἁμαρτιῶν ἀχθῶν· οὐ μὴν οὐδὲ εἰς τὸ πρόσωπον κατ' ὄψιν ἐρχομένη ἱκέτευσεν· ἀλλὰ τὸ ἀνάξιον ἑαυτῆς καὶ ἀπαρρήσιαστον διὰ τοῦ σχήματος ἐρμηνεύουσα, τῷ κατὰ νώτου χώραν καταλαβοῦσα, καὶ οὐδὲ ἑστῶσα ἁπλῶς, ἀλλὰ κατόπιν τῆς ποδῶν λαβομένη, λύσασα δὲ τὰς κόμας, καὶ τοῖς φράγμασι δημοσιεύσασα τὴν πεπληγυῖαν ψυχὴν, καὶ τοῖς ποσὶ τοῦ Ἰησοῦ τὸ δάκρυον ἐπιῤῥέουσα, μετὰ πολλῆς τῆς συμπαθείας ᾔτει τὸν ἔλεον. Καὶ τοσοῦτον προσχωμένη, ὥστε καὶ βρέχειν τοὺς πόδας, καὶ τῇ κόμῃ πάλιν ἐκμάττουσα τὴν ὑγρότητα, πᾶσαν διλάβειαν ταπεινὴν ἐπεδείκνυτο· ἵνα δὲ συντόμως εἴπω, πάσαις ταῖς αἰσθήσεσι καὶ τοῖς μέλεσι τοῖς ἡμαρτηκόσιν ἡ γυνὴ τῷ

μετανοιαν ἐξεπόνει. Ἡ δὲ δημοσία καὶ εἰς τὸ ἐμφανὲς ὅπως ὀδυρομένη τὰς ἁμαρτίας, τίνα κατ' ἰδίαν ἐπὶ χολῆς ἔφραττεν; ἔξεσι τεκμηράμενον συνοράν. Ἡμῶν δὲ ἡ μὲν ὑπόχεσις, μετανοιαν ἐπαγγέλλεται· ἡ δὲ φράξις, οὐδὲν ἐπίπονον δείκνυσιν· ἀλλὰ τιὼ αὐτιὼ ἔχομεν τὸ βίε κατάσασιν, ὦ καὶ πρὸ τῆς ἁμαρτίας εἴχομεν. Φαιδρότης γὰρ ὁμοία, καὶ ἑαθὴς ἡ αὐτὴ, καὶ τραπέζης ἀπόλαυσις δαψιλὴς, καὶ ὕπνος μακρὸς καὶ λελυμένος εἰς κόρον, ἀχολίαι δὲ καὶ φροντίδες ἐπάλληλοι, λήθω ἐμποιοῦσαι τῇ ψυχῇ τῆς οἰκείας ἐπιμελείας. Μένον δὲ τὸ ὄνομα τῆς μετανοίας ἐπιγραφόμεθα ἄκαρπόν τε καὶ ἀνενέργητον· τῷ μὲν Μυσηρίων ἑαυτὰς χωρίζοντες, καὶ τῆς κοινωνίας τῷ ἀπορρήτων ἁγιασμάτων· ὀδεμίαν δὲ ἀσκδὴν τῆς ἐπιστροφῆς τῆς πρὸς αὐτὰ ποιούμενοι, ἀλλ' ὡς δύνε καταφρονέντες τῆς ἀπολαύσεως. Ἐννόησον ἄνθρωπε, πηλίκων ἀξιώμενος ἐχωρίθης τῆς μετασίας ἐκείνων. Εἰ βασιλικῆς σὺ τραπέζης μετέχων ἧς, εἶτα προσκρούσας, τῆς τιμῆς ἀπερρίφης, πόσων ἂν ὀξωνήσω χρημάτων τὸ πάλιν γενέθαι φίλος καὶ ὁμοτράπεζος; τίνων δὲ θύρας ἐκ ἂν διώχλησας, ἱκετεύων, ἀπορούμενος, σκύων, ἀβίωτον νομίζων τὸν βίον, τῇ τάξει καὶ χέσει τὸ προσώπε τῆς ἐν τῷ βάθει λύπης τιὼ ὀδύνην ἐμφαίνων, πάντα λίθον, τὸ τὸ λόγε, κινῶν; μέχεις ἔ σεαυτῷ τιὼ συμφορὰν ἐπανώρθωσας; Ὁ δὲ τῆς πρὸς Θεὸν οἰκειώσεως χωρισθεὶς, καὶ τῆς ὄντως ὑψηλῆς τιμῆς ἐκπεσὼν, τί μέγα καὶ ἀξιόλογον ποιήσας, ψυχῆς κεκακωμένης ἐνδείξηται ταπεινότητα; ἐκ ἔσιν ἀκόλουθον νοσεῖν λέγοντα, τιὼ αὐτιὼ ζωιὼ μετιέναι τοῖς ὑγιαίνεσιν. Ἄλλη γὰρ δίαιτα τὸ ἀῤῥώσε, καὶ ἕτερος βίος τὸ ὑγιαίνοντος. Ὁρᾷς ὅση ἐσὶν ἡ τὸ ὑγιαίνοντος μεταβολὴ, τῆς τὸ ἀθενοῦντος μεταβολῆς τῆς κατὰ τὴν ἕξιν αἰθόμενος; ἐν δωματίῳ μικρῷ κατάκειται, πάσης συνήθες ἀναχωρήσας φροντίδος, ἀμελεῖ γεωργίας, καὶ σφόδρα γεωργικὸς ὑπάρχων· ἀφίνσι πλέτε μέριμναν, ὁ χρηματισὴς καὶ φιλέμπορος· ὕδατι καὶ

↓ ω.

ψωμῷ διαβέφεται, εἰ μὴ πρότερον τρυφῆς γέμουσαν καὶ συβαριτικῶν παρετίθετο βάπεζαν· παισὶν ὐκ ἐπδρφαίνεται τὰ συνήθη· γαμετῆς χωριθεὶς, τοῖς ἰαβοῖς σωέστι νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ πολλοῖς μισθοῖς πρὸς ἀγαπητὸν κέρδος ἀπόδει τῶν ὑγείαν. Ταῦτα ὁ τοῦ σώματος ἄῤῥωστος. Ὁ δὲ τῶν ψυχῶν κακῶς διακείμενος τὸν ἀσώματον περινοστήσας ἰατρὸν, καὶ προσποιητῶς ὁμολογῶν καὶ δεικνὺς τῶν ἀθνειαν, καταλιμπάνεις νέμεθαι καὶ σφακελίζειν τὸ πάθος, ἵνα πρὸς τὸν ὅλον ὄγκον διαχεθῇ, ἀλλὰ σωφρόνησον, γνῶθι σαυτόν. Θεὸν ἐλίπησας, τὸν δημιυργόν σε παρώργισας, τὸν καὶ τῆς παρύσης ζωῆς τὴν ἐξυσίαν ἔχοντα, καὶ τῆς μελλύσης Κύριον καὶ Κριτῶν. Ἀπὸ τρυφῆς ἐκακώθης; νηστείᾳ θεράπδυσον τὴν ἀπόλαυσιν. Ἀκολασία τῶν ψυχὴν ἔβλαψε; σωφροσύνη γενέθω τῆς ἀῤῥωστίας φάρμακον. Πλεονεξία πολύϋλος τὸν νοητὸν εἰργάσατο πυρετόν; ἐλεημοσωύνη κενωσάτω τὴν πλησμονήν. Καθάρσιον δῶ ἡ τῶν πεπληρωμενῶν μετάδοσις. Ἔβλαψεν ἡμᾶς ἁρπαγὴ τῶν ἀλλοτρίων· ἐπανελθέτω πρὸς τὸν ἴδιον δεσπότην τὸ ἅρπαγμα. Ψεῦδος ἡμᾶς ἐγγὺς τῆς ἀπωλείας ἤγαγεν; ἀπολεῖς γάρ, φησι, πάντας τὺς λαλῦντας τὸ ψεῦδος. Ἀλήθεια μελετηθεῖσα στησάτω τὸν κίνδυνον. Ὅρκος παραβαθεὶς ἄγει πετόμενον τὸ διαίρειον τῦ Ζαχαρίυ δρέπανον, τὴν τομὴν ἀπειλῦν; ἐνδυσώμεθα πᾶσαν τὴν πανοπλίαν τῆς μετανοίας, ἵνα τὴν ἀκμὴν ἀποκρυσώμεθα τῦ δρεπανύυ. Αἱρετικοῖς δόγμασιν ἀσεβῶς τις ἐδέλδυσεν; ὀρθῆς δόξης φρονήματι τὴν δεισιδαιμονίαν φυγαδδυσάτω. Τῦτο γάρ ἐστιν ἡ μετανοία· λύσις καὶ ἀφανισμὸς τῶν πρώην ἢ κατὰ πρᾶξιν ἐνεργυμενῶν, ἢ κατὰ διάθεσιν νουμενῶν. Ὁ δὲ γνωρίζων τὸ τῆς μετανοίας ὠφέλιμον, ἀεὶ δὲ περὶ τὸν βόρβορον τῆς ἀνομίας σβεφόμενος, δέλῳ τυγχάνει παραπλήσιος γνωρίζοντι τῶν ὀργὴν τοῦ δεσπότυ, ἐν ὄψεσι δὲ αὐτοῦ τὸ κακὸν ἐργαζομένῳ, καὶ τὴν ἁμαρτίαν τριπλασιάζοντι. Εὐαίθητος γενῦ πρὸς τὴν περιέχυσαν σε νόσον. Σωί-

ξιφον σαυτὸν, ὅσον δύνασαι· ζήτησον καὶ ἀδελφῶν ὁμοψύχων πόθος βοηθοῦ σοι πρὸς τὴν ἐλευθερίαν. Δεῖξόν μοι πικρόν σε καὶ δακρυλὲς τὸ δάκρυον, ἵνα μίξω καὶ τὸ ἐμόν. Λάβε καὶ τὸν Ἱερέα κοινωνὸν τῆς θλίψεως, ὡς πατέρα. Τίς γὰρ ἔπω πατὴρ ψευδώνυμος, ἢ ψυχὴν ἀδαμαντίνος, ὡς μὴ συνοδύρεσθαι τοῖς τέκνοις λυπουμένοις, ἢ πάλιν συνευφραίνεσθαι χαίρουσιν; Ἱερεὺς γοῦν τὸ κατὰ θρησκείαν ἔπως οὐδύρεται τὴν ἁμαρτίαν, ὡς Ἰακὼβ τὸν Ἰωσὴφ τὸν ἠμαγμένον χιτῶνα, ὡς Δαβὶδ τοῦ Ἀβεσσαλὼμ τὸν ὄλεθρον, ὡς ὁ Ἠλεὶ τὸν Ὀφνὶ καὶ Φινεὲς πεσόντας ἐπὶ τῆς παρατάξεως, ὡς Μωϋσῆς τὸν λαὸν τὸν ἄθεον μοσχοποιΐαν καινοτομήσαντα. Πρὸ τοῦ σωματικῶν πατέρων, θάρρησον τῷ κατὰ Θεόν σε γεννήσαντι. Δεῖξον αὐτῷ ἀνερυθριάστως τὰ κεκρυμμένα. Γύμνωσον τὰ τῆς ψυχῆς ἀπόρρητα, ὡς ἰατρῷ πάθος δεικνύων κεκαλυμμένον. Αὐτὸς ἐπιμελήσεται καὶ τῆς διχημοσύνης καὶ τῆς θεραπείας. Πλέον ἡ αἰδὼς τοῦ γονέων ἅπτεται τοῦ πεπονθότων αὐτοῦ. Ἡ γὰρ ἐκείνων δόξα τοῦ γεννησαμένων ἐστὶν, καὶ ἡ αἰσχύνη ὁμοίως. Ἄδηλος, ἀδελφοὶ, τῆς ζωῆς ἡ προθεσμία. Φθάσωμεν τῇ ἐπιμελείᾳ τὴν ἔξοδον. Ἄτοπον γὰρ τὰς μὲν τῆς σαρκὸς λελογισμένως ποιουμένας τὴν πρόνοιαν, καθαίρειν ἑαυτὰς τοῦ ὑλῶν πρὸ τῆς ἐπιτολῆς τὸ λεγομένε κυνὸς, ἵνα μὴ διασαπὲν ἐκ τῆς ἄγαν θερμότητος τὸ ὑγρὸν νοσοποιὸν σῆψιν ἐργάσηται, τὰς δὲ κατὰ διανοιαν ἐπιμελείας χρῄζοντας μὴ προφθάνειν τὸ θανάτε τὴν ἀδηλίαν, καὶ τὸ κολασηρίε πυρὸς τὴν ζέσιν τὸ ἀληκτος φλέγοντος, καὶ μηδέ ποτε ψυχομένε. Τὴν δραχμὴν εἶχες τὴν Εὐαγγελικὴν, καὶ καλῶς ἐπλήτεις τῷ χρήματι, εἶτα διὰ ῥᾳθυμίαν ἀπώλεσας; Ἆφον τὸν ἐκ τῆς μετανοίας λύχνον, κατάκυφον ἐπιμελῶς, ζήτησον τὸ κειμήλιον τοῖς γηΐνοις ἐγκρυπτόμενον πάθεσιν. Εὕρηκας ἀνέλε καὶ σῶσον, ἵνα σοι συγχαρῶμεν οἱ γείτονες χαρὰν τὴν ἐν Χριστῷ· ᾧ πρέπει δόξα, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΡΟ-

ΠΡΟΚΛΟΥ

Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

Ἐγκώμιον εἰς τὸν Ἅγιον Πρωτομάρτυρα Στέφανον.

Ὁ μὲν αἰθητὸς ἥλιος ὑπὲρ γῆν ἀνατέλλων Ἀρκτοῦρον, καὶ Ὠρίωνα, καὶ Πλειάδα, ἢ καὶ αὐτὸν τὸν Ἑωσφόρον παρανατέλλοντα ἔχει· ὁ δὲ τῆς δικαιοσύνης Ἥλιος ἐκ κόλπων παρθενικῶν ἀναλάμψας, τὰς μὲν ἀστρώας χορείας εἰς συνδρομὴν φωτὸς οὐκ ἐπιδέχεται, Στέφανον δὲ τὸν Πρωτομάρτυρα συναναπολέα τῇ ἀθανάτων ἀντίνων πεποίηται. Ἐκεῖνος μὲν τῇ ἀρκτῴων εἰς τὴν νοτιαίαν ζίβον ἐλαύνων, ποτὲ μὲν συσέλλει, ποτὲ δὲ πλατύνει τῆς ἡμέρας τὰ μέτρα, ἕτος δὲ τῇ ὡρὸς ἡμᾶς ἐξ οὐρανῶν ἐπιδημίᾳ τὴν δικαιοσύνην αὐξήσας, ἀμίαντον καὶ ἀμείωτον τὸ παύτης ἐτήρησε φέγγος. Ἐκεῖνος νυκτὸς διάδοχος, ἕτος θανάτου ἀντίπαλος. Ἐκεῖνος σκότους φυγαδευτής, ἕτος ἁμαρτίας ἀναζοπύλης. Ἐκεῖνος δωδεκάωρον φέγγει, ἕτος δι' αἰῶνος ἀστράπτει. Ἐκεῖνος δι' ἀστέρων ὁδεύει, οὗτος δι' Ἀποστόλων ἐκλάμπει. Ἐκεῖνος διὰ καιρῶν καὶ χρόνων περιέρχεται, οὗτος διὰ Προφητῶν καὶ Εὐαγγελιστῶν κηρύττεται. Ἐκεῖνος τὰς ὥρας τῷ δρόμῳ ὑφαίνει, ἕτος τῷ λόγῳ τὰς Ἐκκλησίας μεγαλύνει. Ἐκεῖνον ἐπὶ ἅρματος οἱ ζωγράφοι ἐπιβεβηκότα γράφουσι, τοῦτον οἱ Θεολόγοι ἐπὶ φάτνης ἀναπαυόμενον διαγγέλλουσι. Φάτνης, τὸν Οὐρανὸν μιμουμένης· φάτνης, τοῖς Χερουβὶμ παριστωμένης· φάτνης, τῷ ἀῤῥήτῳ θρόνῳ συγκεινομένης· φάτνης, τῇ λογικῇ τροφῇ πεπιεχούσης· φάτνης, τῇ τῶν πάντων ζωῇ ὑποδεξαμένης· φάτνης, τὸν τὰ πάντα βαστάζοντα βαστάζουσης· φάτνης, πάσης ὁμοῦ τῆς κτίσεως πλατυτέρας· ὃν γὰρ ἡ κτίσις οὐ χωρεῖ, τοῦτον ἡ φάτνη διὰ τὴν χάριν ἐχώρησε· φάτνης, ὑπὸ ἀστέρος ἡμεροδρόμου μυ-

νομεύης· φάτνης, ἐν ἑαυτῇ τὸ θυσιαστήριον προδιαγρα-
φέσης· φάτνης, Ἐκκλησίαν τὸ σπήλαιον ἀποτελεσάσης.
Δεῦτε τοίνυν καὶ ἡμεῖς τὰς δυσεβεῖς Μάγας ζηλώσω-
μεν, καὶ τὴν Ἐκκλησίαν αὐτὶ Βηθλεὲμ κατανοήσωμεν.
Ἀντὶ τοῦ σπηλαίου τὸ ἱερατικὸν ἀσπασώμεθα βῆμα·
αὐτὶ τῆς φάτνης τὸ θυσιαστήριον προσκυνήσωμεν. Πε-
ριπτυξώμεθα τὸν διὰ τοῦ βρέφους εὐλογέμενον ἄρτον.
Ἐφ' ἅπασι δὲ τούτοις, τὸν ὑπὸ τῶ Στεφάνε σήμερον κα-
ταγγελλόμενον Βασιλέα δοξάσωμεν. Ὦ ξένε Βασιλέως
παράδοξα πράγματα! Χθὲς ἐτέχθη, καὶ σήμερον αὐ-
τῷ Στέφανος προσηνέχθη. Στέφανος, ὁ φερώνυμος Μάρ-
τυς. Στέφανος, ὁ ἔμψυχος Στέφανος. Στέφανος, τὸ αὐ-
τόπλεκτον διάδημα. Στέφανος, τὸ αὐτοχάλκευτον πεί-
θεμα. Στέφανος, τὸ αὐτοφυὲς τῆς ἰδίας κορυφῆς σεφά-
νωμα. Στέφανος, τὸ πολυανθὲς τῆς Πίσεως βλάστημα.
Στέφανος, τὸ τῆς ἀγάπης εὐωδέστατον ῥόδον. Στέφανος,
τὸ τῆς ἐλπίδος ἀμαραύτινον ἄνθος. Στέφανος, ὁ τῆς
χάριτος εὐθαλέστατος στάχυς. Στέφανος, ὁ τῆς ἀει-
ζώου ἀμπέλε τὸ πολύφορον κλῆμα. Στέφανος τῆς ἀ-
θανασίας ὁ μελίσακτος βότρυς. Στέφανος, ἡ τῶ σταυ-
ρωθέντος ἐρανομήκης παραφυάς. Στέφανος, παντὸς ἀ-
γαθῦ ἔργε καὶ λόγε τὸ πλήρωμα. Στέφανος, ὁ τῆς ὁ-
μολογίας ἀκαθαίρετος πύργος. Στέφανος, ὁ τῆς ὑπο-
μονῆς ἀσάλευτος προβολος. Στέφανος, ὁ τῆς ἐγκρα-
τείας σαυροφόρος ὁπλίτης. Στέφανος, ὁ τῆς εὐσεβείας
ἀήττητος στρατιώτης. Στέφανος, ὁ ἔμψυχος στρατιλάτης.
Στέφανος, ὁ κατὰ τῶ Χερσονήσων θαρσαλέος ὁπλί-
της. Ἔκαμον, ἔκαμον, πλέκων τῷ Στεφάνῳ τὸν στέ-
φανον, καὶ ὠδέπω τῆς πλοκῆς ἐφηψάμην. Τῇ θείᾳ τοί-
νυν γραφῇ, τὸν Στέφανον στεφανῶσαι παραχωρήσωμεν.
Στέφανος γάρ, φησι, πλήρης χάριτος καὶ δυνάμεως, ἐ-
ποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. Πῶς ἐ-
παινέσω τὸν Στέφανον, ὃν ἡ χάρις τοῖς οἰκείοις δα-
κτύλοις ἐπλέξατο; τί χαρίσωμαι τῷ Στεφάνῳ, πᾶ-
σαν Μαρτύρων κεφαλλὼ στεφανῶντι; τί δυνάμαι προ-

σθῆ-

θῆναι τῷ τῇ χάριτι πεπλεγμένῳ Στεφάνῳ; ποίῳ λόγῳ κοσμήσω τὸν παντὸς φαιδρότερον κόσμου; ποίοις ῥήμασι θαυμάσω τὸν μυρίοις κομῶντα τοῖς θαύμασι; Στέφανος γάρ, φησι, πλήρης χάριτος καὶ δυνάμεως, ἐποίει τέρατα, καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. Χάρις καὶ δυνάμις τῷ Στεφάνῳ τὸν στέφανον ἔπλεκον. Ἐξ ἑκατέρας χειρὸς πρὸς τὸν ἀγῶνα τὸν καλὸν συνετίθετο. Ἡ μὲν πρὸς τὴν πίστιν αὐτὸν, ἡ δὲ πρὸς τὸ μαρτύριον ἥρμοζεν· ἡ μὲν πρὸς τὴν διακονίαν, ἡ δὲ πρὸς τὸν λόγον ὡδήγησεν· ἡ μὲν πρὸς παῤῥησίαν, ἡ δὲ πρὸς ὑπομονὴν διερῤῥύθμισεν· ἡ μὲν πρὸς θαύματα, ἡ δὲ πρὸς κατορθώματα παρεσκεύαζε. Χάρις καὶ δύναμις, ὁμότιμον φύτευμα· χάρις καὶ δύναμις, ὁμόχρονον βλάστημα· χάρις καὶ δυνάμις, ὁμόῤῥιζον κλάδευμα· χάρις καὶ δύναμις, ὁμοδίαιτος συζυγία· χάρις καὶ δύναμις, τὸ δίτυπον τῆς πίστεως μόχθευμα· χάρις καὶ δύναμις, ἡ ὁμόηχος συμφωνία· χάρις καὶ δύναμις, οἱ καλλιβλέφαροι τῆς ὀρθοδοξίας ὀφθαλμοί· χάρις καὶ δύναμις, οἱ δίδυμοι τῆς Ἐκκλησίας μαστοί· χάρις καὶ δύναμις, αἱ ὁμόσκηνοι τῶ Χριστῶ σωματιώτιδες· χάρις καὶ δύναμις, οἱ τῶ Στεφάνω ἄγρυπνοι φύλακες. Στέφανος γάρ, φησι, πλήρης χάριτος καὶ δυνάμεως. Θυμιατήριον τῆς χάριτος ἦν ὁ Στέφανος, τὸ τῆς ἁγιωσύνης περιπνέον θυμίαμα. Πηγὴ ἦν τῆς χάριτος, ἀενάοις ἀρεταῖς πλημμυρῶν τοῖς νάμασι. Νεῖλος ἦν τῆς χάριτος, τῷ τῆς δυσεβείας περιβλύζων ῥεύματι. Ἀθλητὴς ἦν τῆς χάριτος, πρὸς πᾶσαν ἀνταγωνιστῶν ἀντιφερόμενος δυνάμιν. Στρατιώτης ἦν τῆς χάριτος, πρὸς πᾶσαν τῷ ἐναντίων μηχανὴν, τῷ τε θορύβων τὰ παντοῖα, καὶ τὴν ἐπανάστασιν ἐπιφερόμενος. Ἀπαντᾷ τοῖς τοξεύμασι, τοῖς διωγμοῖς ἐμπαρτερῶν, τοῖς θαύμασιν ἐγχορεύων, τὰ πάθη διώκων, τὰς νόσους φυγαδεύων, τὺς δαίμονας ἀπελαύνων, τοῖς πτωχοῖς ὑπηρετῶν, τὺς ἀῤῥώστους παραμυθούμενος, ταῖς χήραις ἐπαμύνων, ὀρφανῶν προϊστάμενος, ἀδικουμένων προασπίζων, τὸ πή-

ρυγμα πλατιῶν, τὴν πίστιν διαγγέλλων, τὸν Σταυρὸν θεολογῶν, τοῖς ἥλοις ἐγκαυχώμενος, τὸν κάλαμον ἐκθειάζων, τὰ δεσμὰ μεγαλύνων, τὴν λόγχην διακηρύττων, τῷ ὑπὲρ τὸ Κόσμου πληγεῖσαν πλευρὰν δίφημῶν, τὸ θανατοκτόνον πάθος προσκυνῶν, τῷ φάτνην προβαλλόμενος, τοῖς σπαργάνοις ἐγγαυρούμενος, τῷ ῥαπίσματι σεμνυνόμενος, τὸ Πιλάτου δικαστήριον ὑπεραιχυνόμενος, τὸν πάφον ὑπερεπικρυπτόμενος, τὴν ἀνάστασιν μεγαλαυχούμενος, Ἰουδαίους ἐλέγχων, γραμματεῖς ἐπιστομίζων, τὸν νόμον ἑρμηνεύων, τοὺς Προφήτας διερευνώμενος, τὰς γραφὰς διανοίγων, λάμποντα τὸν Χριστὸν ἐν αὐταῖς ἐκκαλύπτων, τοῖς σταυρώσασιν ἐπεμβαίνων, τοῖς παρανόμοις ἐπιτιμῶν, τοῖς ἀσεβέσιν ἐναλλόμενος, τοὺς ἀπίστους τῇ πίστει καταγωνιζόμενος, τοῖς πανταχόθεν ἐπιδημοῦσιν Ἰουδαίοις περὶ τοῦ κηρύγματος συμπλεκόμενος. Ἀνέστησαν γάρ τινες ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. Πολλὰ τὰ κύματα, ἀλλ' ἔμπειρος ὁ κυβερνήτης. Πυκναὶ αἱ θύελλαι, ἀλλὰ τὸ σταυροφόρον τὸ πλοῖον. Ἐπάλληλαι αἱ καταιγίδες, ἀλλ' ἡ ζοπὶς, ἄνωθεν ἐσφιγμένη. Οὐ δύνανται τὰ κύματα πρὸς Οὐρανὸν ἀνατεῖναι· οὐ δύνανται πνεῦμα πονηρὸν τῷ ἄνωθεν πνεύματι μάχεσθαι· οὐ δύναται λυθῆναι σκάφος τῇ ζωῇ κυβερνώμενον.

Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας, καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. Καὶ περὶ τίνος ἡ ζήτησις; περὶ τοῦ ἀῤῥήτως κυοφορηθέντος, περὶ τοῦ παρὰ φύσιν τεχθέντος, περὶ τοῦ ὑπὲρ λόγον θηλάσαντος. Πῶς δίχα μίξεως ἡ Παρθένος Μήτηρ ἐγένετο· πῶς μετ' ὠδῖνας πάλιν Παρθένος ηὐρέθη· πῶς ἡ φύσις τῷ

θαύ-

θαύματι παρεχώρησε· πῶς ἐπὶ τῆς Μαρίας τοὺς ἰδίους οὐκ ἐξεζήτησεν ὅρκους· πῶς ὁ ἀχώρητος εἰς βρέφος συνεστέλλετο· πῶς ἔμβρυον λύ, καὶ τὰ παντοχοῦ διέπλαττεν ἔμβρυα· πῶς ἐτίκτετο, καὶ πᾶσι παρεῖχε τὸ τίκτεσθαι· πῶς ἐθήλαζε, καὶ πᾶσι τοῖς θηλάζουσι τὰς πηγὰς ἐχορήγει τῦ γάλακτος. Πόση τῦ νόμυ ἡ τῆς χάριτος ἡ διαφορά· πῶς ὁ μὲν κατακρίνει, ἡ δὲ συγχωρεῖ· ὁ μὲν κολάζει, ἡ δὲ διασώζει· ὁ μὲν ὑπηρετεῖ, ἡ δὲ αὐθεντεῖ· ὁ μὲν τὴν ἁμαρτίαν ἐπιτείβει, ἡ δὲ τὴν ἁμαρτίαν ἐξαφανίζει· ὁ μὲν τὸ ξίφος ἐπιτείνεται, ἡ δὲ τὸ ἔλεος μεταχειρίζεται· ὁ μὲν δημίυ τάξιν ἐπέχει, ἡ δὲ βασιλικῶς ἐξυσιάζει· ὁ μὲν τῷ καταδίκῳ τὸ σωτήριον περιτίθησιν, ἡ δὲ φιλανθρώπῳ δεξιᾷ τὸ τῦ θανάτυ σύμβολον ἀφαιρεῖται. Τοσαῦτα τὰ τῦ Στεφάνυ περὶ τῆς χάριτος θεολογοῦντος πρὸς τὰς Ἰουδαίυς, ἐπισάντες, φησὶν, οἱ θεομάχοι, καὶ συναρπάσαντες αὐτὸν, ἤγαγον εἰς τὸ συνέδριον. Ὅπυ ἁρπαγὴ, ἐκεῖ καὶ Ἰουδαϊκὴ συνδρομή· ὅπυ παραχὴ, ἐκεῖ καὶ ὁ μισόχριστος δῆμος· ὅπυ φόνος ἄδικος μελετᾶται, ἐκεῖ γραμματέων συνέδριον. Τί μαίνεις τὴν καθέδραν Μωϋσέως παράνομε; τί μολύνεις θρόνον, ὃν ὁ νόμος ἐκόσμησεν; Ὁ νόμος Μωϋσέως εἶπεν, ὁ φονεύσεις, ὁ ψευδομαρτυρήσεις· ἢ τοίνυν τήρησον τὸν νόμον, ἢ τούτυ ἀπόστηθι. Ἔστησαν δὲ μάρτυρας ψευδεῖς λέγοντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται λαλῶν ῥήματα βλάσφημα κατὰ τῦ τόπυ τῦ ἁγίου τούτυ καὶ τῦ νόμυ. Ἀκηκόαμεν γὰρ αὐτῦ λέγοντος, ὅτι Ἰησῦς ὁ Ναζωραῖος, οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωσῆς. Πάλιν ἦν ὑπέβαλον ἄνδρας ψευδεῖς λέγοντας· ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ τὸν Θεόν. Νυῦ Μωϋσέα θαυμάζεις, ὦ συκοφάντα; νυῦ ὡς νομοθέτην τιμᾷς, ὃν ζῶντα διέπτυες; νυῦ ὡς βλασφημούμενον ἐκδικεῖς; οὐ πρὸ πάντων κατὰ Μωϋσέως λίθους ἔβαλες; ὁ τῦ Θεῦ λίθυς καὶ ξύλα, καὶ ξόανα

προσε-

προετίμησας ποτε; καὶ νῦν ἵνα ποιήσῃς φόνον, ἀλλάβειαν ἐπαγγέλλῃ; ἵνα ἐκχύσῃς αἷμα ἀθῷον, θεοσέβειαν χηματίζῃ, ὁ καὶ τότε, καὶ νῦν τῷ ἀληθειαν συνταράσσων; ὁ καὶ τότε τολμηρῶς ἐνυβρίζων, καὶ νυῦ ἀνοσίως τιμῶν; ὁ κακῶς ἀγοράζειν αἵματα μελετήσας; ὁ παντοτε ψευδομαρτύρων ἐργαστήριον συγκροτῶν; Ἔστησαν γάρ φησι μάρτυρες ψευδεῖς λαλοῦντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται λαλῶν ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ εἰς τὸν Θεὸν, καὶ κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ νόμου. Ποῖα ῥήματα; ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος· ὅτι Ἰησοῦς ὁ Ναζωραῖος, οὗτος καταλύσει τὸν τόπον τοῦτον. Τί οὖν; ἐὰν φονεύσῃς τὸν Στέφανον, ὁ τόπος οὐ καταλυθήσεται; μᾶλλον οὖν καταλυθήσεται, ὅτι Δεσπότην καὶ θεὸν ἐφόνευσας· ὅτι τῷ ποιμενὶ τὸ πρόβατον συγκατέθυσας· ὅτι τῷ Βασιλεῖ τὸν στρατιώτην συγκατέσφαξας. Οὐ δύναται πόλις ἑστάναι, οὗ θα ὁ Βασιλεὺς κατεσφάγη· οὐκ ἔτι τιμᾶται Ναὸς, οὗ θα δεσποτικὸς φόνος ἐτελέσθη. Μὴ γὰρ Στέφανος ἀπεφήνατο, ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος; μὴ γὰρ Στέφανος εἶπεν, οὐ μὴ μείνῃ ἐν τῷ Ναῷ λίθος ἐπὶ λίθον; Ὦ τοῦ παραδόξου θαύματος! ὦ τοῦ παραλόγου πράγματος! Θεὸς ἀπεφήνατο, καὶ ἄνθρωπος κρίνεται· Χριστὸς κατεψηφίσατο, καὶ Στέφανος δίδωσι δίκας· ὁ Βασιλεὺς ἠλήθευσε, καὶ ὁ στρατιώτης ἀδικεῖται. Σὺ τῆς τοιαύτης ἀποφάσεως αἴτιος εἶ, ὦ Ἰουδαῖε. Ἔπηξας Σταυρὸν, καὶ τὴν Ἱερουσαλὴμ ἀνεμόχλευσαι· εἶπας, τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· δέχου τοίνυν τῷ καταδίκῳ, ᾧ αὐτὸς διώρισας. Ὑπάρχων δέ φησι Στέφανος πλήρης Πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν Οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. Καὶ μοῦ πῶς ὁ Παῦλος καθεζόμενον αὐτὸν λέγει; ἐκάθισε γάρ, φησὶν, ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσυνης τοῦ Θεοῦ ἐν ὑψηλοῖς. Τί οὖν τὸ αἴτιον τοῦ νῦν αὐτὸν ἑστάναι; ποία ἀνάπαυσις ἐκ τῶν πατρικῶν αὐτὸν ἐγείρεσθαι θρόνων; εἶδε

τὸν

τὸν Ἀθλητὴν ἀγωνιζόμενον, καὶ βραβεῦσαι αὐτῷ τὴν νίκην αὐέση. Εἶδε τὸν ἀεροπόρον ταύτην ἐπειγόμενον ἄνω, καὶ τὰς Οὐρανὰς αὐτῷ αὐτὶ λιμένος ἠνέῳξε. Μὴ φοβηθῇς φησιν ὦ Στέφανε· εἶδεί σου τὴν πάλην παραβραβεύσει. Δέξαί σοι βουλόμενος δοῦναι, ἐκ τῶν θρόνων αὐέσιν. Εἰς ἐμὲ τὸν σταυρωθέντα βλέπων, τῆς συμπλοκῆς κατατόλμησον. Ἐκεῖνός εἰμι, ὃν εἶδες ἐν τῷ ξύλῳ κρεμάμενον σαρκί. Τῇ προσηλώσει ἐν αὐτῇ σε βραβεύσω. Ἀγωνοθέτης εἰμὶ, ἀλλὰ γὰρ καὶ Ἀθλητὴς μαρτυρίου γεγένημαι. Ἐπὶ σταυρᾶ ὡς ἐπὶ παλαίστρας ἐπάλαισα. Ἐν τῷ με συλλαβέσθαι, τὸν αὐτίπαλον διάβολον ἔρριξα. Μὴ φοβηθῇς τὰς λιθάζοντας· ἄκοντές σοι κλίμακα πρὸς Οὐρανὸν προστιθέασι. Μὴ φοβηθῇς τοὺς λιθάζοντας· βαθμοί σοι πρὸς Οὐρανὸν οἱ λίθοι γενήσονται. Μὴ φοβηθῇς τοὺς λίθους· τὸν ἀκρογωνιαῖον λίθον ἔνδοθεν περιφέρων Ἰησοῦν Χριστὸν τὸν Θεόν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΙΑ.

Χριστὸς τῷ Κόσμῳ ἐπεφάνη, καὶ τὸν ἄκοσμον Κόσμον κοσμήσας ἐφαίδρυνε. Τλὼ τοῦ Κόσμου ἁμαρτίαν ἀνέλαβε, καὶ τὸν τῷ Κόσμου ἐχθρὸν κατέβαλεν. Ἡγίασεν ὑδάτων πηγὰς, καὶ ἐφώτισε τὰς τῶν ἀνθρώπων ψυχάς. Θαύματα συνεπλάκη μείζονα θαύμασι. Σήμερον γὰρ ἡ γῆ καὶ ἡ θάλασσα τὴν τοῦ Σωτῆρος χαρὰν ἐμερίσαντο, καὶ πᾶς Κόσμος εὐφροσύνης πεπλήρωται, καὶ τῆς προλαβούσης ἑορτῆς ἡ σήμερον ἑορτὴ μείζονα δείκνυσι τῶν θαυμάτων τλὼ αὔξησιν. Καὶ γὰρ ἐν τῇ προλαβούσῃ ἑορτῇ τῶν Γενεθλίων τῷ Σωτῆρος γῆ ἔχαιρεν, ἐν τῇ φάτνῃ τὸν τῶν ἁπάντων Δεσπότην βασάζουσα· ἐν δὲ τῇ σήμερον ἑορτῇ τῶν Θεοφανίων ἡ θάλασσα λίαν εὐφραίνεται. Εὐφραίνεται δὲ ὡς διὰ Ἰορδάνου τὰς τῷ ἁγιασμῷ εὐλογίας μεταλαμβάνουσα. Ἐπὶ τῇ προλαβούσῃ ἑορτῇ ἀτελὲς βρέφος ἐδείκνυτο, τὴν ἡμετέραν ἀτελειότητα δεικνύμενον. Ἐν δὲ τῇ σήμερον ἑορτῇ τέλειος ὁρᾶται, τὸν ἐκ τελείου τέλειον αἰνιττόμενος. Ἐκεῖ τὸν τεχθέντα ἐμύησεν ὁ ἐν τῇ ἀνατολῇ προκύψας ἀστήρ· ἐνταῦθα δὲ τῷ βαπτιζομένῳ μαρτυρεῖ ἄνωθεν ὁ γεννήσας Πατήρ. Ἐκεῖ Μάγοι ἐξ ἀνατολῶν πεζοπορήσαντες, ὡς βασιλεῖ δῶρα προσέφερον· ἐνταῦθα δὲ Ἄγγελοι ἐξ Οὐρανῶν παραγενόμενοι, ὡς Θεῷ τὴν πρέπουσαν διακονίαν προσήνεγκαν. Ἐκεῖ ἐδεσμεῖτο σπαργάνων δεσμοῖν· ἐνταῦθα λύει τὰς τῶν ἁμαρτημάτων σειράς. Ἐκεῖ ὁ Βασιλεὺς τλὺ ἀλυργίδα τῷ Κόσμῳ ἐνεδύετο· ἐνταῦθα ἡ πηγὴ τὸν ποταμὸν ἀμφιέννυται. Δεῦτε οὖν ἴδετε παράδοξα θαύματα, τὸν τῆς δικαιοσύνης Ἥλιον ἐν Ἰορδάνῃ λουόμενον, καὶ πῦρ ἐν ὕδατι βαπτιζόμενον, καὶ ὑπὸ ἀνθρώπου τὸν Θεὸν ἁγιαζό-

ζόμενον. Σήμερον πᾶσα ἡ κτίσις ἀυμνᾶσα βοᾷ· ὁ λογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίε, ὁ καὶ διὰ τῶν κτισμάτων φρονοητικῶς ἐρχόμενος. Οὐρανὸς μὲν ὕψος ἄπτωτον συντηρῶν, Ἡλίε δὲ δρόμες δἰτεχνῶς ἡνιοχῶν, ἀστέρων πλῆθος ἀσυγχύτως ταξιαρχῶν, ἀέρα εἰς ἀναπνοὴν δἰκράτως κιρνῶν, γῆς λαγόνας εἰς καρποφορίαν δἰκράτως πάλιν διαθάλπων, θάλασαν τὴν πολυκύμαντον βραχυτάτῳ χάμμῳ χαλινῶν, πηγὰς ἐκ βυθῶν ἀοράτως ὠθῶν, ποταμῶν ῥεῖθρα ἀπλανῶς ὁδηγῶν. Ταῦτα οὖν πάντα ὁρῶντες, λέγομεν· δἰλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίε. Τίς ἔτος, εἰπὲ φανερῶς ὦ μακάριε Δαβίδ; Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Οὐ μόνον δὲ ὁ Προφήτης λέγει Δαβίδ, ἀλλὰ καὶ Παῦλος ὁ Ἀπόστολος φροσμαρτυρῶν αὐτῷ φθέγγεται. Ἐπεφάνη ἡ χάρις τῦ Θεῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδδύσα ἡμᾶς. Οὐ τισὶν, ἀλλὰ πᾶσι· πᾶσι γὰρ Ἰδδαίοις τε καὶ Ἕλλησι διὰ τῦ βαπτίσματος τὴν σωτηρίαν χαρίζεται, κοινὸν δἰεργέτημα τὸ βάπτισμα φροβαλλόμενος. Δεῦτε ἴδετε ξένον κατακλυσμὸν πολὺ βελτίονα καὶ κρείττονα τῦ ἐπὶ Νῶε θεωρέμενον. Τὴν ἀνθρωπείαν φύσιν ἐκεῖ τὸ ὕδωρ ἐθανάπωσεν· ἐνταῦθα δὲ τὸ ὕδωρ τῦ βαπτίσματος διὰ τῦ βαπτιδθέντος τοὺς θανόντας ἐζωοποίησεν. Ἐκεῖ ὁ Νῶε ἐκ ξύλων ἀσήπτων κιβωτὸν συνεπήξατο· ἐνταῦθα δὲ ὁ Χριστὸς ὁ νοητὸς Νῶε ἐκ τῆς ἀφθόρε Μαρίας τῳ τοῦ σώματος κιβωτὸν κατεσκδάσεν. Ἐκεῖ ὁ Νῶε τῳ κιβωτὸν τῇ ἀσφάλτῳ πίσῃ ἔξωθεν κατέχρισεν· ἐνταῦθα δὲ ὁ Χριστὸς τῇ ἀσφαλείᾳ τῆς πίστεως τῳ τῦ σώματος κιβωτὸν ἐκραταίωσεν. Ἐκεῖ περιστερὰ κάρφος ἐλαίας βασάζουσα τῳ τῦ Δεσπότε Χριστῦ δἰωδίαν ἐμήνυσεν· ἐνταῦθα δὲ τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς παραγενόμενον, τὸν ἐλεήμονα ὑποδείκνυσι Κύριον. Ἀλλ' ἐκπλήττει με τῆς τῦ Κυρίε ταπεινοφροσύνης ἡ ὑπερβολὴ, ὅτι οὐκ ἤρκησε τὸν ἐκ τελείε τέλειον βρέφος τχθῆναι ἐκ γυναικὸς, οὐκ ἤρκησε τὸν σωθρονον τοῦ

Πα-

Πατρὸς ἀναλαβεῖν τὴν τῆ δούλῃ μορφὴν, ἀλλὰ καὶ ὡς ἁμαρτωλὸς προσέρχεται τῷ βαπτίσματι.

Ἀλλὰ μὴ γενέσθω τὸ κοινὸν διέργετμα τῷ ἀκοόντων σκάνδαλον· βαπτίζεται γὰρ ὁ πάντων Δεσπότης Χριστὸς, ὁ καθαρσίου δεόμενος, ἀλλὰ καὶ δύο τρόπους τὸ συμφέρον ἡμῖν οἰκονομῶν, ἵνα καὶ τοῖς ὕδασιν ἁγιασμὸν χάριν δωρήσηται, καὶ πάντα ἄνθρωπον βαπτισθῆναι προτρέψηται. Ἔρχεται γάρ, φησιν, ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. Τί ἦν τὰ τότε τελούμενα, ἀδελφοὶ, ἐνθυμηθῆναι ἀδύνατον. Ὀφθαλμῶν γὰρ ἀνθρωπίνων ἀώτερα ἦν τὰ τελούμενα. Τρέμει ὁ νεὼς· ἡ γλῶσσα φεύγει ἐκ στόματος, μὴ τολμῶσα φράσαι τὰ ἀνέκφραστα. Ὅθεν ἰδὼν ὁ Ἰωάννης τὸν Δεσπότην ἐρχόμενον πρὸς αὐτὸν, ἀγῶνι πολλῷ τινὶ καρδίαν σωσεχόμενος, προσπίπτων καὶ ὑποκαταπλινόμενος, καὶ τῶν ποδῶν αὐτοῦ ἐφαπτόμενος, ἱκετεύων ἐφθέγγετο· τί βιάζῃ ὁ Παντοδυνάμος ἐμὲ τὸν ἀδυνατον ποιῆσαι τὰ ὑπὲρ δυνάμιν; ποιῆσαι ταῦτα οὐ δυνάμαι. Πῶς τολμήσω βαπτίσαι σε; πότε πῦρ ὑπὸ χόρτου καθαίρεται; πότε πηλὸς πλύνει πηγήν; πῶς βαπτίσω τὸν Κτίστην ὁ ὑπόδυνος; πῶς βαπτίσω σε, Δέσποτα; μῶμον ἀ βλέπω ἐν σοί. Τῇ κατάρᾳ τοῦ Ἀδὰμ ἐχ ὑπέπεσες· ἁμαρτίαν ἐκ ἐποίησας. Εἰ γὰρ καὶ κατέβης, ἀλλ' ἔτι παρέβης. Τί ποιεῖς Δέσποτα, φαῦλαί με τὰ ὑπὲρ δυνάμιν βιαζόμενος; ἐδέποτε ἐδεν πρὸς σὴν ἀγανάκτησιν ποιῆσαι ἐτόλμησα· ὡς δῆλος φιλοδέσποτος προλαβὼν τινὶ σὴν παρεσίαν ἐγνώρισα. Ἔτι ὢν ἐν τῇ γαστρὶ, τὴν γλῶτταν τῆς μητρὸς μιθωσάμενος, Θεόν σε τὸ Κόσμῳ ἐκήρυξα. Πάντας πρὸς τὴν σὴν ἀπάντησιν παρεσκεύασα. Εἰπὲ γάρ μοι Δέσποτα, πῶς ὑποίσει ὁ ἥλιος, βλέπων τὸν πάντων Δεσπότην ὑπὸ δούλου τολμηροῦ ὑβριζόμενον, καὶ οὐκ ἐνθέως ὡς τοὺς Σοδομίτας ταῖς ἐμπύροις αὐτοῦ μαρμαρυγαῖς καταφλέξεται; πῶς βαστάσει ἡ γῆ, ὁρῶσα τὸν τῶν Ἀγγέλων ἁγιάζοντα, ὑπὸ ἀνθρώπου ἁμαρ-

τωλοῦ

πολὲ βαπτιζόμενον, καὶ ἀ παραχρῆμα τὸ ἑαυτῆς σόμα ἀνοίξασα, ὡς τὸν Δαθὰν, καὶ Ἀβιρὰν, καταπίοι με; πῶς δὲ βαπτίσω σε Δέσποτα, τοῖς ἐκ γενέσεως μολυσμοῖς ἀ προσομιλήσαντα; ὄξ ἀσπόρε γαστρὸς ἀσπόρως προῆλθε καρπός. Πῶς οὖν ἐγὼ κατάῤῥυπος ἄνθρωπος ἁγνίσω Θεὸν, Θεὸν ἀναμάρτητον; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Βαπτισθήτω με ἀπέσειλας Δέσποτα· ἀ παρήκουσα τοῦ σοῦ προσάγματος. Παῦτας γὰρ προτρεπόμενος εἰς τὸ Βάπτισμα ἔφασκον· ὁμολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Οὐκ ἔστι γὰρ ὁ παραγενόμενος ἀυστηρός. Ἀγαθὸς καὶ ὄξ ἀγαθοῦ γεγέννηται Υἱὸς, οὐ πρὸς ὀλίγον τὸ ἀγαθὸν ἐπιδεικνύμενος, καὶ αὖθις μεταβαλλόμενος, ἀλλ' εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐπειδὴ ἀμέτρητόν ἐστι τὸ ἔλεος αὐτοῦ, διὰ τῦτο αἱ τῶν οὐρανῶν Δυνάμεις ἀὐμνῆσαι αὐτὸν, ἔφασκον, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίε, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Ἐπέφανε τῆς δικαιοσύνης ὁ Ἥλιος, καὶ τὸ σκότος τῆς ἀγνοίας ἐσκέδασεν. Ἐπέφανεν ὁ ποιμὴν ὁ οὐράνιος, καὶ τὰς διαβόλε τὰς λύκας τῆς καλῆς ποίμνης ἀπήλασεν. Ἐπέφανεν ὁ μονογενὴς Υἱὸς τῦ Παῤῥὸς, καὶ διὰ τῦ βαπτίσματος τοῖς πιστοῖς τὴν υἱοθεσίαν ἐχαρίσατο. Ἐπέφανεν ἡ πάντων ζωὴ, καὶ τὸν θάνατον διὰ τῦ θανάτου θανατώσας ὡς ἀθανάτος, ζωῆς ἀθανάτου τὰς θανόντας ἠξίωσεν. Ἀλλὰ τάτων οὕτω τελουμένων, ὁ Πατὴρ ἄνωθεν ἀγαλλόμενος ἐπὶ τῇ τῆς ταπεινοφροσύνης ὑπερβολῇ τῦ Υἱῦ, ἀθρόον διῆξε τὰς πύλας τῦ οὐρανῦ, βροντηδὸν ἐπαφίεσι φωνὴν πεπληρωμένην διαθέσεως πατρικῆς, οὗτός ἐστιν ὁ Υἱός μυ ὁ ἀγαπητὸς, ἐν ᾧ ἠυδόκησα. Καὶ ἵνα μὴ πλάζηται τῶν ἀκουόντων ἡ διάνοια εἴς τε τὸν Βαπτιστὴν, καὶ εἰς τὸν βαπτιζόμενον, ἔρχεται τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς, δακτυλοδεικτῶν τὸν βαπτιζόμενον καὶ μαρτυρέμενον· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τὰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΟ
ΠΑΘΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ.

Φοβερὰ τῆς σημερινῆς παρατάξεως τὰ Μυστήρια· φρικτὰ τῇ καταχθονίᾳ πολέμᾳ τὰ τρόπαια· ἀδιήγητος τοῦ παλαιᾶ τυράννᾳ ἡ ἀθρόα καθαίρεσις· πάσης ἐνθυμήσεως κρείττων ἡ τῇ δι' ἡμᾶς σαρκωθέντος ὑπὲρ ἡμῶν νίκη. Σωπλάκη μὲν γὰρ τῷ θανάτῳ ὡς νεκρὸς, ἐσκύλευσε δὲ τὸν ᾅδην ὡς Θεὸς ἰσχυρὸς καὶ δυνατός. Κύριος ὁ κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ. Ποῖος ἂν λόγος ἐπαξίως δυνατὸς ὑπουργῆσαι τῷ θαύματι; ποία δὲ γλῶσσα λαλήσει καὶ διηγήσεται τὴν φοβερὰν παράταξιν; σήμερον ὁ Προφητικῶν φωνῶν πεπλήρωται σφραγίς. Σήμερον ὁ ᾅδης ἀγνοῶν κατέπιε δηλητήριον. Σήμερον ὁ θανάτος ἐδέξατο τὸν ἀεὶ ζῶντα νεκρόν. Σήμερον ἐλύθη δεσμὰ, ἅπερ ὁ ὄφις ἐν Παραδείσῳ ἐχάλκευσε. Σήμερον οἱ ἐξ αἰῶνος ἠλευθερώθησαν δοῦλοι. Σήμερον ὁ λῃστὴς ἐτυμβορύχησε τὸν πεντακισχιλίοις καὶ πεντακοσίοις ἔτεσιν ὑπὸ φλογίνης ῥομφαίας φρουρούμενον Παράδεισον. Σήμερον τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ὅλον τῷ θανάτῳ τὸν θησαυρὸν ἐκένωσε. Σήμερον βασιλικὴ εἰς τὸ δεσμωτήριον ἐκαινοτομήθη εἴσοδος. Σήμερον πύλας χαλκᾶς συνέθλασεν ὁ καταποθεὶς ὡς ψιλὸς νεκρὸς, καὶ πυρπολήσας ὡς Θεὸς Λόγος. Σήμερον ὁ ἀκρογωνιαῖος λίθος Χριστὸς τὰ τῷ θανάτῳ προγονικὸν θεμέλιον γενόμενον συνεπάραξε, τὸν Ἀδὰμ ἀνέσασε, καὶ τὸν Ἄβελ διέσωσε, καὶ πᾶσαν τῇ ᾅδῃ τὴν οἰκοδομὴν κατέσρεψε· σήμερον καὶ οἱ πρώην θρηνοῦντες, ὃς κατέπιεν ὁ θανάτος ἰχύσας, μετὰ μεγάλης φωνῆς κράζουσι· πῦ σου θανάτε τὸ νῖκος; πῦ σου ᾅδη τὸ κέντρον;

Τί λέγειν πρὸς ταῦτα ὦ Ἰουδαῖε, κωμῳδεῖς τὸν σταυρόν; χλευάζεις τὸ πάθος, γελᾷς τὸν θανάτον; διασύρεις

τὸν

τὸν τάφον; ἀλλὰ βλέπε τὴν νίκην, καὶ φείξον τὸ πάθος τῦ ἐκουσίως παθόντος σαρκὶ, ἀπαθῦς ὄντος τῦ Θεοῦ Λόγυ. Πάντας τὺς δικαίυς μετ' ἐξουσίας κατέπιε, καὶ ὐδεὶς τῶν ὁσίων περιεγένετο θανάτυ. Τὸν Ἄβελ θαυμάζεις; ἀλλὰ θανάτος ἐρρόφησεν αὐτόν· τὸν Νῶέ μοι λέγεις; ἀλλὰ καὶ αὐτὸς εἰς φθορὰν ἐκυβίσησε. Τὸν Ἐνώχ μοι προφέρεις; ἀλλὰ καὶ ὗτος ἔφυγε, καὶ οὐ τὸν νόμον κατήργησε. Τὸν Ἀβραάμ μοι κομπάζεις; ἀλλὰ καὶ τῦτον διέλυσεν ὁ θάνατος. Τὸν Ἰσαὰκ μνημονεύεις; ἀλλὰ πεσὼν ὐκ ἀνέστη. Τὸν Ἰακὼβ προφέρεις; ἀλλὰ κόνις ὁ πατριάρχης. Τὸν Ἰωσὴφ ἐγκαυχᾶσαι; ἀλλ' ἐν γυμνοῖς καὶ ξηροῖς ὀστέοις ἡ μνήμη αὐτῦ. Τὸν Μωϋσέα ἐκθειάζεις; ἀλλ' ὐδὲ τὸν τάφον αὐτοῦ εὑρίσκεις. Πάντας τὺς Προφήτας μοι λέγεις; ἀλλ' ἐννόει τὺς τάφυς, καὶ μὴ κόμπαζε τοῖς λόγοις. Τοσῦτος ἔλαβεν ὁ θάνατος, καὶ πάντας ἐρρόφησεν. Ἕνα δὲ κατέπιε, καὶ κόσμον ὅλον ἀβουλήτως ἐξέμεσε. Βλέπε γὰρ σήμερον τῦ διαβόλυ τὴν κατὰ τῦ ἀνθρώπυ τῦ θανάτυ πονηρίαν. Ὑπηρέτας πρὸς σύλληψιν ὥπλισε, τὸν Ἰούδαν εἰς προδοσίαν ἠγόρασε, τὸν Πέτρον εἰς ἄρνησιν ὑπεσκέλισε, τὸν δοῦλον τῦ Ἀρχιερέως πρὸς ῥάπισμα ἐξέμηνε, τὺς στρατιώτας πρὸς χλεύην ἐξιβάκχευσε, τὸν Πιλάτον πρὸς ἐρώτησιν διήγειρε, τὸν δῆμον πρὸς σασιασμὸν ἐκίνησε, βυλόμενος μαθεῖν, τίς ἦν ὁ Δεσπότης. Ἀλλ' εἰσήκει ὁ βακχεύων θυμὸς φέρων τινὰ τόλμαν, ἵνα λύσῃ τὴν κατάραν. Διὰ τῦτο ὥσπερ ἐπὶ βασιλικοῦ θανάτυ πᾶσα ἡ τῶν πόλεων φαιδρότης φυγαδεύεται, ὅτω σήμερον πᾶσα ἡ κτίσις τινὰ ἑαυτῆς ἠρνήσατο λαμπρότητα. Οὐρανὸς ἐμελανειμόνει τὸ σκότος· ὁ ἥλιος ὥσπερ δοῦλος φιλοδέσποτος ἔφυγε, τὰς ἀκτῖνας συσείλας· τὰ ἄστρα τὴν φυσικὴν συνεπάραττε τάξιν· ὁ ναὸς περιεχίζετο διὰ τὸ πάθος· ἡ γῆ θρηνοῦσα, ὃ βραχίονας ἔτυπτεν, ἀλλὰ πέπλους ἔχιζεν· οἱ Προφῆται πάντες προσιόντες, ἠρώτων τὸν Δεσπότην καὶ ἔλεγον· τί αἱ πληγαὶ αὗται αἱ ἀναμέσοι τῶν χειρῶν σε; πῶς σε τὸ πάθος ἅψασθαι ἐτόλμη-

σε; Θεότητι; ἀλλ' ἀπάλωτος ἡ Θεότης. Ὃ ἔν πάσχει, σαρκὶ πέπονθε. Καὶ πῶς οὐκ ἠδέθησάν σε οἱ σταυρώσαντες, καὶ οὐκ ἐμνήθησαν τῆς εὐεργεσίας σου; Τί ἔν σοὶ αὐτοὺς ὁ Δεσπότης; αὗται αἱ πληγαί, ἃς ἐκὼν ἐπλήγην ἐν τῷ οἴκῳ τῶ ἀγαπητῶ μου. Ἐξ Αἰγύπτου μετῆρα ἄμπελον· ἤρδευσα τῇ παρόδῳ τῆς Θαλάσσης· περιέσκαψα τοῖς φοβήτροις· ἐκλάδευσα Περιτομῇ, ἐχαράκωσα Προφήταις· περιέφραξα νόμῳ· καὶ ἔμεινα τὸ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκανθας, καὶ ἐδικαιοσύνην, ἀλλὰ κραυγήν· καὶ ἐγνώμην ὡς ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος.

Ὦ πάθος κόσμου καθάρσιον! Ὦ θανάτου ἀθανασίας ἀφορμὴ, ζωὴν ἀνατείλουσα! Ὦ κάθοδος ἐν ἅδου, ὧν ἐξ αἰῶνος νεκρωθέντων γέφυρα πρὸς ἀναβίωσιν! Ὦ μεσημβρία τῆς δεινῆς ἐν Παραδείσῳ καταδίκης ἀνάκλησις! Ὦ σταυρὸς δενδρου ἰατρός! Ὦ ἥλοι τὸν Κόσμον τῇ Θεογνωσίᾳ προσηλώσαντες, καὶ θανάτου καταπείραντες! Ὦ ἄκανθαι, τῶ Ἰουδαϊκῶ ἀμπελῶνος οἱ βότρυες. Ὦ χολὴ τῶ τῆς πίστεως μέλιτος πρόξενος καὶ τῆς Ἰουδαίων πονηρίας κατήγορος! Ὦ ὀσόγγος τὴν κοσμικὴν ἁμαρτίαν ἀποσογγίσας, καὶ ἀποσμήξας! Ὦ κάλαμος ἐν ὠσαννοῖς τοὺς πιστὰς πολιτογραφήσας, καὶ ἀρχεκάκου ὄφεως τὴν τυραννίδα σωτείλας! Ὦ Μυστήριον παρὰ ἀπίστοις ἀπιστούμενον, ὑπὸ δὲ πάντων πιστῶν ἀκαταπαύστως προσκυνούμενον! Ὦ σημεῖον παρὰ ἀπίστων ἀντιλεγόμενον, καὶ παρὰ πιστῶν δοξαζόμενον! Ὦ Μυστήριον Ἰουδαίοις μὲν σκάνδαλον, Ἔθνεσι δὲ μωρία, ἡμῖν δὲ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, καθά φησιν ὁ Ἀπόστολος Παῦλος, ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστὶν, ὡς θάνατον καταργῆσαι, καὶ τὸν ἅδην σκυλεῦσαι, καὶ τοὺς ἀπ' αἰῶνος νεκροὺς ζωοποιῆσαι, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ.

Νικάτω καὶ λόγων εὔροιαν τῆς σωτηρίου Πανηγύρεως τὸ θαῦμα. Ἡττάσθω πάσης γλώττης μεγαλιγορία, μὴ φθάσασα ἐπαξίως κηρύξαι τὴν τοῦ σταυρωθέντος ἐνέργειαν. Τί γὰρ τοιοῦτον ἐξ αἰῶνος γέγονεν, οἷον νῦν τῇ πίστει ὁρῶμεν; πότε νοῦς ἐφαντάσθη, ἢ καρδία ἐνεθυμήθη, ἢ ἀνέπλασε διάνοια, ἢ λόγος διηγήσατο, ἢ ὀφθαλμὸς ἐθεάσατο, ἢ ἀκοὴ ἐδέξατο φάσμα τοιοῦτον, οἷον νῦν σαρκωθεὶς Χριστὸς τῷ κόσμῳ ἐδωρήσατο; ὐδέποτε ἥλιος ἐπίδεν ἐπὶ ξύλου κρεμάμενον διάβολον. Οὐδέποτε σαυρὸς ἀπὸ καπάρας ἠγέρασε φύσιν. Οὐδέποτε ῥιάπονται ἀργυρίων κοσμικὸν λύτρον ἐφράθη. Οὐδέποτε πάθος ἀναμαρτήτου, ἁμαρτίας γέγονε χωνευτήριον. Οὐδέποτε ἐπὶ ξύλου ἐκρεμάθη ζωή, ἐν ἀπάτορι σαρκὶ τὸν τύραννον θηκαμβύσασα. Οὐδέποτε μνῆμα, θανάτου πορθητοῦ ἐδέξατο. Οὐδέποτε ὐρανὸς ἐν ἡμέρᾳ μέσῃ σκότος ἐνεδύσατο, ἵνα μὴ ἴδῃ τὸ δρᾶμα, κατὰ θεοῦ μὲν πολεμώμενον, σαρκὸς δὲ ἁπτόμενον. Οὐδέποτε ᾅδης ἔφριξεν, ὃν κατέπιεν. Οὐδέποτε ἡ γῆ ἐκαλωπίσατο ζωοδόχῳ μνήματι, μᾶλλον δὲ μνήματι, ἀλλὰ νυμφῶνι· ὃ δὲ ἐφθάρη ὁ παθεὶς, ἀλλ' ἐνυμφεύσατο καταβάς. Οὐδέποτε ῥισὶ νυχθημέριος φύσις εἰς ἀνάστασιν ἐλοχεύθη. Ὁ δὲ ἐν τῇ γαστρὶ τῆς Παρθένου τὸ ἴδιον αὐτοῦ σῶμα, ὡς οἶδεν, ἑαυτῷ διαπλάσας, αὐτὸς ἐν ῥισὶν ἡμέραις τὴν λύσιν τῆς ψυχῆς αὐτοῦ ὑπὸ τὸ ἰδίου σώματος πάλιν ἑνώσας, τὴν ἑαυτοῦ ἀνάστασιν ἔδειξεν. Ἐκεῖ μὲν ὁ χρόνος πιστοῦται τὸν τόκον, ὅτι ἄνθρωπος· ἐνταῦθα δὲ ὁ τάφος πιστοῦται τὸ κράτος, ὅτι Θεός. Οὐδέποτε Ἀμνὸς ἄρρων ἁμαρτίας κοσμικὰς ἐπετέθη θυσιαστηρίῳ, εἰμὴ ὅτε ὁ Θεὸς δούλου μορφὴν ἀνέλαβε, καὶ ὁ πλάσας τὸν χοῦν, ἀνερμηνεύτως οὗ ἔπλασεν ἐνεδύσατο· οὗ ἡ μὲν σὰρξ ζωὴ τὸ δὲ αἷμα λύτρον, τὸ δὲ πνεῦμα σφραγὶς, ἡ δὲ θεία

φύσις ἄναρχος. Καλῶς ἔλεγεν ὁ μακάριος Παῦλος· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Οὐρανὸς καινὸς, ὃν ὁ καταβὰς τῇ ἀϊδῷ ἠυλόγησε. Γῆ καινὴ, ἣν ὁ ἐν φάτνῃ κατὰ σάρκα τεχθεὶς ἡγίασε. Θάλασσα καινὴ, ἡ μετεωρίσασα ἴχνος, ὅπερ σὰρξ οὐκ ἔστειρεν, ἔτε ἁμαρτία ἐβάρησε. Βίος καινὸς, ὃν πολέμε ἀπήλαξε, καὶ γαλήνης ἐπλήρωσεν. Ἀνθρωπότης καινὴ, λοῦ δι' ὕδατος ἀπέπλυνε, καὶ τῷ πυρὶ τὰ πνεύματος ἐχώνευσε· θρησκεία καινή· ἀκέτι δὲ νίσσα, καὶ περιτομὴ, ἀλλὰ πίστις λαμπρύνεται, ἣ ἐν μιᾷ ἰσίᾳ ξεῖς ὑποσάσεις δοξολογᾶσα λαβρίεται.

Ταῦτα διαγγελιζόμενος ὁ Προφήτης Ἡσαΐας ἔλεγεν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς. Ἐν ποίᾳ ἡμέρᾳ, ὦ Προφήτα; ἐν ᾗ, φησι, πάντα ὑπὲρ φύσιν ὁ Θεὸς, ὡς οἶδεν, ἐργάσεται, ἐκ γυναικὸς σαρκώμενος. Παρθένος ἄρρεν ἀνδρὸς τίκτουσα μυστήριον. Ἄνθρωπος ὁ φιλάνθρωπος γενόμενος καὶ μὴ ξεπόμενος. Θανάτος ἐμῶν, ὃν ἀγνοῶν κατέπιε. Τάφος, θησαυρὸς ζωῆς καὶ ἀναστάσεως. Αἰχμαλωσία, μήτηρ ἐλευθερίας· καὶ τί πολλὰ λέγω; λοιπὸν ὁ Θεὸς Λόγος ἄνθρωπος γενόμενος ἐσταυροῦτο, σαρκὸς μὲν τὸ πάθος, Θεότητος δὲ τὸ κράτος. Ἀλλ' εἰπὲ ἡμῖν, ὦ Προφῆτα, πῶς ἐπιλάμψει ὁ Θεὸς τοῖς ἐπὶ γῆς; ἆρα ἐκτὸς ἀνθρωπότητος; ἆρα ἄρρεν σαρκός; ἄπαγε. Οὐ φέρει τὴν τῆς Θεότητος ἀκτῖνα ἡ ὄψις. Οὐ προσέρχεται διάβολος πρὸς πάλιν· φείττει γὰρ τὸν Κτίσιν ὁ θανάτος, ὁ πολεμῶν καταπιεῖν φύσιν ἀνώλεθρον. Τρέμει ὁ ᾅδης Θεὸν, σαρκὸς γεγυμνωμένον. Ὃν γὰρ ὁ προσβλέπει τὰ Χερουβὶμ, τῶτον δέδοικε καὶ ᾅδης. Ἀλλὰ χρεία καλύμματος τῇ θείᾳ φύσει, ἵνα ἐκείνην καλύπτοντος, ἀλλὰ ἡμετέραν ὕβριν καταπρύπτοντος, ὁ Μωσαϊκᾶ καλύμματος (ἀγνωσία δὲ καὶ ὁμίχλη) ὁ ποικίλος καταπετάσματος (χρωμάτων δὲ τὸ ἄνθος) οὐχ ἱλαστηρίε κεχρυσωμένε (ὕλης δὲ τὸ κάλλος) οὐ χειροποιήτων Χερουβὶμ (τέχνης δὲ

τὸ

τὸ θαῦμα) ἀλλὰ χεῖρα μορφῆς προβάτου, ἵνα δελεάσῃ τὸν ἀνθρωποβόρον λύκον. Ἀλλ' οὗτος ἐπιπνοᾷ τοῖς λόγοις Ἰσδαῖος, καὶ κωμῳδεῖ τὴν τῶ Προφήτου μεγαληγορίαν, ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ μαχόμενος. Καὶ τί φησιν, ἐγὼ πιστεύω, ὅτι ὁ Θεὸς ἐπὶ τῆς γῆς ἐπεφάνη, ἢ ἀνθρώπου ὄψις ἐμόρφωσε τὸν ἀχειμάτιστον. Ἀλλ' ὦ Ἰσδαῖε, εἰ καὶ νόμου παραβάτης, καὶ Προφήτας παραλογίζῃ, καὶ Εὐαγγέλια διαπτύῃς, καὶ Ἀποστόλους παραβλέπῃς, ἐρωτήσωμεν τὰ στοιχεῖα, καὶ ἴδωμεν τίνα ὁμολογεῖ τὸν σαρκὶ παθόντα Δεσπότην· καὶ ὡς δεῖ, πρῶτον ἐρωτήσωμεν τὸν ἥλιον. Εἰπὲ ἔν ἡμῖν ἥλιε, διατί συνέσειλας τὰς ἀκτῖνας, σαυρωμένου τοῦ Δεσπότου; ὅτι φιλὸς ἄνθρωπος ὁ σαυρούμενος; οὐκοῦν ὤφειλες τοῦτο ποιῆσαι καὶ ἐπὶ τοῦ δικαίου Ἄβελ σφαγιασθέντος. Ἐρωτήσωμεν καὶ τὸν οὐρανόν. Εἰπὲ ἡμῖν ὦ οὐρανέ, διατί σκότος ἐνέδυσας ἐν σαθρᾷ μεσημβρίᾳ, ὅτι Ἰουδαῖοι τῷ δεσποτικῷ πλευρὰν ἐξεκέντησαν; ὅτι φιλὸς ἄνθρωπος ὁ σαυρούμενος; διατί οὐ μὴ ἐθρηνήσας καὶ ἐπὶ τοῦ δικαίου Ναβουθαὶ λιθαζομένου; Ἐρωτήσωμεν καὶ τὴν γῆν. Εἰπὲ ἡμῖν γῆ, διατί ἐζόμασας, ὅτε οἱ θεομάχοι ταῦτα ἐτόλμων; ὅτι φιλὸς ἄνθρωπος ὁ σαυρούμενος; πῶς ἔν σε οὐκ ἐζόμασας, βλέπουσα τὸν Ἡσαΐαν ὑπὸ τοῦ Μανασσῆ ξυλίνῳ πρίονι τριόμενον; Ἀλλ' ἐρωτήσωμεν καὶ τὸν Ναόν. Εἰπὲ ἡμῖν ὦ Ναὲ, διατί ἔσχισας τὸ καταπέτασμα, τοῦ Χριστοῦ σαυρουμένου; ὅτι φιλὸς ἄνθρωπος ὁ σαυρούμενος; πῶς ἔν σε περιέσχισας, ὅτε τὸ αἷμα Ζαχαρίου ἐν μέσῳ σου ἐξεχεῖτο; Ἀποκείνεται αὐτοῖς φωνῆς πᾶσα ἡ κτίσις λέγουσα· ἐπηρύξαμεν τῷ πείθει τὸν Δεσπότην, οὐχ ὁμοδούλου πάθος ἐθρηνήσαμεν, ἀλλὰ Δεσπότου ὕβριν ἐφείξαμεν. Βοᾷ ὁ οὐρανός· Θεὸς ἦν ὁ ἐνανθρωπήσας, καὶ σαρκὶ σαρωθεὶς, ὃς ἐμοὶ ὡς Θεὸς ἔκλινε, καὶ κατῆλθε. Βοᾷ ὁ ἥλιος· Δεσπότης μου ἦν, ὁ σαρκὶ σαυρωθείς. Ἐγὼ δὲ τὸ φῶς τῆς Θεότητος αὐτοῦ φοβηθεὶς, συνέσειλα τὰς ἀκτῖνας. Βοᾷ ἡ γῆ· Δημιουργὸς ἦν σαρκοφορῶν ὁ σαρκὶ

κὶ σαυρωθείς. Εἰ δὲ καὶ τὴν σάρκα ἐν φάτνῃ ἠγκαλισάμην, ἀλλὰ τὸ κράτος αὐτοῦ ἐ περιέχραψα. Βοᾷ καὶ ἡ θάλασσα· ἐκ ἐμοὶ ὁμοδούλος μὲ ὁ σαρκὶ σαυρωθείς. Ἴχνος μὲν δὲ τὲ ὁμοδούλε Πέτρε βαρεῖ μὲ τὰ νῶτα, πόδες δὲ Δεσπότου ἁγιάζουσί μου τὴν φύσιν. Βοᾷ καὶ ὁ Ναός· ὁ πάλαι ἐν ἐμοὶ θρησκευόμενος Θεὸς, ἔπος ἐμοὶ ὁ σαρκὶ ὑβριζόμενος. Διόπερ μὴ φέρων τὴν τόλμαν, διέῤῥηξα τὴν ἐσθῆτα. Βοᾷ καὶ ὁ ᾅδης· οὐκ ἐμοὶ φιλὸς ἄνθρωπος ὁ ὧδε καταβάς. Οἶδα τί πέπονθα. Ὃν δὲ ἐδεξάμην ὡς αἰχμάλωτον, εὗρον ὡς Θεὸν παντοδυνάμον· Ἀλλ' ἀπιστεῖς τοῖς στοιχείοις; ἐρωτήσωμεν καὶ τὰς ἐπουρανίας Δυνάμεις. Εἴπατε ἡμῖν Ἄγγελοι, Ἀρχάγγελοι, καὶ πᾶσαι τῶν οὐρανῶν αἱ Δυνάμεις, τίς ἐστιν ὁ ἐπὶ γῆς φανεὶς, καὶ σαρκὶ σαυρωθείς; καὶ ἀποκριθήσονται πᾶσαι διὰ τὸ Προφήτου Δαβὶδ βοῶσαι· Κύριος ὁ Θεὸς τῶν Δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΓΚΩΜΙΟΝ
ΕΙΣ ΤΗΝ ΠΑΝΑΓΙΑΝ
ΘΕΟΤΟΚΟΝ ΜΑΡΙΑΝ.

Παρθενικὴ πανήγυρις σήμερον τὴν γλῶτταν ἡμῶν, ἀδελφοὶ, πρὸς ὑφημίαν καλεῖ, καὶ ἡ παροῦσα ἑορτὴ τοῖς συνελθοῦσιν ὠφελείας γίνεται πρόξενος. Καὶ μάλα εἰκότως· ἁγνείας γὰρ ἔχει ὑπόθεσιν, καὶ τὸ κοινὸν γένος τῶν γυναικῶν καύχημα τὸ τελούμενον, καὶ δόξα τοῦ θήλεος διὰ τὴν ἐν καιρῷ Μητέρα καὶ Παρθένον. Ἐπέρασος αὕτη καὶ ἐξαίσιος ἡ σύνοδος. Ἰδοὺ γὰρ γῆ καὶ θάλαττα δωροφορεῖ τῇ Παρθένῳ. Ἡ μὲν τὰ νῶτα αὐτῆς ταῖς ὁλκάσι γαλλιωῶς ὑφαπλώσασα· ἡ δὲ τὰ ἴχνη τῷ βαδίζοντων ἀκωλύτως παραπέμψασα. Σκιρτάτω ἡ φύσις, καὶ ἀγαλλιάσθω τὸ γένος τῶν ἀνθρώπων, ὅτι καὶ γυναῖκες τιμῶνται. Χορευέτω ἡ ἀνθρωπότης, ὅτι καὶ παρθένοι δοξάζονται· ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· Συνεκάλεσε γὰρ ἡμᾶς νῦν ἐνταῦθα ἡ ἁγία Θεοτόκος Παρθένος Μαρία, τὸ ἀμόλυντον τῆς παρθενίας κειμήλιον, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ Παράδεισος, τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν δύο φύσεων. Ἡ πανήγυρις τοῦ σωτηρίου σπλάγχνου, ἡ πασὰς, ἐν ᾗ ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα, ἡ ἔμψυχος τῆς φύσεως βάτος, ἣν τὸ τῆς θείας ὠδῖνος πῦρ οὐ κατέκαυσεν, ἡ ὄντως κούφη νεφέλη, ἡ τὸν ἐπὶ τῶν Χερουβὶμ μετὰ σώματος βασάσασα, ὁ τοῦ ἐξ Οὐρανοῦ ὑετοῦ καθαρώτατος πόκος, ἐξ οὗ ὁ ποιμὴν τὸ προβατον ἐνεδύσατο. Μαρία ἡ δέλτη καὶ Μήτηρ, ἡ Παρθένος καὶ Οὐρανὸς, ἡ μόνη Θεοῦ πρὸς ἀνθρώπους γέφυρα, ὁ φειδὼς τῆς οἰκονομίας ἰσὸς, ἐν ᾧ ἀρρήτως ὑφάνθη ὁ τῆς σωτηρίας χιτών· ὅπερ ἰσουργὸς μὲν, τὸ Πνεῦμα τὸ Ἅγιον· ἔριθος δὲ, ἡ ἐξ ὕψους ἐπισκιάσα-

σα δυνάμις· ἔνιον δὲ, τὸ ἀρχαῖον τῦ Ἀδὰμ κῴδιον· κρόκης δὲ, ἡ τῆς Παρθένυ ἀμόλυντος σάρξ· κερκὶς δὲ, ἡ ἀμέριστος τοῦ φορέσαντος χάρις· τεχνίτης δὲ, ὁ δι' ἀκοῆς εἰσοικήσας Λόγος· Τίς εἶδε, τίς ἤκυσεν, ὅτι μήτηρ ὁ Θεὸς ἀπειρογάμως ὠκύησε, καὶ ὃν Οὐρανὸς οὐκ ἐχώρησεν, ἡ γαστὴρ οὐκ ἐσενοχώρησεν, ἀλλ' ἐγεννήθη ἐκ γυναικὸς Θεὸς οὐ γυμνὸς, οὐ ἄνθρωπος ἀ φιλός; καὶ πύλῃ σωτηρίας ὁ τεχθεὶς, τῇ πάλαι τῆς ἁμαρτίας ἔδειξε θύρας· ὅπυ γὰ ὁ ὄφις διὰ τῆς παρακοῆς τὸν ἰὸν ἐξέχεεν, ἐκεῖθεν ὁ Λόγος διὰ τῆς ὑπακοῆς εἰσελθὼν, τὸν Ναὸν ἐζωοπλάστησεν. Ὅθεν ὁ πρῶτος τῆς ἁμαρτίας Καΐν προέκυψεν, ἐκεῖθεν ὁ τοῦ γένυς λυτρωτὴς Χριστὸς ἀοράτως ἐβλάστησεν· οὐκ ἐπαισχύθη ὁ φιλάνθρωπος τῇ ἐκ γυναικὸς ὠδῖνα, ζωὴ γὰ ἦν τὸ πραγματευόμενον, οὐκ ἐμολύνθη οἰκήσας μήτραν, ᾗ περ αὐτὸς ἀϋβρίστως ἐδημιούργησεν· εἰμὴ γὰ Παρθένος ἔμεινεν ἡ μήτηρ, φιλὸς ἄνθρωπος ὁ τεχθεὶς, ἀλλ' οὐ παράδοξος ὁ τόκος. Εἰ δὲ μὴ μετὰ τόκον ἔμεινε Παρθένος, πῶς οὐχὶ καὶ Θεὸς, ἀλλὰ τὸ μυστήριον ἄφρασον; Ἐκεῖνος ἀφράστως ἐγεννήθη, ὁ μὴ τῶν θυρῶν κεκλεισμένων εἰσελθὼν ἀκωλύτως, ἅ τὴν συζυγίαν τῶν φύσεων ἰδὼν ὁ Θωμᾶς ἀνεκραύγει λέγων· ὁ Κύριός μυ, καὶ ὁ Θεός μου. Μὴ ἐπαισχυνθῇς τῇ ὠδῖνα, ὦ ἄνθρωπε. Αὕτη γὰρ ἡμῖν γέγονε σωτηρίας ἀφορμή. Εἰ μὴ γὰ ἐκ γυναικὸς ἐγεννήθη, οὐκ ἂν ἀπέθανεν. Εἰμὴ ἀπέθανεν, οὐκ ἂν διὰ τῦ θανάτυ αὐτῦ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτυ, τυτέστι τὸν Διάβολον· οὐχ ὕβρις ἀρχιτέκτονι, μεῖναι ἐν οἷς αὐτὸς ᾠκοδόμησεν. Οὐ μιαίνει πηλὸς τὸν κεραμέα, ἀνακαινίζοντα ὅπερ ἔπλασε σκεῦος· ὕπως οὐδὲ μιαίνει τὸν ἄχραντον Θεὸν τὸ ἐκ παρθενικῆς γαστρὸς προελθεῖν. Ἦν γὰρ πλάστων οὐκ ἐμολύνθη, διὰ ταύτης προελθὼν οὐκ ἐμιάνθη. Ὦ γαστὴρ, ἐν ᾗ τὸ τῆς ἐλευθερίας ἡμῶν γραμματεῖον συνεπάγη! Ὦ κοιλία, ἐν ᾗ τὸ κατὰ τῦ Διαβόλυ ὅπλον ἐχαλκεύθη! Ὦ ἄρυρα, ἐν ᾗ ὁ τῆς φύ-

σεως

σεως γεωργὸς τὸν ἄσπαχυν ἀσπόρως ἐβλάστησεν! Ὦ Ναὸς, ἐν ᾧ Θεὸς γέγονεν Ἱερεὺς, ὁ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τὸν κατὰ τάξιν τὸν Μελχισεδέκ δι' οἶκτον ἐνδυσάμενος. Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ Ἰουδαῖοι ἀπιστοῦσιν. Ὁ Θεὸς μορφὴν ἀνθρώπου ἐφόρεσεν ἀληθῶς, καὶ Ἕλληνες κωμῳδοῦσι τὸ θαῦμα. Διὰ γὰρ τοῦτο Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, ὁ Παῦλος ἐβόα· τοῦ γὰρ Μυστηρίου τὴν δύναμιν οὐκ ἔγνωσαν, ἐπειδὴ ὑπὲρ λόγον τὸ θαῦμα. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Εἰμὴ γὰρ ὁ Λόγος ᾤκησε γαστέρα, οὐκ ἂν ἐκαθέδη ἡ σὰρξ ἐπὶ τοῦ ἁγίου θρόνου. Εἰ τῷ Θεῷ ὕβρις εἰς μήτραν, ᾧ ἔπλασεν, ἐλθεῖν, ἄρα καὶ τὸ τοῖς ἀνθρώποις διακονεῖν· καὶ εἰ τῷ Θεῷ ὕβρις τοῖς ἀνθρώποις διακονεῖν, οὐκ ἂν δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν· ὢν καὶ φύσιν ἀπαθὴς, γέγονε δι' οἶκτον πολυπαθὴς, οὐκ ἐκ προκοπῆς γέγονε Θεὸς, ὁ Χριστὸς, μὴ γένοιτο· ἀλλὰ Θεὸς ὢν, δι' οἶκτον γέγονεν ἄνθρωπος, ὡς πιστεύομεν. Οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ Θεὸν σαρκωθέντα ὁμολογοῦμεν. Τὴν οἰκείαν βέλην, ἐπεχείρησατο μητέρα ὁ κατ' οὐσίαν ἀμήτωρ, καὶ κατ' οἰκονομίαν ἐπὶ γῆς ἀπάτωρ· ἐπεὶ πῶς ὁ αὐτὸς κατὰ Παῦλον ἀμήτωρ, καὶ ἀπάτωρ; Εἰ φιλὸς ἄνθρωπος, οὐκ ἀμήτωρ· ἔχει γὰρ μητέρα. Εἰ γυμνὸς Θεὸς, οὐκ ἀπάτωρ· ἔχει γὰρ πατέρα· νῦν δὲ ὁ αὐτὸς ἀμήτωρ μὲν ὡς πλάσης, ἀπάτωρ δὲ ὡς ἄνθρωπος. Αἰδέσθητι, ὦ ἄνθρωπε, καὶ τὴν τοῦ Ἀρχαγγέλου προσηγορίαν· ὁ τῇ Μαρίᾳ διαγγελισάμενος Γαβριὴλ ἐλέγετο. Τί δὲ ἑρμηνεύεται Γαβριήλ; μάθε ἀκούσας, ὅτι Θεὸς καὶ ἄνθρωπος. Ἐπεὶ γὰρ ὁ παρ' αὐτοῦ διαγγελισάμενος Θεός ἐστι καὶ ἄνθρωπος, προέλαβεν ἡ προσηγορία τὸ θαῦμα, ἵνα πιστώσηται τὴν οἰκονομίαν. Μάθε πρῶτον τὴν οἰκονομίαν καὶ τὴν αἰτίαν τῆς παρουσίας, καὶ τότε δόξασον τὴν δυνάμιν τοῦ σαρκωθέντος. Ἐπειδὴ πολλὰ ὤφειλεν ἐξ ἁμαρτιῶν ἡ τῶν ἀνθρώπων φύσις, καὶ ὑπόκειται πρὸς τὸ χρέος, διὰ γὰρ

τῶ Ἀδὰμ πάντες τῇ ἁμαρτίᾳ ἐχειρογραφήσαμεν, δέλους ἡμᾶς κατεῖχεν ὁ διάβολος· τὰς ψυχὰς ἡμῶν περιέφερε, χάρτῃ κεχρημένος τῷ πολυπαθεῖ ἡμῶν σώματι. Εἰσήκει ὁ κακὸς τῆς παθῶν πλασογράφος, ἐπισείων ἡμῶν τὸ χρέος, καὶ ἀπαιτῶν ἡμᾶς τὸν δίκαιον· ἔδει τοίνυν δυοῖν θάτερον, ἢ πᾶσιν ἐπαχθῶαι τὸν ἐκ τῆς καταδίκης θάνατον, ἐπειδὴ καὶ πάντες ἥμαρτον, ἢ τοιοῦτον δοθῶαι πρὸς ἀντίδοσιν τίμημα, ὃ πᾶν τῷ χρέει ὑπῆρχε δικαίωμα πρὸς παραίτησιν. Ἄνθρωπος μὲν σῶσαι οὐκ ἠδύνατο, ὑπέκειτο γὰρ χρέει τῆς ἁμαρτίας. Ἄγγελος δὲ ἐξαγοράσαθαι τὸν ἀνθρωπότητα οὐκ ἴσχυεν, ἀπόρει γὰρ τοῦ τοιούτου λύτρου. Λοιπὸν ἦν ὁ ἀναμάρτητος Θεὸς ὑπὲρ τῆς ἡμαρτηκότων ἀποθανεῖν ὤφειλεν· αὕτη γὰρ ἐλείπετο τοῦ κακοῦ λύσις. Τί οὖν; αὐτὸς ὁ πᾶσαν φύσιν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, ᾧ μηδὲν πρὸς παροχὴν ἄπορον, ἐξεῦρε τοῖς καταχθονίοις ζωὴν ἀσφαλεστάτην, καὶ τῷ θανάτῳ λύσιν διαφερεστάτην· καὶ γίνεται ἄνθρωπος ἐκ Παρθένου, ὡς οἶδεν αὐτός· λόγος γὰρ ἑρμηνεῦσαι τὸ θαῦμα οὐ δύναται· καὶ ἀποθνήσκει ὃ ἐγένετο, καὶ λυτροῦται ὃ ὑπῆρχε κατὰ τὸν λέγοντα Παῦλον· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν παραπτωμάτων.

Ὦ τῆς μεγάλων θραυμάτων! ἄλλοις ἐθραυματούργησατο τὸ ἀθανάτον, αὐτὸς μόνος ὑπάρχων ἀθάνατος. Τοιοῦτος γὰρ κατ' οἰκονομίαν οὔτε γέγονεν, οὔτε ἐστὶν, οὔτε ἔσται ποτὲ, ἢ μόνος ὁ ἐκ Παρθένου τεχθεὶς Θεὸς καὶ ἄνθρωπος· ὃς ἀντιπαλαυτάσασαν μόνον ἔχων τὴν ἀξίαν τῷ πλήθει τῆς ὑποδίκων, ἀλλὰ καὶ πάσαις ψήφοις ὑπερέχουσαν, ἐν μὲν τῷ υἱὸς εἶναι, τὸ ἀπαράλλακτον σώζων πρὸς τὸν Πατέρα, ἐν δὲ τῷ δημιουργὸς, τὸ τῆς δυνάμεως ἀπροσδεὲς ἔχων, ἐν δὲ τῷ φιλοικτίρμων, τὸ εἰς συμπάθειαν ἀνυπέρβλητον δημοσιεύων, ἐν δὲ τῷ Ἀρχιερεὺς, τὸ εἰς παράσασιν ἀξιόπιστον φέρων· οἷς οὐδὲν εὕροιτις ἂν ἐπ' οὐδενὶ ἴσον, ἢ ἀπαράλ-

λακ-

λαμτον. Ὅρα γὰρ αὐτὸ τὴν φιλανθρωπίαν· ἐκὼν καταπριθεὶς, τὸν κατὰ τῆς σαυρωσάντων αὐτὸν ἔλυσε θάνατον, καὶ ἀπέστρεψε τιὰ τῆς σαυρωσάντων αὐτὸν ἀνομίαν εἰς τιὰ τῆς ἀνομησάντων σωτηρίαν. Ἀνθρώπου τοίνυν φιλὸς σῶσαι ἐκ λιῶ· καὶ γὰρ καὶ αὐτὸς ἐδεῖτο τοῦ σώζοντος καὶ Παῦλον τὸν λέγοντα· ὅτι πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τὰ Θεὰ. Ἐπειδὴ ἂν ἡ ἁμαρτία τῷ διαβόλῳ προσῆγε τὸν αὐτῆς ὑπόδυνον, ὁ διάβολος τῷ θανάτῳ τὸν προσεπόμπευε. Τοιγάρτοι ἐν μεγίστῳ κινδύνῳ τὰ καθ' ἡμᾶς προῆγε, καὶ ἐν ἀπόροις ἦν ἡ λύσις τὰ θανάτα. Τί ἂν; ὡς εἶδον οἱ Προφῆται μεῖζον τέχνης ἀνθρωπίνης τὸ βάθμα, τὸν ἐξ Οὐρανὰ ἐπεβόων ἰαβέν. Καὶ ὁ μὲν ἔλεγεν· κλῖνον Οὐρανὲς καὶ κατάβηθι. Ἄλλος· ἴασαί με Κύριε, καὶ ἰαθήσομαι. ἕτερος· ἐξέγειρον τιὰ δυνασείαν σα, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ἄλλος· εἰ οὕτως οἰκήσει Θεὸς μετ' ἀνθρώπων; ἄλλος· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σα Κύριε, ὅτι ἐπτωχάσαμεν σφόδρα. Ἕτερος· οἴ μοι, ὅτι ἀπώλοσν ἀλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. Ἄλλος· ὁ Θεὸς εἰς τιὰ βοήθειάν μα πρόσχες, καὶ εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Ἄλλος· ὅσον ὅσον ὁ ἀρχόμενος ἥξει καὶ ὁ χρονιεῖ. Ἄλλος· ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δᾶλόν σα τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἄλλος· ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Οὐ παρεῖδε τὴν φύσιν τιὰ ἀνθρωπίνην ἐπὶ πολὺ τυραννεμένην ὁ φύσει Βασιλεὺς ὑπάρχων. Οὐκ ἀφῆκεν εἰς τέλος εἶναι τῷ διαβόλῳ ὑπόδυσιον, ὁ φιλοικτίρμων Θεός· ἀλλ' ἦλθεν ὁ ἀεὶ παρὼν, καὶ κατέβαλε λύτρον ὑπὲρ ἡμῶν τὸ ἴδιον αἷμα, καὶ ἔδωκεν ὑπὲρ τᾶ γένους ἀντάλαγμα τῷ θανάτῳ, ὃν ἐκ Παρθένα ἐφόρεσε σάρκα, καὶ ἐξηγοράσατο τὸν κόσμον, ἐκ τῆς τᾶ νόμα κατάρας, θανάτῳ τὸν θάνατον καταργήσας. Καὶ βοᾷ Παῦλος· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμα. Ὁ τοίνυν ἀγοράσας

σας

σας ἡμᾶς, οὐ φιλὸς ἄνθρωπος, ὦ Ἰουδαῖε· ἡ δὲ τῷ ἀνθρώπων ἅπασα φύσις τῇ ἁμαρτίᾳ δεδούλωται· ἀλλ' ἔτε μὴν γυμνὸς ἀνθρωπότητος Θεός· σῶμα γὰρ εἶχεν ὦ Μανιχαῖε. Εἰ μὴ γὰρ ἐνεδύσατο ἐμέ, οὐκ ἂν ἔσωσεν ἐμέ· ἀλλ' ἐν τῇ γαστρὶ τῆς Παρθένου ὁ ἀποφηνάμενος τὸν καπάδικον ἐνεδύσατο, καὶ ἐκεῖ τὸ φειδὸν γέγονε συνάλλαγμα· δὸς γὰρ πνεῦμα, ἔλαβε σάρκα, ὁ αὐτὸς μετὰ τῆς Παρθένου καὶ ἐκ τῆς Παρθένου. Ὁ μὲν γὰρ ἐπεσκίασεν αὐτῷ, ὁ δὲ ἐσαρκώθη ἐξ αὐτῆς. Εἷς ἄλλος ὁ Χριστὸς, καὶ ἄλλος ὁ Θεὸς Λόγος, οὐκ ἔστι Τριὰς ἡ Ἁγία Τριὰς, ἀλλὰ κακὴ σὺ αἱρετικὲ, τεθράς. Μὴ χίσῃς τὸν τῆς οἰκονομίας χιτῶνα τὸν ἄνωθεν ὑφαντόν· μὴ μαθητεύσῃς Ἀρείῳ, ἐκεῖνος γὰρ ἀσεβῶν, τῷ οὐσίαν τέμνει. Σὺ τῷ συνάφειαν μὴ μέριζε, ἵνα μὴ μερισθῇς ἀπὸ Θεοῦ. Τίς ἐπέφανεν, εἰπέ μοι, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις; ἄνθρωπος; κακὸν πῶς ἠδυνάτο ἐν σκότει διάγων, κατὰ Παῦλον τὸν λέγοντα· ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους; ἦμεν γάρ ποτε σκότος, κακὸν τὸ γεγραμμένον, νῦν δὲ, φῶς ἐν Κυρίῳ. Τίς ἦν ἐπέφανεν ἡμῖν; Δαβίδ σε διδάσκει, λέγων, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Τίς οὗτος; εἰπὲ φανερῶς ὦ Δαβίδ, ἀναβόησον τῇ ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου· εἰπὲ τίς οὗτος; Κύριός, φησι, τῶν Δυνάμεων· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Ὁ γὰρ Λόγος σὰρξ ἐγένετο· συνῆλθον αἱ φύσεις, καὶ ἀσύγχυτος ἔμεινεν ἡ σύνωσις. Ἦλθε σῶσαι, ἀλλ' ἐχρῆν καὶ παθεῖν· πῶς γὰρ ἦν δυνατὸν ἑκάτερα γενέσθαι; ἄνθρωπος φιλὸς σῶσαι οὐκ ἴσχυε· Θεὸς γυμνὸς παθεῖν οὐκ ἠδύνατο. Τί οὖν; αὐτὸς Θεὸς ὢν Ἐμμανουὴλ, γέγονεν ἄνθρωπος, καὶ ὃ μὲν ἦν, ἔσωσεν, ὃ δὲ γέγονεν, ἔπαθε. Διὰ τοῦτο ὡς εἶδεν ἡ Ἐκκλησία στεφανώσασαν αὐτὸν τῇ συναγωγῇ ταῖς ἀκάνθαις, θρηνῳδοῦσα τῷ πόλαι ἔλεγε· θυγατέρες Ἱερουσαλὴμ, ἐξέλθετε, καὶ ἴδετε τὸν στέφανον, ᾧ ἐστεφάνω-

σεν

σεν αὐτὸ ἡ μήτηρ αὐτοῦ· αὐτὸς γὰρ καὶ τὸν ἀκανθινον ἐφόρησε στέφανον, καὶ τῷ τῆς ἀκανθῶν ἔλυσεν ἀπόφασιν. Ὁ αὐτὸς ἐν τοῖς κόλποις τοῦ Πατρὸς, καὶ ἐν γαστρὶ τῆς Παρθένου. Ὁ αὐτὸς ἐν ἀγκάλαις Μητρὸς, καὶ ἐπὶ πτερύγων ἀνέμων. Ὁ αὐτὸς ἄνω ὑπὸ Ἀγγέλων προσεκυνεῖτο, καὶ κάτω Τελώναις συνανεκλίνετο. Τὰ Σεραφὶμ δὲ προσέβλεπε, καὶ Πιλάτος ἠρώτα· ὁ δοῦλος ἐρράπιζε, καὶ ἡ κτίσις ἔφριασεν. Ἐπὶ Σταυροῦ ὁ αὐτὸς ἐπήγνυτο, καὶ τῆς δόξης αὐτοῦ οὐκ ἐγυμνοῦτο. Ἐν τάφῳ κατεκλείετο, καὶ τὸν Οὐρανὸν ἐξέτεινεν ὡσεὶ δέρριν. Ἐν νεκροῖς ἐλογίζετο, καὶ τὸν ᾅδην ἐσκύλευσε. Ὡδε πλάνος ἐσυκοφαντεῖτο, καὶ ἐκεῖ Ἅγιος ἐδοξολογεῖτο. Ὦ τοῦ Μυστηρίου! βλέπω τὰ θαύματα, καὶ ἀνακηρύττω τὴν Θεότητα· ὁρῶ τὰ πάθη, καὶ οὐκ ἀπαρνοῦμαι τὴν ἀνθρωπότητα. Ἀλλ' ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέῳξε, παρθενίας δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς Θεός· ἀλλ' ὅπως οὐκ μήτρας προῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν· ὅπως ἐτέχθη, ὡς σωσελήφθη· ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν Ἰεζεκιὴλ λέγοντα· ἐπέστρεψέ με, φησὶ, Κύριος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με, υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται· οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ἀλλ' ἢ Κύριος ὁ Θεὸς Ἰσραὴλ· αὐτὸς εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ Πύλη κεκλεισμένη· ἰδοὺ ἀπόδειξις ἐναργὴς τῆς Ἁγίας Θεοτόκου Μαρίας. Λυέσθω τοίνυν ἀντιλογία πᾶσα, καὶ τῇ τῶν γραφῶν καταφωτιζώμεθα γνώσει, ἵνα καὶ Βασιλείας Οὐρανῶν τύχωμεν ἐν Χριστῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΡΗ-

ΓΡΗΓΟΡΙΟΥ

Τῦ Θεολόγου Ἐπισκόπυ Ναζιανζηνῦ

Εἰς τὸς Λόγος, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανὸν Λόγος.

Τίς ἡ τυραννὶς, ὦ ὑξ ἀγάπης ἀεὶ τυραννύμεθα; τίς ἡ ἐμὴ σοφία καὶ ἐπιστήμη, δι' ἣν καθ' ἑκάστην πανήγυριν πολεμύμεθα; ἐγὼ μὲν γὰρ ἐδεμίαν δείσκω, πανταχόθεν ἐμαυτὸν διεξάγων καὶ διαθυίων. Πλὴν εἴ γε τῦτο ἐμαυτῷ συνεπίσαμαι, καὶ ἴσως ἀ φαῦλον, κἂν τινες δι' ἠθειαν ὀνομάζωσιν. Ἐβουλήθην ἐν καιρῷ μὲν παντὶ νεκρωθῆναι τῷ βίῳ, καὶ ζῆσαι τὴν ἐν Χριςῷ κεκρυμμένην ζωὴν, καὶ γενέσθαι τις μεγαλέμπορος, πάντων ὧν ἔχω, τὸν τίμιον ὠνησάμενος μαργαρίτην, καὶ ἀντιδὺς τὰ ῥέοντα καὶ συρόμενα τῶν ἐσώτων καὶ ὑρανίων, ἅπερ δὴ φραγματειῶν μεγίςη καὶ βεβαιοτάτη, τοῖς γε νῦν ἔχυσιν. Εἰδ' ἦν, ἀλλὰ τῦτό γε καρτερῆσαι, παραχωρῆσαι τῶν θρόνων τοῖς βουλομένοις, ἀυτὸς δὲ διὰ βίυ παῖς εἶναι καὶ μαθητὴς, μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων, τὰς ἀλμυρὰς ἀποκλύσωμαι. Ἓν μὲν δὴ τῦτο τῆς ἐμῆς ἔσω φιλοσοφίας, εἴτε δι' ἠθείας, καὶ ὡρῶτον· δεύτερον δὲ, ὃ καὶ μέγιςον, ἐπειδὴ λόγῳ τὸν τῶν πολλῶν λόγον ἐπιχεῖν ἐκ οἷός τε ἐγενόμην, καὶ τὴν νῦν κατέχυσαν πάντας φορὰν καὶ ὡροθυμίαν εἰς τὸ διδάσκειν τε καὶ λαλεῖν τὰ τῦ πνεύματος χωρὶς πνεύματος, ἑτέραν ἦλθον, ὡς ἐμαυτὸν πείθω, βελτίω τε καὶ ἀπονωτέραν ὁδὸν, παιδεῦσαι ὡρὸς ἡσυχίαν ἅπαντας, τῷ ἀρχετύπῳ τῆς σιωπῆς, εἰ μέν τι μέγα περὶ ἡμῶν οἴονται, τῶ ὑπεροχῶ αἰδεμένυς, εἰ δὲ μικρόν τε καὶ ὅσον ἄξιον, τῷ ὁμοτίμῳ συμμεξιάζοντας. Οὗτος ὁ λόγος τῆς ἐμῆς σιωπῆς, τῦτο τῆς καρτερείας ἡμῶν τὸ μυςήριον. Ἀλλὰ τί πάθω; ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, διέλκυσιν ἡμᾶς καὶ σπαράττυσι, καὶ ὑπὲρ τῶν ἐμῶν δικά-

κάζονται πόνων, ὥσπερ ἄλλό τι χρέος τὸν λόγον ἀπαραιτήτως εἰσπράττοντες, καὶ ἀγαπῶσι μᾶλλον, ἢ αὐτὸς ἐμαυτὸν, καὶ εἰσὶ πάντες ἐμοῦ σοφώτεροι, πλέον ἢ ἐγὼ γινώσκοντες καιρὸν λόγου ἢ σιωπῆς. Καί φασιν, ὐκ ἀνήσειν ὡς περ σιδήρῳ πυρῖτιν λίθον, παίοντες ἡμᾶς τοῖς ὀνείδεσιν, ἕως ἂν ἐκ μικροῦ σπινθῆρος, τὸν τοῦ λόγων πυρσὸν ἀνάψωσιν. Ἤδη δέ τινες αὐτοῦ καὶ ὑπερχυῦνται χρησότερα, καὶ μεγάλα προτιθέασιν ἆθλα τοῖς λόγοις· πρῶτον μὲν ἑαυτοὺς εὖ ποιήσειν, δόντες τῷ Θεῷ καὶ ἡμῖν, εἰς τὸν λόγον καρποφορῆσαι· ἔπειτα καὶ τὰς δεήσεις διὰ τῆς ἀπογραφῆς, τὸν ἐμὸν κλῆρον, εἴπερ ἐμὸς ὁ πάροικος, τὸ ἐμὸν ποίμνιον, ὃς λίαν ἀδιποίητον, μὴ πάντα ζόπον διεργετεῖν προθυμούμενος. Τὸ δὲ κάλλιστον, ὅτι ὁ πολλὰ πονήσαντας ἔδει καρπώσασθαι τοῖς λόγοις, τοῦτο ὑπὲρ τοῦ λόγων αὐτῶν εἰσφέρουσιν. Ὦ τῆς καλῆς φιλονεικίας, ὧν ἐμὲ νικῆσαι φιλονεικοῦσιν! ὦ τῆς ἐπαινετῆς ἐπιδόσεως! Ὁρᾶτε πτωχὸν τὸ ἔργον τῆς ἐμῆς σιωπῆς; αὐτὸς ὑμῖν πεποίηκε τοὺς λόγους πολυπειροτέρους. Ὁρᾶτε τὸν καρπὸν τῆς ἀδοξίας τῆς ἡμετέρας; εἰ θέτι γένοιτο, καὶ τοῦ λόγων τοσοῦτον ὄφελος, ὅσον τῆς σιωπῆς. Οὐκοῦν ἐπειδὴ ταῦτα δοκεῖ, καὶ νενικήκατε τὸν ἀήττητον, καὶ ζόπαιον ἐστήσατε τῆς ἐμῆς φιλοσοφίας, φέρε τι φθέγξωμαι πρὸς ὑμᾶς, τῆς σιωπῆς ἄμεινον. Φθέγξομαι τοιγαροῦν, ὑ μαλακόν τι καὶ ἀναβεβλημένον, ὐδὲ τῆς ἡδίσης τοῖς πολλοῖς ἁρμονίας· οὐδὲ γὰρ ἂν καλῶς ἀμειβοίμην τὰς ἐμὰς ἐρασὰς, ἔπω διαλεγόμενος, ἀλλὰ καὶ λίαν αὐθεκτόν τε καὶ σωφρονον, καὶ ᾧ πάχα καὶ ἀμείνους γένοισθε ἀπὸ τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα μεταπενυχθέντες, καὶ ὑψωθέντες ἱκανῶς τοῦ διαφοραν.

Τίοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; προοιμιάσομαι γὰρ πρὸς ὑμᾶς ἐκ τῶ μεγαλοφωνοπάτρα Δαβίδ· ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον, καὶ τὴν ζυφὴν, καὶ τὸ μικρὸν δοξάριον, καὶ τοῦ παπειναῦ δυνασείαν, καὶ τοῦ ῥοδομενὴν δίαιτειαν ὑπολαμβάνοντες, ἃ μὴ τοῦ ἐχόντων μᾶλλόν ἐστιν,

ἢ

ἢ τῷ ἐλπισαύτων· ὐδὲ τύπων μᾶλλον, ἢ τῷ ὐδὲ προσδοκησαύτων, ὥσπερ χῦς ὑπὸ λαίλαπος ἄλλοτε εἰς ἄλλυς ῥιπιζόμενά τε, καὶ μεταῤῥιπτύμενα· ἢ ὥσπερ καπνὸς διαῤῥέοντα, καὶ ὡς ὄναρ παίζοντα, καὶ ὡς σκιὰ μὴ κρατύμενα, ὅτε ἀπόντα δυσέλπιστα τοῖς ὐ κεκτημένοις, ὅτε παρόντα πιστὰ τοῖς ἔχυσιν. Οὐκ ἐπιῤῥόμεν; ὐ τῶν ὀφθαλμῶν τὴν λήμην περιαιρήσομεν; ὐκ εἰσόμεθα τίς ὁ ἀληθινὸς πλοῦτος; καὶ τίς ἡ ὄντως λαμπρότης; καὶ πῦ τὸ μὴ διαπίπτον ἀξίωμα; τίς ἡ ἀπέραντος δὐδαιμονία; καὶ πῦ τὸ ἀσάλδυτον ἀγαθὸν, μηδὲ μεθιςάμενον, ἢ ἐπιβυλδόμενον; ὐ κτησόμεθα ταῦτα πολλοῖς ἱδρῶσι καὶ πόνοις, αὖ ὅπω συμβαίνῃ; ὐκ, εἴτι δεῖ ζυφᾶν ἐντεῦθεν, ἐν ταῖς ἐλπίσι ζυφήσομεν; οὐ γνωσόμεθα τὺς Ἁγίυς Μάρτυρας, τύς τε ἄλλυς πάντας, οἳ πᾶσαν διειλήφασι τὴν οἰκυμένην, ὥσπέρ τινες κοινοὶ συνδεσμοι, καὶ ὧν ἡ παρῦσα πανήγυρις; ὑπὲρ τίνος ζαύματα, καὶ δεσμὰ, καὶ ςρεβλώσεις, καὶ πυρὸς ἀπειλὴ, καὶ ξιφῶν ἀκμὴ, καὶ θηρῶν ἀγριότης, καὶ σκότος, καὶ λιμὸν, καὶ βάραθρα, καὶ χημάτων ἁρπαγὰς, καὶ μελῶν ἀποβολὰς, καὶ θανάτυς τὸ τελυταῖον, καὶ πάντα προθύμως ὑπέςησαν, ὥσπερ ἐν ἀλλοξίοις ἀγωνιζόμενοι σώμασιν; ἵνα τί γενώνται; καὶ τίνα κληρονομήσωσιν; ἢ πᾶσι δῆλα, κἂν ἡμεῖς μὴ λέγωμεν; ὐ μετὰ τῆς αὐτῆς ἐλπίδος, ὑπὸ τῷ αὐτῷ βραβυτῇ καὶ ἀγωνοθέτῃ, πρὸς τὸν αὐτὸν παραταξόμεθα τύραννον, τὸν πικρὸν καὶ τότε καὶ νῦν τῶν ψυχῶν διώκτην, τὸν ἀόρατον ἐχθρὸν καὶ πολέμιον; ὐκ ἀνδριύμεθα παραπλησίως, ὥσπερ ἐν κοινῷ θεάζῳ τῷ δε τῷ Κόσμῳ, εἰ καὶ μὴ ἀκμῇ τῦ κινδυύου παχεῖαν ἐχούσῃ καὶ τλῦ ἀπαλλαγλὺ, ἀλλὰ τοῖς γε καθ' ἑκάστλω ἡμέραν ἀγωνίσμασι καὶ παλαίσμασιν, ἵνα καὶ τῶν αὐτῶν ςεφάνων ἀξιωθῶμεν, ἢ ὅτι ἐγγυτάτω; Ἐγὼ μὲν παντὶ διακελδύομαι, καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ πρεσβύτῃ καὶ νέῳ, ἀσικῷ τε αὖ καὶ ἀγροίκῳ, ἰδιώτῃ καὶ ἄρχοντι, πλυσίῳ καὶ πένητι· καὶ γὰρ ὁ αὐτὺς ἀγὼν καλεῖ πάντας, πρὸς τὺ-

τὴν ἀποδύεσθαι προθύμως, καὶ μὴ μαλακίζεσθαι, μηδὲ μέλλειν, μηδὲ προΐεσθαι τὸν καιρὸν, ὃν πάλιν τυχεῖν ἀμήχανον· ἐργασίας γὰρ ὁ παρὼν, ὁ δὲ μέλλων ἀνταποδόσεως. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν, ἠκούσατε τοῦ Σωτῆρος λέγοντος, ὃ μᾶλλόν τι τοὺς τότε Μαθητὰς, ἐκ τοῦ τόπου τῆς Ἰουδαίας ἀπάγοντος, ἀλλὰ καὶ τοὺς ὕστερον ἅπαντας ἐντεῦθεν ἀπαναστάντος, καὶ πρὸς ἑαυτὸν ὑψόμενον ἕλκοντος, ὡς ἡ ὑπόκρισις. Ἀκολουθήσωμεν ἀγαθῷ Δεσπότῃ, φύγωμεν τὰς κοσμικὰς ἐπιθυμίας, φύγωμεν τὸν πλανῶν Κόσμον καὶ Κοσμοκράτορα, γενώμεθα καθαρῶς τοῦ ποιήσαντος, τιμήσωμεν τὴν εἰκόνα, αἰδεσθῶμεν τὴν πλῆσιν, μεταθώμεθα τὴν ζωήν. Τί ποιοῦμεν ἡμᾶς αὐτοὺς ταπεινοὺς, ὑψηλοὶ γεγονότες; τί τοῖς ὁρωμένοις ἐγκαταμένομεν; ἕκαστος ὅ, τι ἂν οἷός τε ᾖ, καρποφορείτω τῷ Θεῷ ἐν καιρῷ παντὶ, καὶ ἰδέᾳ πάσῃ καὶ βίων καὶ περιστάσεων, κατὰ τὸ μέτρον τῆς παρούσης αὐτῷ δυνάμεως, κατὰ τὸ δοθὲν αὐτῷ χάρισμα· ἵνα πᾶσι μέτροις τῆς ἀρετῆς, πάσας τὰς ἐκεῖθεν μονὰς πληρώσωμεν, τοσοῦτον θερίσαντες, ὅσον ἐσπείραμεν, μᾶλλον δὲ τοσοῦτον ἀναποθέμενοι ταῖς θείαις λήνοις, ὅσον ἐγεωργήσαμεν. Εἰσφερέτω τις· ὁ μὲν χρήματα, ὁ δὲ τὸ μηδὲν ἔχειν, ὁ δὲ τὸ προθυμεῖσθαι, ὁ δὲ τὸν προθυμούμενον ἀποδέχεσθαι, ὁ μὲν πρᾶξιν ἐπαινετὴν, ὁ δὲ θεωρίαν εὔσοχον, ὁ μὲν λόγον καίριον, ὁ δὲ σιωπὴν εὔλογον, ὁ μέν τις διδασκαλίαν ἄπταιστον, καὶ βίον μὴ ἀνθιστάμενον, ὁ δὲ ἀκοὴν εὐπειθῆ, εὐγνώμονα, ὁ μὲν παρθενίαν ἁγνὴν, καὶ κόσμου παντελῶς ἀποτέμνουσαν, ὁ δὲ γάμον σεμνὸν, καὶ μὴ πάντη Θεοῦ χωρίζοντα, ὁ μὲν νηστείαν ἄτυφον, ὁ δὲ ἀπόλαυσιν μὴ ἀκόλαστον. Ἄλλος τὸ ἐν προσευχαῖς ἀπερίσπαστον καὶ ὕμνοις πνευματικοῖς, ἄλλος τὸ ἐν προσασίᾳ τῷ δεομένων. Πάντες δάκρυα, πάντες κάθαρσιν, ἀνάβασιν πάντες, καὶ τὸ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Καλὴ καὶ ἁπλότης καρποφορία, καὶ γέλως σωφρονιζόμενος, καὶ

θυμὸς κολαζόμενος, καὶ ὄμμα παιδαγωγούμενον, καὶ νοῦς πλανᾶσθαι μὴ συγχωρούμενος. Οὐδὲν ὅπως μικρὸν τῷ εἰσφερομένων Θεῷ, κἂν ἐλάχιστον ᾖ, κἂν πολὺ τῆς ἀξίας λειπόμενον, ὃ μὴ προσίεται πάντως καὶ ἀποδέχεται, εἰ καὶ σταθμίζειν οἶδε τῇ δικαίᾳ κρίσει τὸν ἔλεον. Δέχεται γὰρ Παύλου τὴν φυτείαν, ὡς Παύλου, καὶ Ἀπολλῶ τὴν ἀρδείαν, καὶ τὰ δύο λεπτὰ τῆς χήρας, καὶ τὸ πλούσιον τὴν ταπείνωσιν, καὶ τὸ Μακεδονῆ τὴν ἐξαγόρευσιν. Μωσῆς ἐπήγνυτο τὴν σκηνὴν κάτω, τὴν τῶν οὐρανίων ἀντίτυπον, καὶ πάντες εἰσέφερον τὸ κηρυχθὲν αὐτοῖς, οἱ μὲν χρυσὸν, οἱ δὲ ἄργυρον, οἱ δὲ λίθους τιμίους εἰς τὴν ἐπωμίδα, οἱ δὲ βύσσον διακεκλωσμένην, οἱ δὲ κόκκινον νενησμένον, οἱ δὲ πορφύραν, οἱ δὲ δέρματα κριῶν ἠρυθροδανωμένα, οἱ δὲ καὶ ξύλα ἀσήπτου εἰς τὰ κάτεργα τῆς σκηνῆς τὸ φαυλότατον· οἱ δὲ ὅ, τι ἕκαστος, ἢ ἑκάστῳ τύχοιεν ἔχοντες. Πάντες δὲ ἔφερον, καὶ οὐδεὶς ἦν ἀσυντελής, οὐδὲ τῶν πενεστάτων. Οὕτω καὶ ἡμεῖς, τῇ τιμίᾳ τοῦ Θεοῦ σκηνῇ τῆς δὲ τῆς Ἐκκλησίας, ἣν ὁ Κύριος ἔπηξε, καὶ οὐκ ἄνθρωπος, ἢ διαφόροις ἀρετῶν συνοικοδομεῖται κάλλεσιν, ὁ μὲν μικρὸν, ὁ δὲ μεῖζον, πάντες δὲ ὁμοίως εἰσφέρωμεν, εἰς ἔργον τέλειον, εἰς κατοικητήριον Χριστοῦ, εἰς Ναὸν ἅγιον, σωτηθέντες καὶ συναρμολογούμενοι τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος. Πάντως δὲ οὐδὲν εἰσοίσομεν τοσοῦτον, ὅσον εἰλήφαμεν, κἂν πάντα εἰσφέρωμεν. Ἐπεὶ καὶ τὸ εἶναι ἡμῖν ἐκ Θεοῦ, καὶ τὸ εἰδέναι Θεὸν, καὶ αὐτὸ τὸ ἔχειν ὃ εἰσενέγκωμεν. Τὸ δὲ κάλλιστον καὶ φιλανθρωπότατον, ὅτι μὴ τῇ ἀξίᾳ τοῦ διδομένου, τῇ δὲ δυνάμει, καὶ τῇ διαθέσει τοῦ καρποφορουμένου, μετρεῖ Θεὸς τὴν ἐπίδοσιν. Μὴ ἦν ἀναμείνῃς γενέσθαι χρηστὸς, ἀλλ' ἤδη γενοῦ, μηδὲ ὅτι τῆς ἀξίας λείπῃ, τὸ παῦε ἐλλίπῃς, ἀλλὰ τὸ μὲν εἰσενέγκε, τὸ δὲ προθυμήθητι, ὑπὲρ δὲ τοῦ, δεήθητι δοθῆναι συγγνώμην τῇ ἀσθενείᾳ. Οὐκ ὀφθείσῃ φησὶ κενὸς ἐναντίον μου. Μη-

δεὶς

δεὶς ἔσω κενὸς, μηδὲ ἄκαρπος, μηδέ τις σεῖρα ψυχὴ, καὶ ἄγονος. Ἕκαστος ἐκ τῶν παρόντων καρποφορείτω Θεῷ, καὶ τῷ οἰκείων. Ὁ ἁμαρτάνων, τῷ μεταβολὴν, ὁ καλῶς τρέχων, τῷ δρόμον, ὁ νέος τῷ ἐγκράτειαν, ἡ πολιὰ τῷ φρόνησιν, ὁ πλούσιος τῷ μεταδοσιν, ὁ πένης τὴν δι' χαρισίαν, ὁ ἐν ἐξουσίᾳ τῷ ἀτυφίαν, ὁ εἰσπράττων τῷ ἡμερότητα. Οἱ Ἱερεῖς, ἐνδύσασθε δικαιοσύνῃ, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ἐνδυσώμεθα. Μὴ διαπείρωμεν τὰ φρόβατα τῆς νομῆς, καὶ διαφθείρωμεν, ὑπὲρ ὧν ἔθηκε τῷ ψυχῷ ὁ ποιμὴν ὁ καλὸς, ὁ γινώσκων τὰ ἴδια, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, καὶ καλῶν κατ' ὄνομα, καὶ εἰσάγων αὐτὰ, καὶ ἐξάγων ἀπό τε ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ τῆς ζωῆς ταύτης ἐπὶ τῷ ἐκεῖθεν ἀνάπαυσιν. Φοβηθῶμεν, μὴ ἀφ' ἡμῶν ἄρξηται τὸ κεῖμα, κατὰ τὴν ἀπειλήν. Μὴ λάβωμεν ἐκ χειρὸς Κυρίε διπλᾶ τὰ ἁμαρτήματα, αὐτοί τε ὐκ εἰσιόντες, καὶ τὰς εἰσελθεῖν δυναμένους κωλύοντες. Τὰ φρόβατα μὴ ποιμαίνετε τοὺς ποιμένας, μηδὲ ὑπὲρ τὰς ἑαυτῶν ὄρας ἐπαίρεσθε· ἀρκεῖ γὰρ ὑμῖν, αὖ καλῶς ποιμαίνησθε. Μὴ κρίνετε τὰς κρίτας, μηδὲ νομοθετεῖτε τοῖς νομοθέταις· ὐ γάρ ἐστι Θεὸς ἀκαταστασίας καὶ ἀταξίας, ἀλλ' εἰρήνης καὶ τάξεως. Μὴ τοίνυν ἔσω τις κεφαλὴ, μόγις πε χειρ τυγχάνων, ἢ πῦς, ἢ ἄλλό τι τῶν δ' τελεσέρων μελῶν τοῦ σώματος· ἀλλ' ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει, ἀδελφοὶ, ἐν ταύτῃ μενέτω, κἂν ᾖ τῆς κρείττονος ἄξιος, ἐν ᾧ στέργει τῷ παρῦσαν, πλέον δ' δοκιμῶν, ἢ ἐν τῷ ζητεῖν ὃ οὐκ ἔλαβε. Μή τις ἐνὸν ἀκινδύνως ἔπεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείτω. Μηδὲ ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ἢ κὴ τὰ ἐπίγεια σωέχει καὶ τὰ ὐράνια. Μηδὲ ποιῶμεν ἀναρχίαν τὴν πολυαρχίαν. Οἱ περὶ λόγους, μὴ σφόδρα τοῖς λόγοις θαρρεῖτε, μηδὲ σοφίζεσθε περισσὰ καὶ ὑπὲρ τὸν λόγον, μηδὲ νικᾶν ἐπιθυμεῖτε παῦτα κακῶς, ἀλλ' ἔσιν ἃ καὶ ἡττᾶσθαι καλῶς, ἀνέχεσθε, δότε τῷ λόγῳ τὸν λόγον, ποιήσατε

σατε δικαιοσύνης ὅπλον, μὴ θανάτου τλῶ παίδλσιν. Ἀρκεῖθε τοῖς ἰδίοις ὀψωνίοις οἱ στρατιῶται, καὶ μηδὲν ὑπὲρ τὸ διατεταγμένον ἀπαιτεῖτε. Ταῦτα ὑμῖν διακελεύεται μεθ' ἡμῶν Ἰωάννης, ὁ μέγας τῆς ἀληθείας κήρυξ, ἡ φρόδρομος τᾶ Λόγα φωνή. Τί λέγων ὀψώνιον; τὸ βασιλικὸν σιτηρέσιον δηλονότι, καὶ τὰς ὑπαρχάσας ἐκ νόμα τοῖς ἀξιώμασι δωρεάς. Τὸ δὲ περισσὸν τίνος; ἐγὼ μὲν οὐκοῦν λέγειν τὸ βλάσφημον· ὑμεῖς δὲ οἶδα ὅτι συνίετε, κἂν ἐγὼ φείδωμαι· ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τᾶ Θεᾶ τῷ Θεῷ. Τῷ μὲν τὸ τέλος, τῷ δὲ τὸν φόβον, ὑμεῖς οἱ τῆς πολιτείας ἐπώνυμοι. Φόβον δὲ ὅταν εἴπω, κωλύω τλῶ πλεονεξίαν. Τί οὖν ἡμεῖς κερδανοῦμεν, τάχα ἄν εἴποιτε, μέγα; τὸ πάντων μέγιστον· καὶ εἰ βάλεσθε, δι' ἐμᾶ μεσίτα, τὰς χρησὰς ἐλπίδας, καὶ τὰ φρωτεῖα τῆς ἄνω πόλεως, ἀ τῆς μικρᾶς ταύτης καὶ ἐλαχίστης ἐν πόλεσιν· ἧς οὐδὲ τὸ ἄρχειν, ἵνα μετείως εἴπω τιμῶν ὡς θρεψαμένῳ, πάνυ τι σεμνὸν καὶ ὑπέρλαμπρον. Ἐκεῖ γενέσθαι φρῶτοι θελήσωμεν, μεταποιηθῶμεν τῆς ἐκεῖθεν λαμπρότητος, ἐν κόλποις Ἀβραὰμ αὐτὶ τῆς ἐντεῦθεν δύσπλαγχνίας ἀναπαυσώμεθα. Κεῖμαι δίκαιον κείνωμεν, ἐξελώμεθα πτωχὸν καὶ πτωχὸν, χήραν καὶ ὀρφανὸν ἐλεήσωμεν, ἐκτειώμεθα πτεινομένας, ἢ τό γε μετειώπατον εἰπεῖν, μὴ αὐτοὶ πτείνωμεν, μὴ παρίδωμεν τὸν δεόμενον ἡμῶν, μέχρι καὶ τῶν ἀπὸ τραπέζης ψιχίων, καὶ μὴ παραδράμωμεν τὸν πλησμένον καὶ βεβλημένον ἐν τοῖς ἡμετέροις πυλῶσι. Μὴ ξυφήσωμεν, ἄλλων κακοπαθούντων, μὴ βδελυξώμεθα τὸν ὁμόδελον, μὴ φίλοι καὶ ἀδελφοὶ γενώμεθα τᾶς τᾶ πλούτα μερίδος, μηδὲ ὀδυνηθῶμεν ἐν τῇ φλογὶ, μηδὲ τῷ χάσματι διαζῶμεν ἀπὸ τᾶ ὁσίου, μηδὲ δεηθῶμεν Λαζάρου ποντος, ἄκρῳ δακτύλῳ καταψῦξαι τλῶ γλῶσσαν ἡμῶν φλεγομένῳ, καὶ μηδὲ τοσότε τυγχάνωμεν. Γενώμεθα χρηστοὶ, εὔσπλαγχνοι, συμπαθεῖς. Μιμησώμεθα τοῦ Δεσπότα τλῶ ἀγαθότητα, ὃς

ἀνα-

ἀνατέλλει τὸν ἥλιον ἀγαθοῖς καὶ πονηροῖς, καὶ βρέχει τῆ δικαίοις καὶ ἀδίκοις πάντας ὁμοίως. Μὴ δεξώμεθα πλουτεῖν διὰ τῆς τῶν ἄλλων πενίας, μὴ τοσοῦτον ἀπέλθωμεν τῆς θείας ἰσότητος, μηδὲ μίξωμεν τὸν ἡμέτερον πλοῦτον ἀλλοτρίοις δάκρυσιν, ὑφ' ὧν ὡς ἰὸς καὶ σκώληξ ἐκδαπανηθήσεται, ἢ τό γε τῆς γραφῆς εἰπεῖν, ἐξεμεθήσεται. Ἀλλ' εἰ ἐσμὲν τοῦ δέοντος ἁπλησέστεροι, ἴσι καὶ πλουσιεκτῆσαι καλῶς. Δῶμέν τι μικρὸν ἐντεῦθεν, ἵν' ἐκεῖθεν πλουτήσωμεν.

Ταῦτα μὲν οὖν ἤδη κοινὰ πρὸ πάντας, ἃ τοὺς ἐν πολιτείᾳ μόνον τὰ παραγγέλματα· κοινὰ γὰρ καὶ κοινῆς ἀῤῥωσίας τὰ φάρμακα. Σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς, ὁ τῆς ἡμετέρων γραφῆς, ἀπόγραφε, μὴ τοὺς ἐμοὺς λόγους ἐπιμελῶς, ὧν οὐδὲν, ἢ μικρὸν τὸ κέρδος, ἢ εἰς ἀκοὴν χάριν καὶ ἡδονὴν, ἀλλὰ τὸν ἐμὸν λαὸν, ὁσίως καὶ φιλανθρώπως, αἰδεσθεὶς εἰ μή τι ἄλλο, ἢ τὸν καιρὸν αὐτὸν, ὅτι καὶ ὁ Σωτὴρ ἐν ἀπογραφῇ τίκτεται. Ἐξῆλθε γὰρ δόγμα φησὶ παρὰ Καίσαρος Αὐγούστου, τοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, καὶ ἀπεγράφετο. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἐν Βηθλεὲμ σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ ἀπογράψασθαι, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ. Καὶ τηνικαῦτα ὁ Σωτὴρ τίκτεται, τὸ θαυμάσιον, ὁ πάντων δημιουργὸς καὶ Δεσπότης, ἐν φάτνῃ καὶ μικρῷ καταλύματι. Φοβηθῶμεν τὸ Μυστήριον, αἰδεσθῶμεν τὴν οἰκονομίαν, καὶ αὐτοὶ τῷ καιρῷ τι συνεισενέγκωμεν. Νῦν Ἄγγελοι χαίρουσι, νῦν Ποιμένες περιαστράπτονται, νῦν ἀστὴρ ἐξ ἀνατολῶν τρέχει πρὸς τὸ μέγιστον φῶς καὶ ἀπρόσιτον, νῦν Μάγοι προσκυνοῦσι καὶ δωροφοροῦσι, καὶ τὸν πάντων Βασιλέα γινώσκουσι, καὶ καλῶς τῆ ἀστέρι τεκμαίρονται τὸν ὑράνιον. Νυνί τε Ἡρῴδης μαίνεται καὶ παιδοφονεῖ, καὶ διὰ τὸν ἐλευθερωτὴν ἀναιρεῖ τοὺς τῆς ἐλευθερίας τυγχάνειν ὀφείλοντας. Ἀλλ' ἡμεῖς γε, μετὰ τῆς προσκυνήσεως γενώμεθα, καὶ προσενέγκωμεν τῷ δι' ἡμᾶς πτωχεύσαντι μέχρι καὶ σώματος, μὴ λίβανον,

μηδὲ χρυσὸν, μηδὲ σμύρναν, τὸν μὲν ὡς Θεῷ, τὸν δὲ ὡς βασιλεῖ, τὸν δὲ ὡς γδσαμένῳ δι' ἡμᾶς νεκρότητος, ἀλλὰ δῶρα μυστικὰ, καὶ ὑπὲρ τὸ φαινόμενον, τόγε μηδὲν λαβεῖν, μηδὲ τῷ πλήτῳτι συγχωρῆσαι κατὰ πρεσίας, μηδὲ ἀδικῆσαι τὸ πλάσμα διὰ τὸ πλάσματος. Σοὶ Χριστῷ γράφεις, σοὶ Χριστῷ παλαντδίεις, σοὶ τῇ κεφαλῇ δοκιμάζεις, μετὰ τοῦ Λόγου λογίζῃ. Χριστὸς ἄρτι γεννᾶται σοι, καὶ Θεός ἐστι, καὶ ἄνθρωπος γίνεται, καὶ ἀνθρώποις συναναστρέφεται, τί τὸ λόγε δηλουῦτος; ἐμοὶ δοκεῖν, εἰς νουθεσίαν τῶν τὰ τοιαῦτα πεδομενῶν, ὅτι ταῖς μεγίσαις τῶν διοικήσεων, Θεὸς ἀεὶ συνεισέρχεται. Καὶ ἵνα μὲν καταιδέσῃ τὸς ἀποφάφοντας, τηνικαῦτα ὁμιλεῖ σαρκὶ καὶ ἀνθρώποις· ἵνα δὲ παραμυθήσηται τῆς δελείας ἡμᾶς, καὶ τῶν δίγνωμοσυνίαν νομοθετήσῃ (οὐδὲ γὰρ τοῦτο παροπτέον) τελεῖ καὶ αὐτὸς τὸ δίδραχμον, καὶ οὐχ ὑπὲρ ἑαυτε μόνον, ἀλλὰ καὶ Πέτρε τε τιμιωτάτε τῶν μαθητῶν. Ἐπεὶ καὶ ἄνθρωπος ἐγένετο δι' ἡμᾶς, καὶ δέλε μορφὴν ἀνεδέξατο, καὶ ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν ἤχθη εἰς θάνατον. Ταῦτα μὲν ὁ Σωτὴρ, καὶ τῷ θελήματι μόνον, ὡς Θεὸς σῶσαι δυνάμενος, ἐπεὶ καὶ τὰ πάντα προστάγματι σωνεστήσατο, μεῖζον δὲ καὶ δυσωπητικώτερον εἰσήνεγκεν ἡμῖν, τὴν συμπάθειαν καὶ τὸ ὁμότιμον. Τί δὲ ἡμεῖς οἱ Χριστε μαθηταὶ, τε φιλανθρώπε, καὶ τοσετον ἡμῖν λειτεργήσαντος; ἀ μιμησώμεθα τε Δεσπότε τὴν ἀπλαγχνίαν; οὐκ ἐσόμεθα χρηστοὶ τοῖς ὁμοδέλοις, ἵνα τοιέτε τύχωμεν καὶ αὐτοὶ τε Κυρίε, μετρουῦτος, ὡς ἂν μετρήσωμεν; οὐ κτησώμεθα πὰς ἑαυτῷ ψυχὰς διὰ τῆς ἡμερότητος; Ἀρκεῖ δελδεῖν τοῖς ἐλδθέροις, καὶ τοσετον εἶναι τὸ διάφορον, ὥστε τε αὐτοῦ χοὸς, τὸ μὲν κρατεῖν, τὸ δὲ ἄρχεσθαι· καὶ τὸ μὲν πᾶσιν φόρους, τὸ δὲ ἀποχράφεσθαι· καὶ τοῖς μὲν ἀδικεῖν ἐξεῖναι καὶ ποιεῖν κακῶς, τοῖς δὲ ὑπὲρ τε μὴ παθεῖν δεῖσθαι καὶ ἀγωνίζεσθαι, καὶ ταῦτα εἶναι περὶ τὴν μίαν εἰκόνα, καὶ τὸ σὸν ἀξίωμα, τὸν τῆς αὐτῆς

ζωῆς

ζωῆς κληρονόμους, ὑπὲρ ὧν Χριστὸς ὁμοίως ἀπέθανεν. Ἀρκεῖ ταῦτα τοῖς ἐλευθέροις, μὴ βαρυνέσθω δὲ ὁ ζυγός, μηδὲ τῆς πρώτης ἡμῶν ἁμαρτίας τὸ ἐπιτίμιον. Ὡς ἀπόλοιτο ἡ κακία, καὶ ἡ πρώτη ταύτης καταβολή, καὶ ὁ καθ' ὕδατιν ἡμῖν ἐπιπείρας τὰ ζιζάνια πονηρός, ἵν' ἀρχὴ τῶν κακῶν γένηται, τὸ ἀμελῆσαι τῶν ἀγαθῶν, ὥσπερ καὶ σκότους, ἡ τοῦ φωτὸς ὑποχώρησις. Ταῦτα τὸ ξύλον, καὶ ἡ πικρὰ γεῦσις, καὶ ὁ βάσκανος ὄφις, καὶ ἡ παρακοή, ἐν ἱδρῶτι τοῦ προσώπου ζῆν καταψήνασα. Ἐντεῦθεν γυμνὸς ἐγὼ καὶ ἀχήμων, καὶ τὴν γύμνωσιν ἔγνων, καὶ τὸν δερμάτινον χιτῶνα ἠμφιασάμην, καὶ τῷ Παραδείσῳ διέπεσον, καὶ εἰς τὴν γῆν ἀπεσράφην, ὅθεν ἐλήφθην, εἰ τοῦτο ἀντὶ τρυφῆς ἔχων, τὸ ἑμαυτῷ γινώσκειν κακά, καὶ λύπῃ κατεκρίθην ἄπαυστον, ἀντὶτῆς μικρᾶς ἡδονῆς, καὶ πόλεμον πρὸς τὸν φιλιωθέντα κακῶς, καὶ διὰ τῆς γαστρὸς ὑποσάσαντα. Ταῦτα τῆς κακίας ἐμοὶ τὰ ἐπίχειρα. Ἐντεῦθεν τὸ γεννᾶσθαι μόχθῳ, καὶ ζῆν, καὶ λύεσθαι. Αὕτη μήτηρ χρείας, ἡ δὲ πλεονεξίας, ἡ δὲ πολέμων, πόλεμοι δὲ φόνων πατέρες, οἱ δὲ τῆς κατακρίσεως τὸ βαρύτατον.

Ἀλλ' ἡμεῖς γε, μὴ τὸ πρόσιμον ἐπιτείνωμεν, ὑπὸ τὴν αὐτὴν κείμενοι καταδίκην, μηδὲ ἄλλοις κακοὶ γενώμεθα. Φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ ὁ Θεὸς, κἂν ὑπ' αὐτῶν κολαζώμεθα. Ἔσαι καὶ ἄλλη τις ἐγγραφὴ, καὶ ἄλλος ἀπογραφεὺς, ἐν τίνα βίβλον ζώντων ἀκούεις, καὶ βίβλον ἐ σωζομένων. Ἐκεῖ πάντες ἐγγραφησόμεθα, μᾶλλον δὲ ἤδη γεγράμμεθα κατ' ἀξίαν τῆς ἤδη βεβιωμένων ἕκασος. Οὐ πλοῦτος ἔχει τὸ πλέον ἐκεῖ, οὐ πενία τὸ ἔλαττον, οὐ χάρις, οὐκ ἔχθρα, οὐκ ἄλλό τι τῆς ἀπαίτων, οἷς ἐνταῦθα τὸ δίκαιον κλέπτεται. Δακτύλῳ Θεοῦ πάντες γεγράμμεθα, καὶ ἀνοιγήσεται ἡμῖν βίβλος ἐν ἡμέρᾳ ἀποκαλύψεως. Μικρὸς μὲν καὶ μέγας ἐκεῖ ἐσι, καὶ θεράπων ὁμοῦ δεσπότῃ, τὸ Σολομῶντος φθέγξομαι, καὶ Βασιλεὺς ἀρ-

χομεν, καὶ ἀπογραφὰς ἀπογραφομεν, καὶ ἡ λαμπρότης ἐγγύθεν, καὶ τὸ δύσφημον σιωπήσομαι, πλὴν οἷα γράφομεν, τοιαῦτα καὶ γραφησόμεθα. Ταύτῃ ποίησον σεαυτῷ τὴν ἐγγραφὴν χρηστοτέραν, ἡμῖν φανεὶς χρηστὸς καὶ φιλάνθρωπος. Τί πρὸς ταῦτα λέγεις; τί γράφεις, ὦ φίλων ἄριστε καὶ πλείστων, καὶ παιδείᾳ ἡμῖν κοινωνὲ, καὶ παιδευμάτων; εἰ καὶ νῦν ἡμᾶς εἰς τὴν κρείττω μοῖραν ὁ Θεὸς ἔταξεν, ὑμᾶς ταῦτα παιδεύειν τοὺς ἐν ἕξει· οὐκνῶ γὰρ εἰπεῖν βαρυτέραν. Ὦ πατρίδος δυσεβὲς καὶ γένος, ὦ γονέων ἱερῶν ἱερὸν φυτὸν, ὦ ῥίζα τέκνων ἱερωτέρων, πῶς ποτε ἀποδέχη τοὺς ἐμοὺς λόγους; ἆρά τι πείθομεν; ἢ δείσει καταπάδειν μακρύτερα; τοῦτο μὲν οὐκ εἰκάζειν, ἀλλ' εὖ εἰδέναι χρὴ, ὅτι σοὶ οἱ παρ' ἐμοῦ λόγοι ἐκ πλείονος ἔχουσι· καὶ γὰ εἰ μή τινι ἄλλῳ θαρρεῖν εἴχομεν, ἀλλὰ τοῖς λόγοις αὐτοῖς, οἵ σε ἀεὶ πρὸς τὰ καλὰ ῥᾳδίως ἄγουσιν, ἢ ἀρχόμενον, ἢ ἑπόμενον. Τοῦτο γάρ ἐστιν, ᾧ τῶν πολλῶν οἱ σοφοὶ διαφέρουσιν. Ἐγὼ δὲ μικρὸν ἔτι προθήσω τοῖς εἰρημένοις. Σὺ μὲν ἔδωκας μισθὸν τοῖς ἐμοῖς λόγοις, ὃν τινα δέδωκας· οἱ δέ σοι διδόασι καὶ προσάγουσι πόνους, πάντα χορὸν ἱερέων, χορὸν φιλοσόφων, ὑδενὶ δεσμῷ πάπω κατεχομένων, μόνα κεκτημένων τὰ σώματα, καὶ ὐδὲ ταῦτα παντελῶς, ὐδὲν ἐχόντων Καίσαρι, πάντα Θεῷ, ὕμνους, δίκας, ἀγρυπνίας, δάκρυα, κτῆσιν ὑ κρατουμένην, ἀποθανεῖν κόσμῳ, ζῆσαν Χριστῷ, σάρκα κενῶσαι, ψυχὴν ἑλκύσαι ἀπὸ τοῦ σώματος. Τέκνων φειδόμενος, ἢ καθαρῶς ἀποδιδοὺς τῷ Θεῷ τοὺς θεραπευτὰς τοῦ Θεοῦ καὶ μύστας, καὶ τῷ ὐρανίων ἑπόπτας, τὴν ἀπαρχὴν τοῦ ἡμετέρου γένους; τὸ ἔρεισμα, τοὺς τῆς πίστεως στεφάνους, τοὺς λαργαείτας τοὺς τιμίους, τοὺς τοῦ Ναοῦ λίθους, ὁ θεμέλιος, καὶ ἀκρογωνιαῖος Χριστὸς, τοῦ καλοῦ λέγω τῆς Ἐκκλησίας πληρώματος, κάλλιστα αὖ καὶ τούτοις, καὶ σεαυτῷ, καὶ πᾶσιν ἡμῖν βελτίσαιο. Καί σοι εὔχομαι τοῦτον παρ' ἡμῶν τὸν πλοῦτον γενέσθαι μᾶλλον, ἢ πολλοῦ χρυσίου καὶ ἀργυρίου

θη-

θησαυρὸς, νυῦ ὑπάρχοντας, καὶ μετ' ὀλίγον ἐκ ἐσομένους. Αὕτη τῆς ἐμῶν λόγων ἡμῖν ἡ παρηφορία, εἰ κὴ τῆς ἐλπίδος ἐλάττων, ἀλλὰ καπί γε τιλὼ ἡμετέρων δύναμιν. Ὑμεῖς δὲ ἀντιδοίητέ μοι τῆς ἐμῆς εἰσφορᾶς τὸ μεῖζον, τιλὼ διπεί θειαν, ὡς αὖ πά τε ἄλλα, κὴ ἧττον δέησθε τῆς ἐμῶν λόγων, ἀλλήλως κατανοοῦντες, εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων. Ὡς αὖ χρηστῆς κὴ φιλανθρώπε τῆς ἐκεῖθεν χαφῆς τυχόντες, κὴ περὶ τὸν πάντων Βασιλέα χορδίοντες, ὃ μόνον ἔργον τοῖς ἐκεῖ γεγραμμένοις, λειτεργῶμεν Θεῷ τιλὼ αἴνεσιν, τιλὼ μίαν Πατρὸς καὶ Υἱῦ κὴ Ἁγίε Πνεύματος, καὶ θεωρῶντες κὴ αὐξῶντες τῆς Θεότητος δόξαν τε κὴ λαμπρότητα. Ὅτι αὐτῷ ἡ δόξα, κὴ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, εἰς τὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ
ΕΙΣ ΤΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ.

Τί δὲ οἱ Μακκαβαῖοι; τύπων γὰρ ἡ παροῦσα πανήγυρις, οὐ παρὰ πολλοῖς μὲν τιμωμένων, ὅτι μὴ μετὰ Χριστὸς ἡ ἄθλησις, πᾶσι δὲ τιμᾶσθαι ἀξίων, ὅτι περὶ τῆς πατρίων ἡ καρτερία. Καὶ οἱ πρὸ τῆς Χριστοῦ παθῶν μαρτυρήσαντες, τί ποτε δράσειν ἔμελλον μετὰ Χριστὸν διωκόμενοι, καὶ τὸν ἐκείνου ὑπὲρ ἡμῶν μιμούμενοι θάνατον; οἱ γὰρ χωρὶς ὑποδείγματος πιστοὶ τὴν ἀρετὴν, πῶς ἂν ὤφθησαν γενναιότεροι, μετὰ τοῦ ὑποδείγματος κινδυνεύοντες; καὶ ἅμα μυστικός τις καὶ ἀπόρρητος ἦν ὁ λόγος, σφόδρα πιθανὸς, ἔμοιγ' ἔν, καὶ πᾶσι τοῖς φιλοθέοις, μηδενὸς τῆς πρὸ τῆς Χριστοῦ παρουσίας τελειωθέντων, δίχα τῆς εἰς Χριστὸν πίστεως τοῦτο τυχεῖν. Ὁ γὰρ λόγος, ἐπαρρησιάσθη μὲν ὕστερον καιροῖς ἰδίοις, ἐγνωρίσθη δὲ καὶ πρότερον τοῖς καθαροῖς τὴν διάνοιαν, ὡς ἐκ πολλῶν δῆλον τῆς πρὸ ἐκείνου τετιμημένων. Οὔκουν, ὅτι πρὸ τοῦ Σταυροῦ τοιοῦτοι, περιοπτέοι, ἀλλ' ὅτι κατὰ τὸν σταυρὸν, ἐπαινετοὶ, καὶ τῆς ἐκ τῆς λόγων τιμῆς ἄξιοι. Οὐχ ἵνα προσθήκην ἢ δόξαν λάβοιεν, τίνα γὰρ, ὧν ἡ πρᾶξις ἔχει τὸ εὔδοξον; ἀλλ' ἵνα δοξάσθῶσιν οἱ δόφημοῦντες, καὶ ζηλώσωσι τὸν ἀρετὴν οἱ ἀκούοντες, ὥσπερ κοινῷ τῇ μνήμῃ πρὸς τὰ ἴσα διανισάμενοι. Οὗτοι, τίνες μὲν ὄντες, καὶ ὅθεν, καὶ ἐξ οἵας ὁρμώμενοι τὸ ἀπαρχῆς ἀγωγῆς καὶ παιδεύσεως, εἰς τοσοῦτον ἀρετῆς καὶ δόξης προελήλυθασιν, ὥς τε καὶ ταῖς ἐτησίοις ταύταις τιμᾶσθαι πομπαῖς τε καὶ πανηγύρεσι, καὶ μείζονα τῆς ὁρωμένων τὴν περὶ αὐτῆς δόξαν ἐναποκεῖσθαι ταῖς ἁπάντων ψυχαῖς; ἡ περὶ αὐτῆς βίβλος δηλώσει τοῖς φιλομαθέσι καὶ φιλοπόνοις, ἡ περὶ τοῦ αὐτοκράτορα εἶναι τῆς παθῶν τὸν λογισμὸν, φιλοσοφοῦσα, καὶ κύειν τῆς ἐπ' ἄμφω ῥοπῆς, ἀρετὴν τε φημὶ καὶ κακίαν. Ἄλ-

λοις

λοις τε ἢ ὐκ ὀλίγοις ἐχρήσατο μαρτυρίοις, ἢ δὴ καὶ τοῖς τότων ἀθλήμασιν· ἐμοὶ δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει. Ἐλεάζαρ ἐνταῦθα τῷ ἀπὸ Χριστοῦ παθόντων ἡ ἀπαρχὴ, ὥσπερ τῷ μετὰ Χριστὸν Στέφανος, ἀνὴρ Ἱερεὺς ἢ Πρεσβύτης, πολιὸς τὴν τρίχα, πολιὸς τὴν φρόνησιν, πρότερον μὲν ἢ προθυόμενος τοῦ λαοῦ, καὶ προσευχόμενος, νῦν δὲ ἢ τελεώτατον θύμα προσάγων ἑαυτὸν τῷ Θεῷ, παντὸς τοῦ λαοῦ καθάρσιον (προοίμιον ἀθλήσεως δεξιὸν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις) προσάγων δὲ καὶ τοὺς ἑπτὰ παῖδας, τὰ τῆς ἑαυτοῦ παιδείας ἀποτελέσματα, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, πάσης νομικῆς ἱερουργίας λαμπροτέραν τε ἢ καθαρωτέραν. Τὰ δὲ τῶν παίδων, τῷ Πατρὶ λογίζεσθαι, τῷ ἐννομοτάτων τε καὶ δικαιοτάτων. Παῖδες ἐκεῖ γενναῖοι ἢ μεγαλόψυχοι μηδὲ δίγνωτοι δίγνωτοι βλασήματα, φιλότιμοι τῆς ἀληθείας ἀγωνισταὶ, τῷ Ἀντιόχου καιρῶν ὑψηλότεροι, τοῦ Μωσέως νόμου Μαθηταὶ γνήσιοι, τῷ πατρίων ἐθῶν ἀκριβεῖς φύλακες, ἀριθμὸς τῷ παρ' Ἑβραίοις ἐπαινουμένων, τῷ τῆς ἑβδοματικῆς ἀναπαύσεως μυστηρίῳ τιμώμενος. Ἔννοητε, πρὸς ὃ βλέποντες, μίαν ζωῆς ὁδὸν εἰδότες, τὸν ὑπὲρ τοῦ Θεοῦ θάνατον, ἢχ ἧττον ἀδελφοὶ τὰς ψυχὰς, ἢ τὰ σώματα, ζηλοτυποῦντες ἀλλήλους τῆς τελευτῆς. Ὦ τοῦ θαύματος! προαρπάζοντες ὥσπερ θησαυρὰς τὰς βασάνους, τὸ παιδαγωγὸν νόμου προκινδυνεύοντες, ἢ τὰς προσαγομένας τῷ βασάνων μᾶλλον φοβούμενοι, ἢ τὰς λειπομένας ἐπιζητοῦντες. Ἔν τοῦτο φοβούμενοι μόνον, μὴ ἀπείπῃ κολάζων ὁ τύραννος, καὶ ἀπέλθωσί τινες αὐτῷ ἀσεφαίωτοι, ἢ διαζεύχθωσι τῷ ἀδελφῶν ἄκοντες, καὶ τοῦ καλοῦ νίκου νικήσωσι, τὸ μὴ παθεῖν κινδυνεύσαντες.

Μήτηρ ἐκεῖ νεανικὴ ἢ γενναία, φιλόπαις ἐμοῦ ἢ φιλόθεος, καὶ τὰ μηδέπω σπλάγχνα σπαραττομένη παρὰ τὸ εἰκὸς τῆς φύσεως. Οὐ γὰρ πάσχοντας ἠλέει τοὺς παῖδας, ἀλλ' ἠγωνία τὸ μὴ παθεῖν, ὐδὲ τοὺς ἀπελθόντας

τας ἐπόθει μᾶλλον ἢ προσεθίσαι τὰς ὑπολειφθείσας ἤυχετο, ϗ τούτων ἓν αὐτῇ πλείων ὁ λόγος, ἢ τῷ μεταστάντων. Τῶν μὲν γὰρ ἀμφίβολος ἡ πάλιν, τῷ δὲ ἀσφαλὴς ἡ κατάλυσις. Καὶ τὰς μὲν ἤδη Θεῷ παρετίθετο, τὰς δὲ ὅπως λάβῃ Θεὸς, ἐφρόντιζεν. Ὦ ψυχῆς ἀνδρείας, ἐν γυναικείῳ τῷ σώματι! Ὦ θαυμασίας ἐπιδόσεως ϗ μεγαλοψύχου! Ὦ τῆς Ἀβραμιαίου θυσίας ἐκείνης! εἰμή τι τολμητέον, ϗ μείζων· ὁ μὲν ἓν σὺν προσάγει προθύμως, εἰ ϗ τὸν μονογενῆ, ϗ τὸν ἐκ τῆς ἐπαγγελίας, ϗ εἰς ὃν ἡ ἐπαγγελία, ϗ τὸ μεῖζον, ὅτι μὴ τὸ γένος μόνον, ἀλλὰ ϗ τῷ τοιούτων θυμάτων, ἀπαρχὴ ϗ ῥίζα καθίσαται· ἡ δὲ, δῆμον ὅλον παίδων καθιέρωσε τῷ Θεῷ, νικήσασα ϗ Μητέρας ϗ Ἱερέας τοῖς θύμασι προθύμοις εἰς σφαγὴν, ὁλοκαυτώμασι λογικοῖς, ἱερείοις ἐπιγομένοις. Ἡ μαστὸς παρεδείκνυ, ϗ ἀνατροφῆς ὑπεμίμνησκε, ϗ προέτεινε τὴν πολιὰν, ϗ τὸ γῆρας αἰδὼ ἱκεσίας προὐβάλλετο· ὡ σωτηρίαν ζητοῦσα, τὸ δὲ παθεῖν ἐπείγουσα, ϗ κίνδυνον ἡγεμονὴ τὴν ἀναβολὴν, ὡ τὸν θάνατον. Ἣν ὡδὲ ἔκαμψεν, οὐδὲ ἐμαλάκισεν, ὐδὲ ἀπολμοτέραν ἐποίησεν, ὐκ ἀρθρέμβολα προτεινόμενα, ὡ ξοχοὶ προβαλλόμενοι, ὡ ξοχαντῆρες, ὡ καπηλται, ὐκ ἀκμαὶ σιδηρῶν ὀνύχων, ὡ θῆρες ζέοντες, ὡ ξίφη θηγόμενα, ὡ λέβητες ζέοντες, ὡ πῦρ ἐγειρόμενον, ὡ τύραννος ἀπειλῶν, ὡ δῆμος, ὡ δορυφόρος κατεπείγων, οὐ γένος ὁρώμενον, ὡ μέλη διαστώμενα, ὡ σάρκες ξαινόμεναι, ὐχ αἵματος ὀχετοὶ ῥέοντες, ὡ νεότης δαπανωμένη, οὐ τὰ παρόντα δεινὰ, ὡ τὰ προσδοκώμενα χαλεπά. Καὶ ὃ τοῖς ἄλλοις βαρύπατόν ἐσιν ἐν τοῖς τοιούτοις, ἢ τὸ κινδυνεύειν παρέκπασις, τοῦτο ἐκείνῃ τὸ κουφότατον ἓν. Ἐνεθύφα γὰρ τῷ θεάματι, ϗ γάρ πως ϗ τειβὼ ἐνεποίει τοῖς πάθεσιν, ὡ τὸ ποικίλον τῷ προσαγομένων βασάνων μόνον, ὧν πασῶν, ὡς ὡδὲ εἷς μιᾶς κατεφρόνων, ἀλλὰ ϗ οἱ τὸ διώκτου λόγοι, πολυειδεῖς ὄντες, ὑβρίζοντος, ἀπειλοῦντος, θωπεύοντος, τί δὲ ὡ κινοῦντος

πρὸς

πρὸς τὸ τυχεῖν ὧν ἤλπιζες, καὶ μοί τοι καὶ τῶν παίδων αἱ πρὸς τὸν τύραννον ἀποκρίσεις, τοσοῦτον, ἔχουσαι τὸ σοφὸν ὁμοῦ καὶ γενναῖον, ὥς τε μικρὰ μὲν εἶναι πρὸς τὴν ἐκείνων καρτερίαν, ἅπαντα τὰ τῶν ἄλλων καλὰ εἰς ἓν συναχθέντα· μικραὶ δὲ τιὼ καρτερίαι πρὸς τιὼ ἐκείνων ἐν λόγοις συμέσιν, καὶ τῷ αὐτῷ εἶναι μόνων, πέφυκέ τε ἔτω καὶ φιλοσοφεῖν ἐν ταῖς ἀποκρίσεσι, πρὸς τὰς τῶ διώκοντος ἀπειλάς, καὶ τὰς προτεινομένας φόβας, ὧν ὐδενὸς ἡττῆτο οἱ γενναῖοι παῖδες, καὶ ἡ γενναιοτέρα τεκοῦσα. Παύτων δὲ ἑαυτιὼ ὑπεραίω θεῖσα, καὶ τῷ φίλτρῳ τὸν θυμὸν μίξασα, καλὸν ἐνταύγιον δίδωσι τοῖς παισὶν ἑαυτὴν, ἐπαπελθοῦσα τοῖς προαπελθοῦσι. Καὶ τοῦτο πῶς; ἑκουσίως ἐπὶ τοὺς κινδύνους χωρήσασα, ὡς αὖ μὴ δὲ σῶμα φύσεσιν ἄναγνον ἀγνῷ καὶ γενναίου σώματος. Καὶ μετ' οἴων τῶν ἐπιταφίων; καλοὶ μὲν καὶ οἱ τῶν παίδων πρὸς τὸν τύραννον λόγοι, καὶ καλῶν κάλλιστοι. Πῶς γὰρ οὔ; μετ' ὧν παρετάξαντο, καὶ οἷς τὸν τύραννον ἔβαλλον. Καλλίους δὲ οἱ τῆς Μητρὸς, καὶ παρακλητικοὶ πρότερον, καὶ ὕστερον ἐπιτάφιοι. Τίνες δ' ἦν οἱ τῶν παίδων λόγοι; καλὸν γὰ ἀπομνημονεῦσαι καὶ τύπων ὑμῖν, ἵν' ἔχητε τύπον, ὥσπερ ἀθλήσεως, οὕτω καὶ λόγων μαρτυρικῶν, ἐν τοῖς τοιούτοις καιροῖς. Ἄλλα μὲν ἄλλοι, καὶ ὡς ἕκαστον οἱ τῶ διώκοντος λόγοι, ἢ τῶν κινδύνων ἡ τάξις, ἢ τῆς ψυχῆς τὸ φιλότιμον ὥπλιζεν, ὡς δ' ἐν τύπῳ περιλαβεῖν, ἦσαν τοιοῦτοι.

Ἡμῖν, ὦ Ἀντίοχε, καὶ πάντες οἱ περιεστηκότες, εἷς μὲν Βασιλεὺς ὁ Θεὸς, παρ' ᾧ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρέφομεν, εἷς δὲ νομοθέτης Μωϋσῆς, ὃν ἃ προδώσομεν οὐδὲ καθυβρίσομεν, ἃ μὰ τὸν ὑπὲρ ἀρετῆς τῶ ἀνδρὸς κινδύνους, καὶ τὰ πολλὰ θαύματα, οὐδ' αὖ ἡμῖν ἄλλος Ἀντίοχος ἀπειλῇ, σοῦ χαλεπώτερος. Μία δὲ ἀσφάλεια, τῆς ἐντολῆς ἡ τήρησις, καὶ τὸ μὴ ῥαγῆναι τὸν νόμον, ᾧ τε τειχίσμεθα. Μία δὲ δόξα, τὸ δόξης ἁπάσης ὑπεριδεῖν ἐπὶ πλείστοις. Εἷς δὲ πλοῦτος, τὰ ἐλπιζόμενα· φοβερὸν δὲ οὐδὲν, ἢ τὸ φοβηθῆναί τι πρὸ Θεοῦ.

Με-

Μετὰ τῶν παρατεταγμεθα τῷ λογισμῶν, καὶ ὅπως ὡπλίσμεθα. Πρὸς τοιάτας σοι νεανίας ὁ λόγος. Ἡδὺ μὲν ἡ ὁ Κόσμος ἅπας, ἡ τὸ παῤῥῶον ἔδαφος, ἡ φίλοι, ἡ συγγενεῖς, ἡ ἡλικιῶται, καὶ ὁ Ναὸς ἅπας τὸ μέγα ἡ περιβόητον ὄνομα, καὶ πανηγύρεις πατρικαὶ, ἡ μυστήρια, ἡ παίπα, οἷς ἡμεῖς τῶν ἄλλων διαφέρειν δοκοῦμεν, ἅπαν δὲ ἡδίω Θεοῦ, ἡ τῶν ὑπὲρ τοῦ καλοῦ κινδυνων. Μὴ τοῦτο νομίσῃς. Κόσμος τε γὰρ ἄλλος ἡμῖν, πολὺ τῶν ὁρωμένων ὑψηλότερός τε ἡ μονιμώτερος. Παῤῥίς τε ἡ ἄνω Ἱερουσαλὴμ, ἣν οὐδεὶς Ἀντίοχος πολιορκήσει, οὐδὲ προσδοκήσει παρασήσεσθαι, ἡ καρτερὰ ἡ ἀνάλωτος. Συγγένεια δὲ, ἡ ἔμπνευσις ἡ οἱ κατ' ἀρετὴν γεννηθέντες. Φίλοι δὲ, Προφῆται ἡ Παῤῥιάρχαι, παρ' ὧν ἡμῖν καὶ ὁ τύπος τῆς εὐσεβείας. Ἡλικιῶται δὲ, οἱ σήμερον ἡμῖν συγκινδυνεύοντες, ἡ τὴν καρτερίαν ὁμόχρονοι. Ναὸς δὲ, Οὐρανὸς μεγαλοπρεπέστερος· πανήγυρις δὲ, Ἀγγέλων χοροστασία, ἡ μυστήριον σὺ, μέγα, καὶ μέγιστον, ἡ τοῖς πολλοῖς ἀπόκρυφον, ὁ Θεὸς, πρὸς ὃν βλέπει καὶ τὰ τῇδε μυστήρια. Παῦσαι τοίνυν ὑπιχνούμενος ἡμῖν τὰ μικρὰ, ἡ τὰ μηδενὸς ἄξια. Οὐ γὰρ τιμησόμεθα τοῖς ἀτίμοις, οὐδὲ κερδανοῦμεν ἐπιζήμια, οὐχ ὅπως ἀθλίως ἐμπορευσόμεθα. Παῦσαι ἡ ἀπειλῶν, ἃ ἀνταπειλήσομεν, ἐλέγξειν σε τὴν ἀσθένειαν, ἡ πρὸς τοῦτῳ, τὰ ἡμέτερα κολαστήρια. Ἔχομεν καὶ ἡμεῖς πῦρ, ᾧ τὰς διώκτας κολάζομεν. Οἶσι πρὸς ἔθνη ἡ πόλεις εἶναί σοι τὸν ἀγῶνα, ἡ Βασιλέων τὰς ἀνανδροτάτας, ὧν οἱ μὲν κρατήσασιν, οἱ δὲ ἴσως ἡττηθήσονται, οὐδὲ γὰρ περὶ τηλικούτων αὐτοῖς ὁ κίνδυνος. Πρὸς νόμον Θεοῦ παραπάσῃ, πρὸς πλάκας θεοχαράκτας, πρὸς πάθια ἡ λόγῳ ἡ χρόνῳ τετιμημένα, πρὸς ἀδελφὰς ἑπτὰ μιᾷ ψυχῇ συνδεδεμένας, ἑπτὰ ζωπαίοις σε σπλιτεύσοντας· ὧν κρατῆσαι μὲν ὐ μέγα, ἡττηθῆναι δὲ, ἡ λίαν αἰσχρόν. Ἐκείνων ἐσμὲν ἡ γένος καὶ μαθηταὶ, οὓς σύλος πυρὸς καὶ νεφέλης, ὡδήγει, οἷς θάλασσα διΐστατο, ἡ ποταμὸς ἵστατο, καὶ Ἥλιος ἀνε-

κόπ-

κοπτετο, κ᾽ ἄρτος ὕετο, καὶ χειρῶν ἕκπασις ἐτροπᾶτο μυριάδας, δι᾽ ὀιχῶν βάλλουσα, ὧν θῆρες ἥπτωντο, κ᾽ πῦρ οὐχ ἅπτετο, τῷ βασιλεῖς ἀπήεσαν τὸ γενναῖον θαυμάζοντες. Εἴπωμί τι κ᾽ τῷ σοὶ γνωείμων. Ἐλεαζάρε μύσαι ἡμεῖς, οὔ σὶν ἀνδείαν ἔγνως. Προηγωνίσατο Πατὴρ, ἐπαγωνιῶνται παῖδες. Ἀπῆλθεν ὁ Ἱερεὺς, ἐπακολουθήσει τὰ θύματα. Πολλὰ δεδίττῃ, πρὸς πλείω παρεσκευάσμεθα; τί κ᾽ δράσεις ἡμᾶς ὑπερήφανε ταῖς ἀπειλαῖς, τί καὶ πεισόμεθα; ᾄδεν ἰσχυρότερον τῷ πάντα παθεῖν ἑτοίμων. Ὦ δήμιοι τί μέλετε; τί δὲ ἀναδύεσθε; τί τὸ πρόσαγμα τὸ χρυσὸν ἀναμένετε; πᾶ τὰ ξίφη; πᾶ τὰ δεσμά; ζηπῶ τὸ πάχος. Πλεῖον ἀναπέσθω τὸ πῦρ, οἱ θῆρες ἐνεργέστεροι, αἱ σρέβλαι περιεργότεραι. Πάντα ἔσω βασιλικὰ κ᾽ πολυτελέστερα· ἐγὼ πρωτότοκός εἰμι, πρῶτόν με καθιέρωσον. Ἐγὼ τελευταῖος, ἡ τάξις ἀναμειφθήτω. Ἔσω τις κ᾽ τῷ μέσων ἐν πρώτοις, ἵνα τιμηθῶμεν ἰσομοιείᾳ. φειδῇ δέ; προσδοκᾶς τι τυχὸν καὶ τῷ ἐναντίων; πάλιν καὶ πολλάκις ἐροῦμεν τὸν αὐτὸν λόγον. Οὐ μιαροφαγήσομεν, οὐκ ἐνδώσομεν. Θᾶττον σὺ σεβαθήσῃ τὰ ἡμέτερα, ἢ τοῖς σοῖς ἡμεῖς εἴξομεν. Κεφάλαιον τῶ λόγω. Ἢ καινότερα ἐπινόησον κολασήεια, ἢ τὰ παρόντα ἴθι καταφρονήμενα.

Ταῦτα μεὶ πρὸς τὸν τύραννον· ἃ δὲ ἀλλήλοις διεκελεύοντο, ὥσπερ παρατάξει παροξύνοντες, ἃ δὲ παρεῖχον ὁρᾶν, ὡς καλά τε κ᾽ ἱερά, κ᾽ παντὸς ἄλλα θεάματος κ᾽ ἀκούσματος ἡδίω τοῖς φιλοθέοις. Ἐγω᾽ οὖν αὐτὸς ἡδονῆς ἐμπίπλαμαι μνημονεύων, καὶ μετ᾽ αὐτῷ ἀθλοθέτων εἰμὶ τῇ διανοίᾳ, καὶ τῷ διηγήματι καλλωπίζομαι. Περιέβαλλον ἀλλήλους, πεσεπτύασοντο, παννύχους ἰῶ, ὡς ἐπ᾽ ἄθλοις τετελεσμένοις. Ἴωμεν ἀδελφοὶ πρὸς τὸς κινδυύς, ἐβόων, ἴωμεν· ἐπειγώμεθα, ἕως ζέει καθ᾽ ἡμῶν ὁ τύραννος, μήτι μαλακισθῇ, καὶ ζημιωθῶμεν τὴν σωτηείαν. Παιδαισία πρόκειται, μὴ ἀπολειφθῶμεν. Καλὸν μεὶ κ᾽ συνοικοῦντες ἀλλήλοις

ἀδελ-

ἀδελφοὶ, καὶ συμποσιάζοντες, καὶ συναποθνήσκοντες, κάλλιον δὲ ὑπὲρ ἀρετῆς συγκινδυνεύοντες. Εἰ μὲν οἷόν τε λῷ, καὶ τοῖς σώμασιν αὖ ἠγωνισάμεθα ὑπὲρ τῆς πατρίδων, ἔστι καὶ ὅπου τῆς ἐπαινετῆς ὁ θάνατος. Ἐπεὶ δὲ ἀ τότε καιρὸς, αὐτὰ τὰ σώματα εἰσενέγκωμεν. Τί γὰρ, κἂν μὴ νῦν ἀποθανώμεν, ἀ τεθνηξόμεθα πάντως; ἀ τῇ γενέσει τὰ ὀφειλόμενα λειτουργήσομεν; ποιήσωμεν τῷ ἀνάγκῃ φιλοτιμίαν, σοφισώμεθα τῷ διάλυσιν, τὸ κοινὸν, ἴδιον ποιησώμεθα, θανάτῳ ζωῷ ὠνησώμεθα. Μήτις ἔν ἡμῶν ἔσω φιλόψυχος, μὴ δὲ ἄπολμος. Ἀπογνώτω καὶ τῆς ἄλλων ὁ τύραννος, ἡμῖν ἐντυχών. Τοῖς μὲν κινδυνοις τῷ τάξιν αὐτὸς ἐπιθήσει, ἡμεῖς δὲ ἐπιθήσωμεν τέλος τοῖς διωκομένοις. Μηδὲ περὶ τότε διαφερώμεθα, ἢ ζέσει τῆς προθυμίας. Καὶ ὁ πρῶτος ἔσται τοῖς ἄλλοις ὁδὸς, καὶ ὁ τελευταῖος σφραγὶς ἀθλήσεως. Ἡμῖν δὲ τοῦτο ἐμπεπέχθω πᾶσιν ὁμοίως παροικεσία σεφανωθῆναι, καὶ μή τινα λαβεῖν μερίδα ἐξ ἡμῶν τὸν διώκτην, ἵν' ὡς πᾶσιν ἐγκαυχήσηται πρὸς σὲ, φλεγμαίνων τῇ πονηρίᾳ. Φανῶμεν ἀλλήλων ἀδελφοὶ, καὶ τῇ γενέσει καὶ τῇ μεταστάσει, καὶ πάντες ὡς εἷς κινδυνεύσωμεν, καὶ ἀντὶ πάντων ἕκαστος· Ἐλεάζαρ ὑπόδεξαι· Μήτηρ ἐπακολούθησον· Ἱερουσαλὴμ θάλπον τοὺς σεαυτῆς νεκροὺς μεγαλοπρεπῶς, ἀντὶ τοῖς πάροις ὑπολειφθῇ. Διηγοῦ τὰ ἡμέτερα καὶ τοῖς ὕστερον, δείκνυ καὶ τοῖς σοῖς ἐρασταῖς, τὸ τῆς μιᾶς γαστρὸς δίσεβὲς πολυάνδριον. Οἱ μὲν δὴ ταῦτα καὶ εἰπόντες καὶ πράξαντες, καὶ ὡς συῶν ὀδόντες ἀλλήλους θήξαντες, ἐν τάξει τῆς ἡλικίας, καὶ ἰσότητι τῆς προθυμίας διεκαρτέρουν. Ἡδονὴ καὶ θαῦμα τοῖς ὁμοφύλοις, φόβος καὶ κατάπληξις τοῖς διώκταις, οἱ κατὰ πάντος τὸ ἔθνης στρατεύσαντες, ἀδελφῶν ἑπτὰ συμψυχίας ὑπὲρ δίσεβείας ἀγωνιζομένων τοσοῦτον ἡττήθησαν, ὥς τε μὴ δὲ περὶ τῷ ἄλλων ἔχειν ἔτι χρησὰς τὰς ἐλπίδας. Ἡ δὲ γενναία μήτηρ, καὶ ὄντως ἐκείνων, τῷ τοσούτων καὶ τοιούτων τῷ ἀρετῷ, τὸ μέγα τὸ νόμου θρέμμα, καὶ

με-

μεγαλόψυχον, τέως μὲν χαρᾷ καὶ φόβῳ σύμμικτος ἦν, καὶ δύο παθῶν ἐν μεταιχμίῳ. Χαρᾷ, διὰ τὴν ἀνδρείαν καὶ τὰ ὁρώμενα. Φόβῳ, διὰ τὸ μέλλον καὶ τὴν ὑπερβολὴν τῆς κολάσεων, καὶ ὡς νεοσσὸς ὄρνις, ὄφεως προσερπύζοντος, ἤ τινος ἄλλου τῆς ἐπιβούλων, πεφόβηται, περιέτρυζεν, ἀντιβόλει, συναγωνίζετο, τί μὲν ὰ λέγουσα, τί δὲ οὐ πράττουσα τῆς πρὸς νίκην ἐπαλειφόντων; ἥρπαζε τὰς ῥανίδας τοῦ αἵματος, ὑπεδέχετο τὰ λακίσματα τῶν μελῶν, προσεκύνει τὰ λείψανα. Τὸν μὲν συνέλεγε, τὸν δὲ παρεδίδου, τὸν δὲ παρεσκεύαζεν. Ἐπεφώνει πᾶσιν· εὖγε ὦ παῖδες, εὖγε ἀρετῆς ἐμοὶ, εὖγε ἀσώματοι χορὸν ἐν σώμασι, εὖγε προσάται τῶ νόμω, καὶ τῆς ἐμῆς πολιᾶς, καὶ τῆς θρεψαμένης ἡμᾶς πόλεως, καὶ εἰς τόδε ἀρετῆς προαγούσης. Ἔτι μικρὸν, καὶ νενικήκαμεν. Κεκμήκασιν οἱ βασανισαὶ, τοῦτο φοβοῦμαι μόνον. Ἔτι μικρὸν, καὶ μακαρία μὲν ἐν μητράσιν ἐγώ· μακάριοι δὲ ὑμεῖς ἐν νέοις. Ἀλλὰ, ποθεῖτε τὴν μητέρα; οὐκ ἀπολείψομαι ὑμῶν. Τοῦτο ὑμῖν ὑπισχνοῦμαι. Οὐχ οὕτως ἐγὼ μισότεκνος. Ἐπεὶ δὲ τελειωθέντας εἶδε, καὶ τὸ ἀσφαλὲς εἶχεν ἐκ τῆς συμπληρώσεως, διάρασα τὴν κεφαλὴν μάλα φαιδρῶς, ὥσπερ τις ὀλυμπιονίκης, ἐν ὑψηλῷ τῷ φρονήματι, καὶ τὰς χεῖρας ἐκτείνασα, μεγάλη καὶ λαμπρᾷ τῇ φωνῇ, εὐχαριστῶ σοι φησὶ Πάτερ Ἅγιε, καὶ σοι παιδευτὰ Νόμε, καὶ σοι Πάτερ ἡμῶν καὶ προαγωνιστὰ τῆς τέκνων τῆς σῶν Ἐλεάζαρ, ὅτι τὸν τῆς ἐμῶν ὠδίνων καρπὸν παρεδέξασθε, ἢ ὅτι μήτηρ ἐγενόμην πασῶν μητέρων ἱερωτέρα. Οὐδὲν ὑπελειπόμην Κόσμῳ, πάντα Θεῷ παραδέδωκα, τὸν ἐμὸν θησαυρὸν, τὰς ἐμὰς γηροκόμους ἐλπίδας. Ὡς μεγαλοπρεπῶς τετίμημαι, ὡς ὑπερβαλλόντως γεγηροκόμημαι! Ἀπέχω τὰ τροφεῖα ὦ παῖδες, εἶδον ὑπὲρ ἀρετῆς ἀγωνιζομένους ὑμᾶς, πάντας στεφανίτας ἐθεασάμην, ὡς δυνατὰς ὁρῶ τὰς βασανιστάς. Μικρὸν καὶ τῷ τυράννῳ χάριτας ὁμολογῶ τῆς πάξεως, ὅτι με τελευταίαν ἐπαμύσατο

τοῖς κινδυνίοις, ἵνα τὸν ἐμὸν τόκον πρότερον θεατείσασα, καὶ καθ' ἕκαστον τῶν παίδων ἀθλήσασα, ὅπως ἐπαπέλθω σοὶ ἀσφαλείᾳ, τελείᾳ, τελείοις θύμασιν. Οὐ παράξομαι πόμην, οὐ διαῤῥήξω χιτῶνα, οὐ ξανθῶ σάρκας ὄνυξιν, οὐκ ἐγερῶ θρῆνον, οὐ καλέσω τὰς συνθρηνούσας, οὐ συγκλείσω ἐμαυτὴν εἰς σκότος, ἵνα καὶ αὐτὴρ συνθρηνήσῃ μοι, οὐκ ἀναμενῶ παρακλήτορας, οὐκ ἄρτον πενθήμον παραθήσομαι. Ταῦτα γὰρ τῶν ἀγεννῶν μητέρων, αἱ σαρκῶν μόνον εἰσὶ μητέρες, αἷς οἴχονται παῖδες, ἀνόνητόν τινος διηγήματος. Ἐμοὶ δὲ οὐ τεθνήκατε, φίλτατοι παίδων, ἀλλ' ἐναρποφορήθητε. Οὐκ ἐκλελοίπατε, ἀλλὰ μετελιλύθατε. Οὐ κατεξανθήτε, ἀλλὰ συνεπάγητε. Οὐ θηρίον ἥρπασεν ὑμᾶς, οὐ κῦμα ἐπέκλυσεν, οὐ λῃστὴς διέφθειρεν, οὐ νόσος διέλυσεν, οὐ πόλεμος παρηνάλωσεν, οὐκ ἄλλο οὐδὲν, ἢ μικρὸν, ἢ μεῖσον τῆς ἀνθρωπίνης. Ἐθρήνησα αὖ καὶ μάλα σφοδρῶς, εἴ τέτων ὑμῖν τι σωσυνέπεσεν· ἐφαίλω αὖ τότε τοῖς δάκρυσιν, ὡς νῦν μὴ δακρῦσαι, φιλότεκνος. Ἔτι καὶ ταῦτα μικρά. Οὕτως αὖ ὑμᾶς ἀπεκλαυσάμην, εἰ κακῶς ἐσώθητε, εἰ τῆς βασανίων ἠττήθητε, εἴ τινος ὑμῶν ἐκράτησαν, ὡς ἠττήθησαν νῦν οἱ διώκοντες. Τὰ δὲ νῦν, εὐφημία, χαρὰ, δόξα, χορεύσασίαι, φαιδρότητες τοῖς ὑπολειφθεῖσιν. Ἐγὼ γὰρ ὑμῖν ἐπισπεύδομαι, μετὰ Φινεὲς παχθησόμεθα, μετὰ Ἄννης δοξασθησόμεθα. Πλὴν ὅσον, ὁ μὲν εἷς, ἡμεῖς δὲ τοσῶτοι ζηλωταὶ πορνοκτόνοι, οὐ σωμάτων πορνείαν, ἀλλὰ ψυχῶν ἐκκεντήσαντες· καὶ ἡ μὲν σὰ θεόσδοτον, ἀρτιγενῆ καὶ τῶτον, ἐγὼ δὲ ἄνδρας ἑπτὰ, καὶ τέτρας ἑκόντας Θεῷ καθιέρωσα. Συμπληρέτω μοι καὶ Ἱερεμίας τὸν ἐπιτάφιον, οὐ θρηνῶν, ἀλλ' εὐφημῶν τελεστὴν ὁσίαν. Ὑπὲρ χιόνα ἐλάμψατε, ὑπὲρ γάλα ἐτυρώθητε, ὑπὲρ λίθον σάπφειρον τὸ σύνταγμα ὑμῶν, Θεῷ καὶ γεγεννημένων καὶ δεδομένων. Τί ἔτι; πρόσθες ὦ τύραννε κἀμὲ τοῖς παισὶν, εἴτις καὶ παρ' ἐχθρῶν χάρις, ἵν' ἧ σοι σεμνότερον τὸ ἀγώνισμα. Εἴθε μὲν καὶ διὰ πασῶν ἦλθον τῆς κολάσεων,

σεων, ἵνα ἀναμίξω τὰς ἐμὰς ἰχῶρας τοῖς ἐκείνων ἰχῶρσι, καὶ ταῖς σαρξὶ, τὰς γηραιὰς σάρκας. Ἀγαπῶ διὰ τὰς παῖδας καὶ τὰ κολασήρια. Εἰδὲ μὴ τοῦτο, ἀλλὰ τιὼ γε κόνιν, τῇ κάνει, καὶ τάφος εἷς ἡμᾶς ὑποδέξηται. Μὴ φθονήσῃς τελδυτῆς ὁμοτίμου, τοῖς ὁμοτίμοις τὴν ἀριετήν. Χαίρετε ὦ μητέρες, χαίρετε ὦ παῖδες. Οὕπως ἐκφέφετε τὰς ἐξ ὑμῶν προελθόντας, ἔτως ἐκφέφεδε. Καλὸν ὑπόδειγμα δεδώκαμεν ὑμῖν, πρὸς τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίζεδαι.

Ταῦτα ἔλεγε, καὶ προσετίδει τοῖς παισὶν ἑαυτιώ. Τίνα τρόπον; ὡς ἐπὶ νυμφῶνα τὴν πυρκαϊὰν δραμῶσα, ταύτιω γὸ κατεκείδη, καὶ ἀδὲ τὰς ἄγοντας ἀναμείνασα, ἵνα μὴ δὲ σῶμα φαύσειεν ἄναγνον, ἀγνοῦ καὶ γενναίκ σώματος. Οὕτως ἀπέλαυσε τῆς ἱερωσυίης Ἐλεάζαρ, μυηδεὶς καὶ μυήσας τὰ ἐπουράνια, καὶ ὑ τοῖς ἔξωδεν ῥαντισμοῖς τὸν Ἰσραὴλ ἁγιάσας, ἀλλ' οἰκείοις αἵμασι, καὶ ποιήσας τιὼ τελδυτιὼ τελδυταῖον μυστήριον. Οὕτω τῆς νεότητος οἱ παῖδες, ὑ ταῖς ἡδοναῖς δουλδίσαντες, ἀλλὰ τῷ παθῶν κυριδίσαντες, καὶ τὸ σῶμα καθαγνίσαντες, καὶ πρὸς ἀπαδῆ ζωιὼ μεταδέμενοι. Οὕπως ἀπέλαυσε τῆς πολυτεκνίας ἡ μήτηρ, ἔτω καὶ ζῶσιν ἐκαλλωπίσατο, καὶ ἀπελδοῦσι συναναπάυσατο, ὃς ἐγέννησε κόσμῳ, Θεῷ παράσησασα, καὶ τὰς ἑαυτῆς ὠδῖνας τοῖς ἄδλοις ἀπαειδμήσασα, καὶ τὸ τόκου τὴν ἀπολαδίαν τοῖς θανάτοις γνωρίσασα. Ἀπὸ γὸ τοῦ πρώτου τῷ παίδων μέχρι τοῦ τελδυταίκ τὰ τῆς ἀδλήσεως. Καὶ ὥσπερ ὲν κυμάτων ἐπανασάσεσιν, ἄλλος ἐπ' ἄλλῳ τιὼ ἀρετιὼ ἐπιδείκνυτο, καὶ εἰς τὸ πάσχειν ἦν προθυμότερος, τοῖς τοῦ προειληφότος κινδυνοις σομένους, ὥστε ἀγαπᾶν τὸν τύραννον, ὅτι μὴ πλειόνων ἐγεγόνει μήτηρ. Μᾶλλον γὸ αὖ ἀπῆλδε κατηχυμενούς καὶ ἠτιμενούς, καὶ τότε πρῶτον ἔγνω, μὴ παύτα τοῖς ὅπλοις ἰχύων, ὁπότε παισὶν ἀόπλοις προσέβαλεν, ὑὶ μόνῳ, τῇ δυσεβείᾳ καθωπλισμένοις, καὶ τῷ παύτα πάσχειν προθυμοτέροις, ἢ δρᾶν ἐκείνοις παρε-

σκολάζετο. Τῦτο τῆς Ἰεφθάε θυσίας ἀσφαλέστερον, καὶ μεγαλοπρεπέστερον. Οὐ γὰρ ἀναγκαίαν ἐποίει τὴν ἐπίδοσιν, ὥσπερ ἐκεῖ ἐπαγγελίας θερμότης, καὶ νίκης ἔρως ἀπεγνωσμένης· ἀλλ' ἑκούσιος ἱερουργία, καὶ μισθὸν ἔχουσα μόνα τὰ ἐλπιζόμενα. Τῦτο τῷ Δανιὴλ ἆθλων οὐκ ἀτιμότερον, παραδοθέντος εἰς βορὰν λέουσι, καὶ τῇ τῶν χειρῶν ἐκτάσει τὰς θῆρας νικήσαντος. Τοῦτο τῷ ἐν Ἀσυρίᾳ νεανίσκων ὁ δεύτερον, οὓς Ἄγγελος ἀνέψυξεν ἐν πυρὶ, τὸν παχῶν νόμον μὴ καταλύσαντας, μὴ δὲ ξοφλὺ προσιεμένους βέβηλον καὶ ἀνίερον. Τῦτο τῷ ὕστερον ὑπὲρ Χριστῦ θαυμάτων εἰς φιλοτιμίαν οὐκ ἔλαττον. Οἱ μὲν γὰρ, ὁ καὶ ἀρχόμενος εἶπον τὸ λόγε, τῷ Χριστῷ κατηκολύθησαν αἵματι, καὶ Θεὸς ἦν ὁδηγὸς τῷ τοιύτων ἄθλων, τοσαύτην ὑπὲρ ἡμῶν εἰσενεγκῶν εἰσφορὰν, καὶ ὕτω παράδοξον· τοῖς δὲ, ὰ πολλὰ, οὐδὲ τοιαῦτα τὰ τῆς ἀρετῆς ὑποδείγματα. Τύπων τὴν καρτερίαν ἐθαύμασε μὲν ἡ Ἰουδαία πᾶσα, καὶ ὡς αὐτὴ σεφανωθεῖσα ἠγάλλετο, καὶ διανίσατο. Καὶ γὰρ ἦν ἀγὼν ὅτος, καὶ ἀγώνων μέγιστος τῷ πώποτε περιεχόντων τὴν πόλιν, ἢ καταλυθῆναι τὸν νόμον κατὰ τὴν ἡμέραν ἐκείνην, ἢ δοξασθῆναι, καὶ ὡς ἐπὶ ξυρῷ τὰ πράγματα εἰσήκει τότε παντὶ τῷ τῶν Ἑβραίων γένει τὰ τῆς ἐκείνων ἀθλήσεως. Ἠγάσθη δὲ καὶ Ἀντίοχος, ὅπω μεταβαλὼν εἰς θαῦμα τὴν ἀπειλὴν (ἴσασι γὰρ θαυμάζειν ἀνδρῶν ἀρετὴν καὶ πολέμιοι, ὅτι αὖ τὸ θυμῷ λήξαντος, ἡ πρᾶξις ἐφ' ἑαυτῆς δοκιμάζηται) ὥς τε καὶ ἀπῆλθεν ἄπρακτος, πολλὰ μὲν τὸν Πατέρα Σέλευκον ἐπαινέσας τῆς εἰς τὸ ἔθνος τιμῆς, καὶ τῆς εἰς τὸ ἱερὸν μεγαλοψυχίας, πολλὰ δὲ Σίμωνα τὸν ἐπαγαγόντα μεμψάμενος, ὡς καὶ τῆς ἀπανθρωπίας αἴτιον, καὶ τῆς ἀδοξίας. Τύτες μιμώμεθα καὶ Ἱερεῖς, καὶ Μητέρες, καὶ Παῖδες. Οἱ μὲν, εἰς τὴν Ἐλεαζάρε τιμὴν τὸ πνευματικὸν Παχὸς, καὶ λόγῳ καὶ ἔργῳ τὸ βέλτιον παραδείξαντος· αἱ δὲ, τῆς γενναίας μητρὸς, ἀληθῶς φιλότεκνοι φανεῖσαι, καὶ Χριστῷ τὰς ἐξ αὐτῷ παρασήσασαι,

σαι, ἵνα καὶ γάμος ἁγιασθῇ διὰ τῆς τοιαύτης θυσίας. Οἱ δὲ, τὰς ἱερὰς αἰδέμενοι παῖδας, καὶ τὴν νεότητα δαπανῶντες, οὐκ ἐν τοῖς αἰσχροῖς πάθεσιν, ἀλλ' ἐν τοῖς κατὰ τῶν παθῶν ἀγωνίσμασι, καὶ πρὸς τὸν καθ' ἡμέραν Ἀντίοχον γενναίως ἀνδριζόμενοι, πᾶσι μέλεσι πολεμοῦντα, καὶ διαφόρως διώκοντα. Ποθῶ δὲ ἀθλητὰς ἔχειν κατὰ παντὸς καιρὸν καὶ τόπον, καὶ γένος ἅπαν, καὶ ἡλικίαν ἅπασαν, καὶ φανερῶς πολεμουμένων, καὶ ἀφανῶς ἐπιβαλλομένων, καὶ βοηθεῖσθαι μὲν τοῖς παλαιοῖς διηγήμασι, βοηθεῖσθαι δὲ καὶ τοῖς νέοις, καὶ παντοχόθεν ὥσπερ αἱ μέλισσαι, συλλέγειν τὰ χρησιμώτατα, εἰς σοῦ κηρίου φιλοτεχνίαν καὶ γλυκασμόν· ἵνα καὶ διὰ παλαιᾶς καὶ νέας εὐδοκιμῇ Θεὸς ἐν ἡμῖν, ὁ ἐν Υἱῷ καὶ Πνεύματι δοξαζόμενος, καὶ γινώσκων τὰς ἰδίας, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, ὁμολογούμενός τε καὶ ὁμολογῶν, δοξαζόμενος καὶ δοξάζων ἐν αὐτῷ τῷ Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ

Τὸν ἑαυτῦ Ἀδελφὸν Ἐπιτάφιος, περίοντων ἔτι τῶν Γονέων.

Οἶεσθέ με ἴσως, ὦ φίλοι καὶ ἀδελφοὶ καὶ Πατέρες, τὸ γλυκὺ καὶ φάγμα, καὶ ὄνομα, θρήνους ἐπιβαλόντα τῷ ἀπελθόντι καὶ ὀδυρμούς, ὑποδέχεσθαι προθύμως τὸν λόγον, ἢ μακρὰς ἀποτενόντα καὶ κομψὰς λόγους, οἷς οἱ πολλοὶ χαίρουσιν. Καὶ οἱ μὲν ὡς συμπενθήσοντες καὶ συνθρηνήσοντες παρεσκεύασθε, ἵν' ἐν τῷ ἐμῷ πάθει τὰ οἰκεῖα δακρύσητε, ὅσοις τι τοιοῦτόν ἐστι, καὶ σοφίσησθε τὸ ἀλγεῖν ἐν φιλικοῖς πάθεσιν, οἱ δὲ ὡς τινὰ ἀκοὴν ἐστιάσοντες, καὶ ἡδίους ἐσόμενοι. Χρῆναι δὲ ἡμᾶς ἐπίδειξιν ποιήσασθαι καὶ τινὰ συμφοράν, οἵα ποτε καὶ τὰ ἡμέτερα, καίπερ τἄλλα ἡμῶν ἱκανῶς περιττοὶ καὶ τὰ τῆς ὕλης, καὶ τὰ περὶ λόγους φιλότιμοι, μὴν ἀναβλέψαι πρὸς τὸν ἀληθῆ λόγον καὶ ἀνωτάτω, καὶ πάντα δόντες Θεῷ, παρ' οὗ τὰ πάντα, Θεὸν ἀντὶ πάντων λαβεῖν. Μηδαμῶς, μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε, εἴτι ὑπολαμβάνειν βούλεσθε δεξιόν. Οὔτε γὰρ θρηνήσομεν τὸν ἀπελθόντα πλέον ἢ καλῶς ἔχει, οἵ γε μηδὲ τῶν ἄλλων τὰ τοιαῦτα ἀποδεχόμεθα, ἅτε ἐπαινεσόμεθα πέρα τοῦ μέτρου καὶ πρέποντος, καίτοιγε δῶρον φίλον καὶ οἰκειότατον, εἴπέρ τι ἄλλο, τῷ λογίῳ λόγος, καὶ τῷ διαφερόντως ἀγαπήσαντι τοὺς ἐμοὺς λόγους, ἡ δυφημία, καὶ ὁ δῶρον μόνον, ἀλλὰ καὶ χρέος ἁπάντων χρεῶν δικαιότατον· ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα νόμον, καὶ δακρύσαντες καὶ θαυμάσαντες. Οὐδὲ γὰρ τοῦτο ἔξω τῆς καθ' ἡμᾶς φιλοσοφίας· μνήμητε γὰρ δικαίων μετ' ἐγκωμίων, καὶ ἐπὶ νεκρῷ φησιν, κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων σύναρξαι θρήνου, ἴσον ἀναλγησίας χωρίζων ἡμᾶς καὶ ἀμετρίας, τὸ μετὰ τοῦτο ἥδη, τῆς τε ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἐπιδείξωμεν, καὶ τὸ τῆς ψυχῆς ἀξιώματος ὑπομνήσωμεν, καὶ τὴν ὀφειλομένην

τοῖς

τοῖς ἀλγοῦσι παράκλησιν ἐπιθήσομεν, καὶ μεταθήσομεν τὸν λύπον ἀπὸ τῆς σαρκὸς καὶ τῶν προσκαίρων ἐπὶ τὰ πνευματικὰ καὶ ἀΐδια.

Καισαρείῳ Πατέρες μὲν, ἵν' ἐντεῦθεν ἄρξωμαι, ὅθεν ἡμῖν προπεπόδεσται, ἅς πάντες γινώσκετε, καὶ ὧν τῷ ἀρετῷ καὶ ὁρῶντες καὶ ἀκούοντες, ζηλοῦτε καὶ θαυμάζετε, καὶ διηγεῖσθε τοῖς ἀκούουσι, εἴπερ τινες εἰσὶν ἀνθρώπων, ἄλλος ἄλλο τι μέρος ἀπολαβόντες· ἐπεὶ μὴ πάντα τὸν αὐτὸν οἷόν τε, μηδὲ μιᾶς γλώσσης τὸ ἔργον, κἂν σφόδρα τις ᾖ τῶν φιλοπονωτάτων καὶ φιλοτίμων. Οἷς πολλῶν καὶ μεγάλων ὑπαρχόντων εἰς εὐφημίαν, εἰ μήτῳ περιττὸς εἶναι δοκῶ τὰ οἰκεῖα θαυμάζων, ἓν μέγιστον ἁπάντων, καὶ ὥσπερ ἄλλοτι ἐπίσημόν ἐστιν ἡ εὐσέβεια· τὰς σεμνὰς τάς δὲ λέγω καὶ πολιὰς, καὶ οὐχ ἧττον δι' ἀρετὴν αἰδεσίμους, ἢ διὰ γῆρας· ὧν τὰ μὲν σώματα χρόνῳ κέκμηκεν, αἱ ψυχαὶ δὲ Θεῷ νεάζουσι. Πατὴρ μὲν ἐκ τῆς ἀγχιελαίας καλῶς ἐγκενδρισθεὶς εἰς τὸν καλλιέλαιον, καὶ τοσοῦτον κοινωνήσας τῆς πιότητος, ὥστε καὶ ἄλλους ἐγκεντρίζειν πιοῦσθαι, καὶ θεραπείαν ἐγχειρισθῆναι ψυχῶν, ὑψηλῶς τὸ λαὸ τὸ δὲ προπαθέζόμενος. Ἀαρών τις δεύτερος, ἢ Μωϋσῆς Θεῷ πλησιάζειν ἠξιωμένος, καὶ θείαν φωνὴν χορηγεῖν τοῖς ἄλλοις ἱσαμένοις πόρρωθεν. Πρᾶος, ὀργητος, γαληνὸς τὸ εἶδος, θερμὸς τὸ πνεῦμα, πολὺς τὸ φαινόμενον, πλουσιώτερος τὸ κρυπτόμενον. Τί αὖ ὑμῖν ἀναζωγραφοίμην τὸ γινωσκόμενον; ὐδὲ γὰρ εἰ μακρὸν ἀποτείνοιμεν λόγον, εἴποιμεν αὖτι τοσοῦτον, ὅσον ἄξιον, καὶ ὅσον ἕκαστος συνεπίσταταί τε καὶ ἀπαιτεῖ τὸν λόγον, καὶ βέλτιον ταῖς ὑπονοίαις παραχωρεῖν, ἢ τῷ λόγῳ τὸ πολὺ περικόπτειν τοῦ θαύματος. Μήτηρ δὲ ἄνωθεν μὲν ἐκ προγόνων καθιερωμένη Θεῷ, καὶ κλῆρον ἀναγκαῖον ἐκ εἰς ἑαυτὴν μόνον, ἀλλὰ καὶ τὰς ἐξ αὐτῆς κατάγουσα τὴν εὐσέβειαν, ἐξ ἁγίας ἀπαρχῆς ὄντως ἅγιον φύραμα· τοσοῦτον δὲ αὐτὸ αὐξήσασά τε καὶ πλεονάσασα, ὥστε ἤδη τισὶ (φθέγξομαι γὰρ, εἰ καὶ τολ-

μηρὸς ὁ λόγος) μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα ἑτέρου τινὸς, ἢ ταύτης ἔργον γενέσθαι, πιστωθῆναί τε καὶ ῥηθῆναι, καὶ ὦ τοῦ θαύματος! ἆθλον δυσεβείας δοθῆναι μείζονα καὶ τελειοτέραν δυσέβειαν. Φιλόπαιδες ἄμφω καὶ φιλόχριστοι, τὸ παραδοξότατον, μᾶλλον δὲ φιλόχριστοι πλέον, ἢ φιλόπαιδες· οἷς γε καὶ τῶν τέκνων μία τις ἀπόλαυσις ἦν, τὸ ἀπὸ Χριστοῦ καὶ γνωρίζεσθαι καὶ ὀνομάζεσθαι· καὶ εἷς διδασκαλίας ὅρος ἡ ἀρετὴ, καὶ ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις. Εὔσπλαγχνοι, συμπαθεῖς, ἁρπάζοντες τὰ πολλὰ σπεύδοντες, καὶ λησταῖς, καὶ τοῖς κοσμοκράτορος, ἐκ τῆς παροικίας εἰς τὴν κατοικίαν μεταστασιάζόμενοι, καὶ κλῆρον μέγιστον τοῖς παισὶ τοῦτο ἐκεῖθεν λαμπρότητα θησαυρίζοντες· ἔτι τοι καὶ εἰς λιπαρὸν ἔφθασαν γῆρας, ὁμότιμοι καὶ τοῦτο ἀρετοῦτο καὶ τοῦτο ἡλικίαν, καὶ πλήρεις ἡμερῶν τοῦ τε μακαρσῶν ὁμοίως, καὶ τοῦ λυομένων. Παρὰ τοσοῦτον ἑκάτερος οὐκ ἔχων τὰ πρῶτα τοῦ ἐπὶ γῆς, παρ' ὅσον ὑπ' ἀλλήλων εἰς τὸ ὡρωτεῖον ἐκωλύοντο, καὶ πάσης δαιμονίας μέτρον ἐπλήρωσαν, πλοῦτος τῆς τελευταίας ταύτης, ὡς αὖ οἰηθείη τις, εἴτε δοκιμασίας χρὴ λέγειν, εἴτε οἰκονομίας· ἡ δέ ἐστιν, ὡς ὁ ἐμὸς λόγος, τὸν σφαλερώτερον τοῦ παίδων δι' ἡλικίαν προπέμψαντες, οὕτως ἤδη καταλῦσαι τὸν βίον ἐν ἀσφαλείᾳ, καὶ πρὸς τὰ ἄνω πανοικεσίᾳ μετατεθῆναι. Καὶ ταῦτα διῆλθον, οὐ τύπους ἐγκωμιάσαι βουλόμενος, οὐδὲ ἀγνοῶν, ὅτι μόλις ἄντις τῆς ἀξίας ἐφίκοιτο, καὶ ὅλως ὑπόθεσιν λόγου τὸν τούτων ἔπαινον ἐνεησάμενος, ἀλλ' ἵν' ἐπιδείξαι μοι ἐκ Πατέρων ὀφειλόμενον Καισαρίῳ τοῦτο ἀρετήν. Καὶ μὴ θαυμάζητε, μηδὲ ἀπιστῆτε, εἰ τοιούτων τυχὼν γεννητόρων, τοιούτων ἑαυτὸν παρέσχεν ἐπαίνων ἄξιον· ἀλλὰ τοὐναντίον, εἰ πρὸς ἑτέρους εἶδε, τοῦ οἰκείων καὶ τοῦ ἐγγύθεν ἀμελήσας ὑποδειγμάτων. Τὰ μὲν δὴ πρῶτα τοιαῦτα, οἷα προσῆκεν εἶναι τοῖς ὄντως εὖ γεγονόσι, καὶ καλῶς βιώσεσθαι μέλλουσιν. Ἵνα δὲ τὰ ἐν μέσῳ συντέμω, κάλλος καὶ μέγεθος, καὶ τοῦτο ἐπὶ πᾶσι τοῦ ἀνδρὸς χάριν,

καὶ

καὶ ὥσπερ ἐν φθόγγοις ἁρμοσίαν, ὅτι μηδὲ πρὸς ὑμῶν τὰ τοιαῦτα θαυμάζειν, εἰ καὶ τοῖς ἄλλοις ἁ μικρὰ φαίνεται, πρὸς τὰ ἐφεξῆς βαδιεῖται τοῦ λόγου, καὶ ἃ μηδὲ βουλομένῳ παραλιπεῖν ῥᾴδιον.

Ὑπὸ δὴ τοιούτοις ἤθεσι τραφέντες καὶ παιδευθέντες, καὶ τοῖς ἐνταῦθα μαθήμασιν ἱκανῶς ἐνασκηθέντες, ἐν οἷς ἐκεῖνος τάχει τε καὶ μεγέθει φύσεως, ὃ δ' ἂν εἴποι τις ὅσον ὑπὲρ τοὺς πολλοὺς ἦν. Ὦ, πῶς ἀδακρυτὶ τοῦ τότε παρέλθω μνήμην, καὶ μή με ἀφιλόσοφον ἐν λέξῃ τὸ πάθος παρὰ τοῦ ὑποχεσιν; ἀλλ' ἐπειδή γε ἀποδημίας καιρὸς ἐδόκει, καὶ τότε πρῶτον ἀπ' ἀλλήλων ἐχίσθημεν, ἐγὼ μὲν τοῖς κατὰ Παλαισίνην ἐγκαταμείνας παιδευτηρίοις αὐθῦσι τότε, κατὰ Ῥητορικῆς ἔρωτα, ὁ δὲ τὴν Ἀλεξάνδρου πόλιν καταλαβὼν παντοίας παιδεύσεως, καὶ τότε, καὶ νῦν ὄσαν τε καὶ δοκοῦσαν ἐργασήριον. Τί πρῶτον, ἢ τί μέγιστον εἴπω τῆς ἐκείνου καλῶς; τί δὲ παρεὶς, μὴ τῷ μεγίστῳ ζημιώσω τὸν λόγον; τίς μὲν ἐκείνου διδασκάλοις πιστότερος; τίς δὲ ἥλιξι προσφιλέστερος; τίς μὲν μᾶλλον ἀπέφυγε τὴν τῶν μοχθηρῶν ἑταιρείαν καὶ ὁμιλίαν; τίς δὲ τῇ τῶν βελτίστων ἑαυτὸν προσέθηκε πλεῖον, ἄλλοις τε, καὶ τῶν ἐκ τῆς πατρίδος τοῖς δοκιμωτάτοις καὶ γνωριμωτάτοις, εἰδὼς δὲ τοῦτο φέρειν μικρὸν εἰς ἀρετὴν, ἢ κακίαν, τὰς συνουσίας; ἐξ ὧν, τίς μὲν ἄρχουσιν ἐκείνου τιμιώτερος; τίς δὲ τῇ πόλει πάσῃ; καί τοιγε διὰ τὸ μέγεθος πάντων ἐγκρυπτομένων, ἢ ἐπὶ σωφροσύνῃ γνωριμότερος, ἢ ἐπὶ σοφίσει περιφανέστερος; Ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ ποῖον, ὡς οὐδὲ μόνον ἕτερος; τίνι δὲ παρῆκεν ἐγγὺς αὐτῷ γενέσθαι, καὶ κατὰ μικρόν; μὴ ὅτι τῷ καθ' ἑαυτὸν καὶ τῆς αὐτῆς ἡλικίας, ἀλλὰ καὶ τῶν πρεσβυτέρων καὶ παλαιοτέρων ἐν τοῖς μαθήμασι; καὶ πάντα ὡς εὖ ἐξασκήσας, καὶ ἀντὶ πάντων ἔκασον· τὰς μὲν πηγὰς τοῦ φύσιν, φιλοπονίᾳ νικήσας, τὰς δὲ γενναίας τὴν ἄσκησιν, διανοίας ὀξύτητι· μᾶλλον δὲ τάχει μὲν τὰς ταχεῖς,

χεῖς, ἀπεδῆ δὲ τὰς φιλοπόνους ὑπερβαλὼν, καὶ τοὺς κατ' ἄμφω δεξιὰς ἀμφοτέροις. Γεωμετρίας μὲν γε καὶ Ἀστρονομίας, καὶ τῆς ἐπικινδύνῳ τοῖς ἄλλοις παιδεύσεως, ὅσον χρήσιμον ἐκλεξάμενος (τοῦτο δὲ ἴσως, ἐκ τῆς τῶν οὐρανίων διαρμονίας, καὶ τάξεως, τὸν Δημιουργὸν θαυμάσαι) ὅσον βλαβερὸν ταύτης, διέφυγεν, ἀ τῇ φορᾷ τῶν ἄστρων, διδοὺς τὰ ὄντα καὶ τὰ γινόμενα, ὡς οἱ τῷ ὁμόδουλον ἑαυτῆς κτίσιν, ἐπανιστάντες τῷ κτίσαντι, Θεῷ δὲ καὶ τ' ἄλλα πάντα ὥσπερ εἰκὸς, ἀνατιθεὶς, καὶ τὴν τούτων κίνησιν. Ἀριθμῶν δὲ καὶ λογισμῶν, καὶ τῆς θαυμασίας Ἰατρικῆς, ὅσα τὰ περὶ φύσεις καὶ πράσεις, καὶ τὰς ἀρχὰς τῶν νοσημάτων φιλοσοφεῖ, ὥς τε ταῖς ῥίζαις ἀναιρεμένας συνεκπίπτειν καὶ τὰ βλαστήματα· τίς ἔτως ἀμαθὴς ἢ φιλόνεικος, ὡς ἐκείνῳ δοῦναι τὰ δεύτερα, καὶ μὴ ἀγαπᾶν, εἰ μετ' ἐκεῖνον δεύτερος ἀριθμοῖτο, τὸ πρεσβεῖον ἐν τοῖς δευτέροις φερόμενος; καὶ ταῦτα ἐ λόγος ἐστὶν ἁμάρτυρος· ἀλλ' Ἐώακε ὁμῶ λῆξις καὶ Ἐωσφόρος, καὶ ὅσῳ ἐκεῖνος ἐπῆλθεν ὕστερον, ἐπίσημος ἔπλαι τῆς ἐκείνου παιδεύσεως. Ἐπεὶ δὲ πᾶσαν ἀρετήν τε καὶ μάθησιν, ὥσπερ μεγάλη φορτὶς παντοδαπὴν ἐμπορίαν, εἰς μίαν τῷ ἑαυτῷ ψυχῷ συλλεξάμενος, ἐπὶ τὴν ἑαυτῶ πόλιν ἐσέλλετο, ὡς αὖ καὶ τοῖς ἄλλοις μεταδοίη τῶν καλῶν ἀγωγίμων τῆς ἑαυτῶ παιδεύσεως, ἐνταῦθά τι καὶ συνηνέχθη πρᾶγμα θαυμάσιον, ὃδεν δὲ οἷον καὶ ὃ ἐμέγε μάλισα πάντων ἀφραίνει τὸ μνημονεῦσαι, καὶ ὑμᾶς αὖ ἡδίας ποιήσειεν) ἐν βραχεῖ διηγήσασθαι. Ἤυχετο μὲν ἡ μήτηρ, ἀνχῷ μηχανῶ τινα καὶ φιλόπαιδα, ὥσπερ ἐξέπεμψεν ἀμφοτέρους, ἔτω καὶ σὺν ἀλλήλοις ἐπανελθόντας ἰδεῖν. Ξυνωρὶς δὲ ἐδοκεῖ μοί τις, καὶ εἰ μὴ τοῖς ἄλλοις, μητεί γ' ἔν, ἀνχῆς καὶ θέας ἀξία συὶ ἀλλήλοις ὁρώμενοι, ἢ νῦν κακῶς ὑπὸ τῶ φθόνω διαλυθεῖσα. Θεῶ δὲ ἔπω κινήσαντος, ὃς ἀκέει δικαίας ἀνχῆς, καὶ φίλτρον τιμᾷ γονέων εἰς παῖδας ἀγνώμονας, ἐξ οὐδεμιᾶς ἐπινοίας οὐδὲ συνθήματος, ὁ μὲν ἀπὸ τῆς Ἀλεξανδρείας, ὁ δὲ ἀπὸ τῆς Ἑλλάδος,

κα-

κατὰ τὸν αὐτὸν χρόνον, εἰς τὴν αὐτὴν πόλιν. Ὁ μὲν ἀπὸ γῆς, ὁ δὲ ἀπὸ θαλάσσης κατήραμεν. Ἡ πόλις δὲ ἦν τὸ Βυζαντίον, ἡ νῦν προκαθεζομένη τῆς Εὐρώπης πόλις, ἐν ᾗ τοσοῦτον Καισάριος πλέος, ὑ πολλῶ χρόνω διελθόντος, ἠνέγκατο, ὥς τε δημοσίας τιμὰς αὐτῷ καὶ γάμον τῆ δ' ὁσίμων ἢ τῆς Συγκλήτε βελῆς μετασίαν προτεθῆναι, καὶ πρὸς Βασιλέα πρεσβείαν σαλῆναι τὸν μέγαν, ἀπὸ κοινοῦ δόγματος τῶ πρώτω πόλιν τῷ πρώτῳ λογίων κοσμηθῆναί τε ἢ τιμηθῆναι· εἶτι μέλει αὐτῷ τὸ πρώτην ἀληθῶς εἶναι, καὶ τῆς ἐπωνυμίας ἀξίαν. Καὶ τοῦτο προστεθῆναι πᾶσι τοῖς ὑπὲρ αὐτῆς διηγήμασι, τῷ Καισαρίῳ καλλωπίζεσθαι, ἢ ἰαζῷ ἢ οἰκήτορι. Καί τοιγε μετὰ τῆς ἄλλης λαμπρότητος πολλοῖς ἢ μεγάλοις δ' ὑνασμείνην ἀνδράσι, κατά τε φιλοσοφίαν, κατά τε τὴν ἄλλω παίδευσιν. Ἀλλὰ τοῦτο μὲν ἱκανῶς· τότε δ' ἦν τὸ γενόμενον, τοῖς μὲν ἄλλοις σωτυχία τις ἔδοξεν ἄλογος ἢ ἀναίτιος, οἷα φέρει πολλὰ τὸ αὐτόματον ἐν τοῖς ἡμετέροις, τοῖς δὲ φιλοθέοις καὶ λίαν εὔδηλον ἦν, μὴ ἄλλο τι τὸ συμβαὶ εἶναι, ἢ γονέων θεοφιλῶν ἔργον, ἐκ γῆς ἢ θαλάττης τὰς παῖδας συναγόντων, εἰς μίαν δ' ἐχῆς ἐκπλήρωσιν. Φέρε μὴ δὲ τοῦτο τῷ Καισαρίου καλῶν παρέλθωμεν, ὃ τοῖς μὲν ἄλλοις ἴσως μικρὸν, ἢ ὐδὲ μνήμης ἄξιον, ἐμοὶ δὲ καὶ τότε ἢ νῦν μέγιστον ἔδοξεν, εἴπερ τῷ ἐπαινετῷ ἡ φιλαδελφία· ἢ ὐ παύσομαι τιθεὶς ἐν προοίμοις, ὁσάκις αὖ τὰ ἐκείνε ἐκδιηγῶμαι. Κατεῖχε μὲν αὐτὸν αἷς εἶπον τιμαῖς ἡ πόλις, ἢ ὐδ' αὖ εἴτι γένοιτο, μεθήσειν ἔφασκεν. Ἐγὼ δὲ ἀνθέλκων ἴσχυσα, ὁ πάντα Καισαρίῳ πολὺς ἢ τίμιος, ἢ τοῖς γονεῦσι τὴν δ' ὐχὴν πλησῶσαι, ἢ τῇ παῖδι τὸ χρέος, ἢ ἑμαυτῷ τὸν πόθον· λαβὼν τῆς ὁδῦ κοινωνὸν καὶ συνέμπορον, καὶ προτιμηθεὶς ὑ πόλεων ἢ δήμων μόνον, ὐδὲ τιμῶν ἢ πόρων, οἳ πολλοὶ ἢ πολλαχόθεν· οἱ μὲν συνέρρεον ἐκείνῳ, οἱ δὲ ἠλπίζοντο, ἀλλὰ ἢ αὐτῦ τοῦ Βασιλέως χεδὸν, ἢ τῷ ἐκεῖθεν ἐπιταγμάτων. Ἐντεῦθεν ἐγὼ μὲν φιλοσο-

σοφεῖν διέγνων, καὶ πρὸς τὸν αὖω βίον μεθαρμοσθῆναι, ὥσπερ τινα βαρυὺ δεσπότιν καὶ ἀῤῥώστημα χαλεπὸν, πᾶσαν φιλοτιμίαν ἀποσεισάμενος· μᾶλλον δὲ ὁ μὲν πόθος πρεσβύτερος, ὁ δὲ βίος ὕστερος. Τὸν δὲ τὰ πρῶτα τῆς παιδεύσεως αὐαθέντα τῇ ἑαυτῆ παιδίᾳ καὶ θαυμασθέντα τῷ πόνων ἀξίως, μετὰ τοῦτο, δόξης ἐπιθυμία, καὶ τὸ προσατδεῖν τῆς πόλεως, ὡς ἐμέ γε συνέπεισθε, τοῖς βασιλείοις δίδωσιν, ἃ παύυ μὲν ἡμῖν φίλα ποιοῦντα, καὶ καὶ γνώμην (καὶ γὰρ ἀπολογήσομαι πρὸς ὑμᾶς.) ὅτι πολλοστὸν τεπάχθαι παρὰ Θεῷ κρεῖττον εἶναι δοκεῖ τε καὶ ὑψηλότερον, ἢ παρὰ σὲ κάτω Βασιλεῖ τὰ πρῶτα φέρεσθαι. Οὐ μὴν ἄξιός γε μέμψεως· φιλοσοφεῖν μὲν γὰρ ὅσῳ μέγιστον, τοσούτῳ καὶ χαλεπώτατον, καὶ ὑ πολλῶν τὸ ἐγχείρημα, οὐδὲ ἄλλον, ἢ τῷ ὑπὸ τῆς θείας προκεκλημένων μεγαλονοίας, ἢ τοῖς προῤῥιμένοις καλῶς χεῖρα δίδωσιν. Οὐ μικρὸν δὲ εἴτις τὸν δεύτερον προστησάμενος βίον, καλοκἀγαθίας μεταποιοῖτο, καὶ πλείω λόγον ἔχοι Θεῷ καὶ τῆς ἑαυτῆ σωτηρίας, ἢ τῆς κάτω λαμπρότητος. Καὶ τῳ μὲν ὡς σκηνῇ προβάλλοιτο, ἤ τι πρόσωπεῖον τῷ πολλῶν καὶ προσκαίρων, τὸ τε κόσμου τούτου δρᾶμα ὑποκεινόμενος, αὐτὸς δὲ ζῴοι Θεῷ μετὰ τῆς εἰκόνος, ᾗ οἵδε παρ' ἐκείνου λαβὼν καὶ ὀφείλων τῷ δεδωκότι. Ὅπερ ἀμέλει καὶ Καισάριον διανοηθέντα γινώσκομεν· τάττεται μὲν γὰρ τὴν πρώτην ἐν ἀξιοῖς τάξιν, οὐδὲ πολλῷ πόνῳ προσδεηθείς, ἀλλ' ἐπιδείξας μόνον τῳ παιδεύσιν, μᾶλλον δὲ βραχύ τινα τῆς παιδεύσεως πρόλογον, καὶ ἐν τοῖς φίλοις τοῦ Βασιλέως εὐθὺς ἀριθμούμενος, τὰς μεγίστας καρπεῖται τιμάς. Ἄμισθον δὲ τῳ τῆς τέχνης φιλανθρωπίαν τοῖς ἐν τέλει προτίθησιν· εἰδὼς οὐδὲν ὅπως, ὡς ἀρετὴν, καὶ τὸ ἐπὶ τοῖς καλλίστοις γινώσκεσθαι προάγειν εἰς τὸ ἔμπροσθεν· καὶ ὢν τῇ τάξει δεύτερος ἦν, τούτων καὶ πολὺ μείζω τῇ δόξῃ. Πᾶσι μὲν οὖν διὰ σωφροσύνην ἐπέρασος, καὶ διὰ τοῦτο τὰ τίμια πιστεύομενος, καὶ μηδὲν Ἱπποκράτης ὅρκῳ προσδεόμενος, ὡς μηδὲν εἶναι καὶ

τῳ

τὴν Κράτητος ἁπλότητα πρὸς τὴν ἐκείνου θεωρουμένην, πᾶσι δὲ πλέον, ἢ κατὰ τὴν ἀξίαν αἰδέσιμος, μεγάλων μὲν ἀεὶ τῶν παρόντων ἀξιούμενος, μειζόνων δὲ ἄξιος εἶναι τῶν ἐλπιζομένων νομιζόμενος, τοῖς τε βασιλεῦσιν αὐτοῖς, καὶ ὅσοι τὰ πρῶτα μετ' ἐκείνους ἔχουσι. Τὸ δὲ μέγιστον, ὅτι μήτε ὑπὸ τῆς δόξης, μήτε ὑπὸ τῆς ἐν μέσῳ ξυφῆς, τὴν τῆς ψυχῆς εὐγένειαν διεφθάρη. Ἀλλὰ πολλῶν καὶ μεγάλων ὑπαρχόντων αὐτῷ, πρῶτον ἦν εἰς ἀξίωμα Χριστιανὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι, καὶ παίπα ὁμοῦ παιδιάτις ἐκείνῳ καὶ λῆρος, πρὸς οὐ τοῦτο νομίζοντα· τὰ μὲν γὰρ ἄλλα ὡς ἐπὶ σκηνῆς καὶ ἄλλοις παίζεσθαι, τάχιστα πηγνυμένης τε καὶ καταλυομένης· τάχα δὲ φθειρομένης ῥᾷον, ἢ σωιζομένης, ὡς εἶναι ἰδεῖν ἐκ τῶν πολλῶν τοῦ βίου μεταβολῶν, καὶ τῆς ἄνω καὶ κάτω μεταπιπτούσης εὐπρεπείας· μόνον δὲ ἴδιον ἀγαθὸν εἶναι καὶ παραμένον ἀσφαλῶς, τὴν εὐσέβειαν.

Ταῦτα Καισαρείῳ ἐφιλοσοφεῖτο, καὶ τῇ χλαμύδι· ταύταις καὶ συνέζησε ταῖς ἐννοίαις, καὶ συναπῆλθε μείζων τῆς φαινομένης εἰς τὸ κοινὸν εὐσεβείας, Θεῷ γνωρίζων καὶ παρισὰς τὴν κατὰ τὸν κρυπτὸν ἄνθρωπον. Καὶ εἴ με δεῖ πάντα παραιτῶν, τὴν προσασίαν τῶν ἐκ γένους ἀτυχησάντων, τὴν ὑπεροψίαν τοῦ τύφου, τὴν πρὸς τοὺς φίλους ἰσοτιμίαν, τὴν πρὸς τοὺς ἄρχοντας παρρησίαν, τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας καὶ λόγους, οὓς πολλάκις καὶ πρὸς πολλοὺς συνεστήσατο, οὐ λογικῶς μόνον, ἀλλὰ καὶ λίαν εὐσεβῶς τε καὶ διαπύρως, οὐ αὐτὶ πάντων εἰπεῖν τῶν ἐκείνου τὸ γνωριμώτατον. Ἐλύσατο καθ' ἡμῶν Βασιλεὺς ὁ δυσώνυμος καὶ καθ' ἑαυτὸν πρῶτον μανείς, ἐκ τῆς εἰς Χριστὸν ἀθετήσεως, ἀφόρητος ἤδη καὶ τοῖς ἄλλοις ἦν· ὃς ἐν ἴσῳ τοῖς λοιποῖς χριστομάχοις, μεγαλοψύχως ἀποχαφόμενος εἰς τὴν ἀσέβειαν, ἀλλὰ κλέπτων τὸν διωγμὸν ἐν ἐπιεικείας πλάσματι, καὶ κατὰ τὸν σκολιὸν ὄφιν, ὃς τὴν ἐκείνου κατέσχε ψυχὴν, παντοίαις μηχαναῖς ὑποσπῶν τοὺς ἀθλίους εἰς τὸ ἑαυτοῦ βάραθρον. Καὶ τὸ μὲν πρῶτον αὐτὸς πέπλασμάτε καὶ σόφισμα, ἵνα

μηδὲ

μηδὲ τῆς ἐπὶ τοῖς ἄθλοις τιμῆς τυγχανώμεν (ἐφθόνει γὰρ καὶ ταύτης Χριστιανοῖς ὁ γενάδας) πάσχοντας ὡς Χριστιανὸς, ὡς κακέργους κολάζεσθαι. Τὸ δὲ δεύτερον, πειθῆς ὄνομα προσεῖναι τῷ γινομένῳ, μὴ τυραννίδος, ὡς αὖ μεῖζον ἢ τὸ κινδύνου τὸ τῆς αἰσχύνης, αὐθαιρέτως χωρῆσι πρὸς τὴν ἀσέβειαν. Καὶ τὰς μὲν χήμασι, τὰς δὲ ἀξιώμασι, τὰς δὲ ὑποχέσεσι, τοὺς δὲ παντοίαις τιμαῖς ὑφελκόμενος, ἃς οὐδὲ βασιλικῶς προσῆγεν, ἀλλὰ καὶ λίαν δολοφρεπῶς, ἐν ταῖς ἁπάντων ὄψεσι, πάντας δὲ τῇ γοητείᾳ τῆς λόγων, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ἐπὶ πολλοῖς πειρᾶται καὶ Καισαρίου. Φεῦ τῆς παραπλιξίας καὶ τῆς ἀνοίας, εἰ Καισαρίόν τε ὄντα καὶ ἀδελφὸν ἐμὸν, καὶ τῶν γονέων τέκνον, συλήσειν ἤλπισεν! Ἀλλ' ἵνα μικρὸν προσδιατρίψω τῷ λόγῳ, καὶ καταξυφήσω τὸ διηγήματος, ὡς οἱ παρόντες τὸ θεάματος, εἰσῆει μὲν ὁ γενάδας ἐκεῖνος, τῇ τὸ Χριστὸ σημείῳ φραξάμενος, καὶ τὸν μέγαν λόγον ἑαυτῷ προβαλλόμενος, πρὸς τὸν πολὺν ἐν ὅπλοις καὶ μέγαν ἐν λόγων δεινότητι· ὑδὲ καταπλαγεὶς πρὸς τὴν ὄψιν, οὐδὲ θωπεία τι καταβαλὼν τὸ φρονήματος· ἀθλητὴς ἕτοιμος λοιδ καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸν ἐν ἀμφοτέροις δυνατὸν ἀγωνίζεσθαι. Τὸ μὲν ἓν εὐάδιον τοιοῦτον, καὶ ὁ τῆς δυσεβείας ἀγωνιστὴς τοσοῦτος, καὶ ἀγωνοθέτης, οἷον μὲν Χριστὸς τοῖς ἑαυτῷ πάθεσι τὸν ἀθλητὴν ὡξοπλίζων· ἐκεῖθεν δὲ δεινὸς τύραννος, τῇ τῆς λόγων οἰκειότητι προσαίνων, καὶ τῷ τῆς ἐξουσίας ὄγκῳ δεδιττόμενος. Θέατρον δὲ ἀμφοτέρωθεν, τῶν τε τῇ δυσεβείᾳ λειπομένων ἔτι, καὶ τῆς ὑπ' ἐκείνου συνηρπασμένων· ὅπη νοῦσῃ τὰ κατ' αὐτὸς ἀποσκοπούντων, ὅστις νικήσειε πλείω τὴν ἀγωνίαν ἐχόντων, ἢ περὶ ὃς τὸ θέαζον. Ἆρ' οὐκ ἔδεισας περὶ Καισαρίου, μήτι πάθῃ τῆς προθυμίας ἀνάξιον; ἀλλὰ θαρσεῖτε· μετὰ Χριστὸ γὰρ ἡ νίκη τὸ τὸν Κόσμον νικήσαντος. Τὰ μὲν ἓν καθ' ἕκαστον τῆς τότε ῥηθέντων, ἢ προτεθέντων ἐκδιηγεῖσθαι τὰ νῦν, ἐγὼ μὲν εὖ ἴσε τὸ παντὸς ἂν ἐτι-

μη-

μησάμην. Καὶ ᾗ γὲ κ᾽ λογικάς τινας ἐσὶν ἃς ἔχει τροφὰς κ᾽ κομψείας ὁ λόγος, ἐμοὶ γᾶν ἂν ἀνθεῖς εἰς μνήμην, ἔξω δ᾽ ἂν εἴη παντελῶς τᾶ καιρᾶ κ᾽ τᾶ λόγα. Ὡς δὲ πάσας αὐτᾶ τὰς ἐν τοῖς λόγοις πλοκὰς διαλύσας, καὶ πεῖραν ἅπασαν ἀφανῆ τε, καὶ φανεράν, ὥσπερ τινα παιδιὰν παρωσάμενος, μεγάλῃ κ᾽ λαμπρᾷ τῇ φωνῇ, τὸ Χρισιανός εἰναί τε καὶ μένειν ἀνεκήρυξεν· ὧδε οὕτω μὲν παντελῶς ἀποπέμπεται. Καὶ ᾗ γὲ δεινὸς ἔρως εἶχε τὸν Βασιλέα, τῇ Καισαρίᾳ παιδθσει συνεῖναι κ᾽ καλλωπίζεσθαι. Ἡνίκα κ᾽ τὸ περιβόητον τᾶτο ἐν ταῖς τᾦ πάντων ἀκοαῖς ἐφθέγξατο· ὦ Παῖδὸς δ᾽τυχᾶν, ὦ παίδων δυσυχῶν! Ἐπειδὴ καὶ ἡμᾶς ἠξίωσαι τιμᾶσαι τῇ κοινωνίᾳ τᾶς ἀτιμίας, ἂν κ᾽ τὴν παίδθσιν Ἀθήνησιν ἔγνω, κ᾽ τὴν δ᾽σέβειαν. Δθτέρᾳ δὲ εἰσόδῳ ταμιθθεὶς, ἐπειδή γε κατὰ Περσῶν ἐκεῖνον ἡ δίκη καλῶς ἐξώπλισεν, ἐπαίσι τρὸς ἡμᾶς φυγὰς μακάριος, κ᾽ ξοπαιᾶχος ἀναίμακτος, καὶ περιφανέσερος τὴν ἀτιμίαν ἢ τὴν λαμπρότητα. Ταύτῳ ἐγὼ τῳ νίκῳ τᾶς πολλᾶς ἐκείνα χειρὸς, κ᾽ τᾶς ὑψηλᾶς ἀλκᾶς, κ᾽ τᾶ πολυτελᾶς διαδήματος, ὑψηλοτέραν κείνω μακρῷ καὶ τιμιωτέραν. Τάτῳ τᾦ διηγήματι πλέον ἐπαίρομαι, ἢ εἰ πᾶσαν ἐκείνῳ τὴν βασιλείαν ἀπεμερίσατο. Τοῖς μὲν οὖν πονηροῖς ὑποχωρεῖ χρόνοις, καὶ τᾶτο κατὰ τῳ ἡμετέραν νομοθεσίαν, ἐνιαύτος μὲν καιροῦ, διακινδυνθθεῖν ὑπὲρ τᾶς ἀληθείας, κ᾽ μὴ φροδιδόναι δειλίᾳ τῳ δ᾽σέβειαν, ἕως δ᾽ ἂν ᾖ, μὴ φροκαλεῖσθαι τὰς κινδύνους κελθθσαν, εἴτε δέει τᾦ ἡμετέρων ψυχῶν, εἴτε φειδοῖ τᾦ ἐπιγόντων τὸν κίνδυνον. Ἐπεὶ δὲ ὁ ζόφος ἐλύθη, κ᾽ ἡ ὑπεροχία καλῶς ἐδίκασε, κ᾽ ἡ σιλβωθεῖσα ῥομφαία τὸν ἀσεβῆ κατέβαλε, κ᾽ Χρισιανοῖς ἐπανῆλθε τὰ πράγματα, τί δεῖ λέγειν μεθ᾽ οἵας δόξης τε κ᾽ τιμῆς, ἢ τᾦ μαρτυρίων οἵων κ᾽ ὅσων, καὶ ὡς διδοὺς χάριν μᾶλλον, ἢ κομιζόμενος, τοῖς βασιλθοῖς αὖθις ἀναλαμβάνεται, καὶ διαδέχεται τῳ φοτέραν τιμὴν ἡ δθτέρα; κ᾽ Βασιλεῖς μὲν ὁ χρόνος παρήμειψε, Καισα-

σαρίῳ δὲ τὸ τῆς δόξης ἄλυτον, καὶ τῷ παρ' αὐτοῖς πρωτείων, καὶ ἀγῶν βασιλεύσιν, ὅσις μᾶλλον Καισάρειον οἰκειώσηται, καὶ ἓ μᾶλλον ἐκεῖνος ὀνομαθῇ φίλοι καὶ γνώριμος.

Τοιαῦτα Καισαρίῳ τὰ τῆς δυσεβείας, καὶ παρὰ τῆς δυσεβείας. Ἀκκέπωσαν καὶ νέοι καὶ ἄνδρες, καὶ διὰ τῆς αὐτῆς ἀρετῆς, πρὸς τὸ αὐτὸ ἐπιφάνειαν ἐπειγέθωσαν· ἀγαθῶν γὰρ πόνων καρπὸς δόκλεὶς, ὅσοις καὶ τῦτο διὰ σπουδῆς, καὶ μέρος δόδαιμονίας ὑπολαμβάνεται. Ἀλλ' οἷον δὴ καὶ τοῦτο τῷ περὶ αὐτὸν θαυμάτων, ὁμῶ τε τῆς τῷ γονέων θεοσεβείας, καὶ τῆς ἐκείνου μεγίστω ἔχον ἀπόδειξιν. Διέτριβε μὲν ἐν τῇ Βιθυνῶν, τὴν ἐ πολλοστὸν ἀπὸ Βασιλέως διέπων ἀρχόν. Ἡ δὲ δῶ, ταμιεύειν βασιλεῖ τὰ χρήματα, καὶ τῷ θησαυρῶν ἔχειν τὴν ἐπιμέλειαν. Ἐντεῦθεν δὴ αὐτῷ τὰς μείζως ἀρχὰς Βασιλεὺς προοιμάζεται. Τῶ δὲ πρώτω σωσπεχθέντος ἐν Νικαίᾳ σεισμῶ, ὃς δὴ χαλεπώτατος τῷ πώποτε μνημονδομένων γεγονέναι λέγεται, μικρῶ τὰς πάντας ἐγκαταλαβόντος, καὶ τῷ τῆς πόλεως κάλλει σωαφανίσαντος, μόνος τῷ ἐπιφανῶν, ἢ κομιδῇ σὺν ὀλίγοις, ἐκ τῶ κινδύνω περισώζεται, καὶ σωτηρίαν ἀπισωμένω, αὐτῷ σκεπασθεὶς τῷ συμπτώματι, καὶ μικρὰ σημεῖα τῶ κινδύνου φερόμενος, ὅσον τὸν φόβον παιδαγωγὸν λαβεῖν τῆς μείζονος σωτηρίας, καὶ ὅλος τῆς ἄνω γενέθαι μοίρας, μεταθέμενος τὴν στρατείαν ἐκ τῷ κινωμένων, καὶ ἀμείψας ἑαυτῷ τὰ βασίλεια. Τῦτο μὲν ἦν καὶ διενοεῖτο, καὶ κῷ σπεδίῳ ἑαυτῷ συνηύχετο, ὡς πρὸς ἐμὲ χάφων ἔπειθεν, ἁρπάσαντα τὸν καιρὸν εἰς νεθέτησιν, ὅπερ ὀδ' ἄλλοτε ποιῶν ἐπαυσάμην, ζηλοτυπῶν τὸ ἐκείνω μεγαλοφυὲς, στρεφόμενον ἐν τοῖς χείροσι, καὶ τὴν φιλόσοφον ὅπω ψυχὼ ἐν τοῖς δημοσίοις καλινδωμένην, καὶ ὥσπερ ἥλιον νέφει συγκαλυπτόμενον. Ἀλλὰ τῶ μὲν σεισμοῦ κρείττων ἐγένετο, τῆς νόσω δὲ ὐκ ἔτι· καὶ γὰ ἦν ἄνθρωπος· καὶ τὸ μὲν ἴδιον ἐκείνω, τὸ δὲ κοινὸν πρὸς τὰς ἄλλως. Καὶ τὸ μὲν

τῆς

τῆς δυσεβείας, τὸ δὲ τῆς φύσεως, καὶ παρέλαβεν ἡ παραμυθία τὸ πάθος, ἵνα τῷ θανάτῳ σεισθέντες, τῷ παραδόξῳ τῆς τότε σωτηρίας ἐγκαυχησώμεθα. Καὶ νῦν ἡμῖν ὁ πολὺς Καισάριος ἀποσέσωσται, κόνις τιμία, νεκρὸς ἐπαινούμενος, ὕμνοις ἐξ ὕμνων παραπεμπόμενος, Μαρτύρων βήμασι πομπευόμενος, γονέων χερσὶν ὁσίαις τιμώμενος, μηδὲ λαμπροφορείᾳ τῷ πάθει τὴν δυσέβειαν ἀντεισαγούσης, δάκρυσιν ἡττωμένοις φιλοσοφία, ψαλμῳδίαις κοιμιζούσαις τὰς θρήνους, καὶ τῆς νεοκτίστου ψυχῆς, ἣν τὸ πνεῦμα δι' ὕδατος ἀνεμόρφωσεν, ἄξια τὰ γέρα καρπούμενος. Τοῦτό σοι Καισάριε παρ' ἐμοῦ τὸ ἐπάφιον. Αὗται τῆδ' ἐμῶν λόγων αἱ ἀπαρχαὶ, οὓς κρυπτομένους πολλάκις μεμψάμενος, ἐπὶ σεαυτὸν γυμνώσειν ἔμελλες. Οὗτος ὁ παρ' ἐμοῦ κόσμος, σοὶ δὲ κόσμος παντὸς εὖ οἶδα φίλτατος, οὐ σιρῶν περιρρέοντα καὶ μαλακὰ νήματα, οἷς οὐδὲ πεζιὸν ἔχαιρες κατὰ τὰς πολλοὺς, ἀρετῇ μόνῃ κοσμούμενος, οὐδὲ λίνα διαφανοῦς ὑφάσματα, οὐδὲ μύρων πολυτίμων ἐπιχύσεις, ἃ ταῖς γυναικωνίτισιν ἀπεπέμπε καὶ πρότερον, καὶ ὧν ἡμέρα μία λύει τὴν δυσδίαν, οὐδὲ ἄλλό τι τῆδ' μικρῶν καὶ τοῖς μικροῖς τιμίων, ἃ πάντα κατέκρυψεν αὖ σήμερον ὁ πικρὸς λίθος οὗτος, μετὰ τὸ καλοῦ σώματος. Ἐῤῥέπωσαί μοι καὶ ἀγῶνες Ἑλληνικοὶ καὶ μῦθοι, δι' ὧν ἔφηβοι δυσυχεῖς ἐτιμήθησαν, μικρὰ μικρῶν ἀγωνισμάτων προτιθέντες τὰ ἔπαθλα· καὶ ὅσα διὰ χοῶν τε καὶ ἀπαργμάτων, ἢ σεμμάτων τε καὶ αὐθέων νεοδρέπτων, ἀφοσιοῦνται τοὺς ἀπελθόντας ἀνθρώπους, νόμῳ πατείῳ μᾶλλον, καὶ ἀλογίᾳ πάθους, ἢ λόγῳ δηλοῦντες. Τὸ δὲ ἐμὸν δῶρον, λόγος, ὃ τάχα καὶ ὁ μέλλων ὑπολήψεται χρόνος ἀεὶ κινούμενον, καὶ οὐκ ἐῶν εἰς τὸ παντελὲς ἀπελθεῖν τὸν ἐνθένδε μεταχωρήσαντα· φυλάσσων δὲ ἀεὶ καὶ ἀκοαῖς καὶ ψυχαῖς τὸν τιμώμενον, καὶ πινάκων ἐναργεστέραν προτιθεὶς τινὶ εἰκόνα τὸ ποθούμενον.

Τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτα· εἰ δὲ μικρὰ, καὶ τῆς ἀξίας ἐλάττω, καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν· καὶ τὰ

μὲν ἀποδεδώκαμεν, τὰ δὲ δώσομεν, τὰς δὲ ἕτας προσφέροντες τιμάς τε καὶ μνήμας, οἵ γε τῷ βίῳ περιλειπόμενοι. Σὺ δὲ ἡμῖν Οὐρανὸς ἐμβατὸς, ὦ θεία καὶ ἱερὰ κεφαλὴ, καὶ ἐν κόλποις Ἀβραὰμ, οἵ τινες δὴ ὅποί εἰσιν, ἀναπαύσαιο· καὶ Ἀγγέλων ἐποπτεύοις χορείαν, καὶ μακαρίων ἀνδρῶν δόξας τε καὶ λαμπρότητας· μᾶλλον δὲ συγχορεύοις καὶ συναγάλλοιο, πάντα διαγελῶν τὰ τῇδε ἀφ' ὕψους, τάς τε καλυμένους πλούτους, καὶ τὰς ἐρριμμένας ἀξίας, καὶ τὰς ψεδομένας τιμὰς, καὶ τὴν διὰ τῆς αἰσθήσεων πλάνην, καὶ τὴν τοῦ βίου τούτου περιφοράν, καὶ τῷ ὥσπερ ἐν νυκτομαχίᾳ σύγχυσίν τε καὶ ἄγνοιαν, Βασιλεῖ τῷ μεγάλῳ παρισάμενος, καὶ τοῦ ἐκεῖθεν φωτὸς πληρούμενος, οὐ μικρὰν ἀπορροήν. ἐντεῦθεν δεξάμενοι, ὅσον ἐν ἐσόπτροις φαντάζεσθαι καὶ αἰνίγμασιν, αὐτῇ τῇ πηγῇ τοῦ καλοῦ μᾶλλον ἐντύχοιμεν, καθαρῷ τῷ νῷ καθαρὰν τὴν ἀλήθειαν ἐποπτεύοντες, καὶ τοῦτον μισθὸν δεισκόμενοι τῆς περὶ τὸ καλὸν ἐνταῦθα φιλονεικίας, τὸ τελεωτέραν ἐκεῖσε τοῦ καλοῦ μετασίαν καὶ θεωρίαν, ὅπερ δὴ τῆς ἡμετέρας τέλος μυσαγωγίας, βίβλοι τε καὶ ψυχαὶ θεολόγοι θεσπίζουσι. Τί λοιπὸν ἔτι; τὸ ἐκ λόγου θεραπείαν τοῖς ἀλγοῦσι προσενεγκεῖν. Μέγα δὲ τοῖς πενθοῦσι τὸ παρὰ τῶν συναλγούντων φάρμακον· καὶ οἱ τὸ ἴσον τοῦ πάθους ἔχοντες πλέον εἰσὶν εἰς παραμυθίαν τοῖς πάσχουσι. Μάλιστα μὲν οὖν πρὸς τοιούτους ἐσὶν ἡμῖν ὁ λόγος, ὑπὲρ ὧν αἰσχυνοίμεθ' ἄν, εἰ μὴ καθάπερ ἄλλοι παντὸς τοῦ καλῶν, οὕτω καὶ καρτερίας τὰ πρῶτα φέροιντο. Καὶ γὰρ εἰ φιλόπαιδες πάντων μᾶλλον, ἀλλὰ καὶ πάντων μᾶλλον φιλόσοφοι καὶ φιλόσοφοι, καὶ τοῦ ἐντεῦθεν μετάβασιν ἐκ πλείονος αὐτοί τε μελετήσαντες, καὶ τοὺς ἐξ αὐτῶν διδάξαντες, μᾶλλον δὲ τὸν βίον ὅλον μελέτην λύσεως ἑστησάμενοι. Εἰ δέ ἔτι τὸ πάθος ἐπισκοτεῖ τοῖς λογισμοῖς, καὶ καθάπερ λήμη τις τὸν ὀφθαλμὸν ὑπελθοῦσα, καθαρῶς σωιδεῖν οὐκ ἐᾷ τὸ δέον, φύρε δέξασθε παράκλησιν οἱ πρεσβύτεροι τοῦ νέου, καὶ τοῦ παιδὸς οἱ Πατέρες, καὶ τοῦ

νε-

νεθετεῖθαι παρὰ τῶν πλικιῶτων ὀφείλοντος, οἱ πολλὰς γενεθετήσαντες, καὶ τῷ πολλῷ χρόνῳ τὴν ἐμπειρίαν συλλέξαντες. Θαυμάσητε δὲ μηδεὶ, εἰ νέος νεθετῶ γέροντας, καὶ τοῦτο ὑμέτερον, εἴτι πολιᾶς ἄμεινον συμβουλὴν ἔχω. Πόσον ἔτι βιωσόμεθα χρόνον, ὦ τίμιαι πολιαὶ, καὶ θεῷ πλησιάζεσαι; πόσον ἐνταῦθα κακοπαθήσομεν; ἐδὲ ὁ πᾶς ἀνθρώπων βίος μακρὸς, ὡς τῇ θείᾳ φύσει καὶ ἀτελευτήτῳ παραβαλεῖν, μὴ ὅτι τὸ τῆς ζωῆς λείψανον, καὶ ἡ λύσεις ὡς ἂν εἴποιμεν τῆς ἀνθρωπίνης πνοῆς, καὶ τὸ προσκαίρε βίου τὰ τελευταῖα. Πόσον ἡμᾶς ἔφθη Καισάριος; πόσον ἔτι τὸν ἀπελθόντα πενθήσομεν; οὐ πρὸς τοῦτο ἀυτοῦ ἐπειγόμεθα μοῖραν; οὐ τὸν αὐτὸν ὑποδυσόμεθα λίθον αὐτίκα; ἐχ ἡ αὐτὴ κόνις μίαν μικρὸν ἐσόμεθα; ἐ τοσοῦτον περδανοῦμεν ἐν ταῖς μικραῖς ταύταις ἡμέραις, ὅσον πλείω κακὰ, τὰ μὲν ἰδόντες, τὰ δὲ παθόντες, τὰ δὲ καὶ πράξαντες ἴσως, λειτυργῆσαι τῷ τῆς φύσεως νόμῳ τὴν κοινὴν εἰσφορὰν καὶ ἀσάλβτον; καὶ τοῖς μὲν ἐπαπελθεῖν, τῷ δὲ προαπελθεῖν, καὶ τὰς μὲν κλαῦσαι, ὑπὸ δὲ τῷ θρηνηθῆναι, καὶ παρ' ἄλλων ἀντιλαβεῖν, ἐν προεσλωέγκαμεν ἄλλοις τῷ δακρύων ἔρανον. Τοιοῦτος ὁ βίος ἡμῶν ἀδελφοὶ, τῷ ζώντων πρόσκαιρα. Τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον, ἐκ ὄντας γενέσθαι, καὶ γενομένες ἀναλυθῆναι. Οἷναρ ἐσμὲν ἐχ ἱστάμενον, φάσμα τι μὴ κρατύμενον, πτῆσις ὀρνέε παρερχομένε, ναῦς ἐπὶ θαλάσης ἴχνος ἐκ ἔχουσα, κόνις, ἀτμὶς, ἑωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον, καὶ καιρῷ λυόμενον. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· καλῶς ὁ θεῖος Δαβὶδ περὶ τῆς ἀθενείας ἡμῶν ἐφιλοσόφησε. Καὶ ἐν ἐκείνοις πάλιν τοῖς ῥήμασι, τῷ ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· καὶ παλαιστῶν μέτρον τὰς ἀνθρωπίνας ἡμέρας ὁρίζεται. Τί δ' ἂν εἴποις πρὸς Ἱερεμίαν, ὃς καὶ τῇ μητρὶ μέμφεται, τῆς γεννήσεως ἀλγῶν, καὶ ταῦτα ἐπ' ἀλλοτρίοις παίσμασι; πάντα εἰδὼς φησιν ὁ Ἐκκλησιαστὴς, πάντα

ἐπῆλθον λογισμῷ τὰ ἀνθρώπινα, πλοῦτον, τρυφὴν, δυναστείαν, δόξαν τὴν ἄστατον, σοφίαν τὴν ὑποφεύγουσαν πλέον, ἢ καταμανθάνειν, πάλιν ἀφυΐαν, σοφίαν πάλιν, ἐπὶ τὰ αὐτὰ πολλάκις ἀνακυκλούμενος, γαστρὸς δουλὰς, παραδείσους, πλῆθος οἰκετῶν, πλῆθος κτημάτων, οἰνοχόους, καὶ οἰνοχόας, ἄδοντας, καὶ ᾀδούσας, ὅπλα, δορυφόρους, ἔθνη προσκυνοῦντα, φόρους συλλεγομένους, ὀφρῦν βασιλείας, ὅσα περιττὰ βίου, ὅσα τῶν ἀναγκαίων, οἷς ὑπὲρ πάντας ἦλθον Βασιλεῖς τὰς ἐμφορουσθαι. Καὶ τί ἐπὶ πᾶσι τούτοις; πάντα ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος, εἴτ' ἂν ὁρμὴ τις ψυχῆς ἀλόγιστος, καὶ περισπασμὸς ἀνθρώπου, τοῦτο καταπειθόντες, ἴσως ἐκ τοῦ παλαιοῦ πτώματος. Ἀλλὰ τέλος λόγου, φησὶ, τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ. Ἐνταῦθα τῆς ἀποδείας ἴσασι, καὶ τοῦτό σοι μόνον τῆς ἐνταῦθα ζωῆς τὸ κέρδος, ὀδηγηθῆναι διὰ παραχῆς τῶν ὁρωμένων, καὶ σαλευομένων, ἐπὶ τὰ ἑστῶτα καὶ μὴ κινούμενα.

Μὴ τοίνυν πεισθῶμεν Καισαρίου, οἷον ἀπηλλάγη κακῶν εἰδότες, ἀλλ' ἡμᾶς αὐτοὺς, οἵοις ὑπελείφθημεν, καὶ οἷα θησαυρισόμεν, εἰμὴ γνησίως Θεῷ προσθέμενοι, καὶ παραδραμόντες τὰ παρατρέχοντα, πρὸς τὴν ἄνω ζωὴν ἐπειγοίμεθα, ἔτι ὑπὲρ γῆς ὄντες, καταλιπόντες τὴν γῆν, καὶ τῷ πνεύματι φέροντι πρὸς τὰ ἄνω γνησίως ἀκολουθήσαντες. Ταῦτα καὶ ἀλγεινὰ τοῖς ὀλιγοψύχοις, καὶ κοῦφα τοῖς ἀνδρικοῖς τὴν διανοιαν. Σκοπῶμεν δὲ ὅπως. Οὐκ ἄρξει Καισάριος, ἀλλ' οὐδὲ ἀρχθήσεται πρὸς ἄλλων. Οὐ φοβήσει τινὰς, ἀλλ' οὐδὲ δείσει βαρὺν Δεσπότην, πολλάκις τὸν οὐδὲ ἄρχεσθαι ἄξιον. Οὐ σωρεύσει πλοῦτον, ἀλλ' οὐδὲ ὑπόψεται φθόνον, ἢ ψυχὴν ζημιωθήσεται κακῶς συνάγων, καὶ τοσοῦτον ἀεὶ προσλαμβάνειν ζητῶν, ὅσον ἐκτήσατο. Τοιαύτη γὰρ ἡ τοῦ πλουτεῖν νόσος, ὅρον τοῦ δεῖσθαι πλείονος οὐκ ἔχουσα, ἀλλὰ τὸ ποτὸν ἀεὶ δίψους ποιουμένη φάρμακον. Οὐκ ἐπιδείξεται λόγους, ἀλλ' ὑπὸ λόγων

γε θαυμασθήσεται. Οὐ φιλοσοφήσει τὰ Ἱπποκράτες καὶ Γαλήνε, καὶ τῶν αὐτιθέτων ἐκείνοις, ἀλλ' ὁ κακοπαθήσει νόσοις, ἰδίας ἐπ' ἀλλοτρίαις συμφοραῖς λύπας καρπούμενος. Οὐκ ἀποδείξει τὰ Εὐκλείδου καὶ Πτολεμαίε καὶ Ἥρωνος, ἀλλ' ὐδὲ ἀλγήσει τοῖς ἀπαιδεύτοις φυσῶσι μείζονα. Οὐ καλλωπιεῖται τοῖς Πλάτωνος, καὶ Ἀριστοτέλους, καὶ Πύρρωνος, καὶ Δημοκρίτοις δόγμασι, καὶ Ἡρακλείτοις, καὶ Ἀναξαγόραις, Κλεανθαις τε, καὶ Ἐπικούροις, καὶ ὐκ οἶδ' οἷς τισι τῶν ἐκ τῆς σεμνῆς Στοᾶς καὶ Ἀκαδημίας, ἀλλ' ὐδὲ φροντίσει ὅπως διαλύσῃ τούτων τὰς πιθανότητας. Τί με δεῖ μνημονεύειν τῶν ἄλλων; ἀλλὰ ταῦτα δὲ, τὰ τίμια πᾶσι καὶ περισπούδαστα. Οὐ παρασήσεται γαμετῇ, ἢ παῖδας, ἀλλ' οὐδὲ θρηνήσει τούτους, ἢ θρηνηθήσεται ὑπὸ τούτων, ἢ καταλιπὼν ἄλλοις, ἢ καταλειφθεὶς συμφορᾶς ὑπόμνημα. Οὐ κληρονομήσει χρημάτων, ἀλλὰ κληρονομηθήσεται ὑφ' ὧν χρησιμώτατον, καὶ ὧν αὐτὸς ἠθέλησεν, ἵνα πλέσιος εἰ θεόδε μεταλαξῇ, πάντα μεθ' ἑαυτῦ φερόμενος. Ὦ τῆς φιλοτιμίας, ὦ τῆς καινῆς παρακλήσεως, ὦ τῆς μεγαλοψυχίας τῶν ἐπιβαλλομένων! Ἡκέσθη κήρυγμα πάσης ἀκοῆς ἄξιον, καὶ μηδὲς πάθος κενῦται δι' ὑποχέσεως καλῆς καὶ ὁσίας, δῦναι τὰ πάντα τῷ παιδὶ, τὸν ἐκείνε πλῦτον, ὑπὲρ ἐκείνου δῶρον, ἐντάφιον, καὶ μηδὲν ὑπολειφθῆναι τοῖς προσδοκήσασιν. Οὔπω ταῦτα ἱκανὰ πρὸς παραμυθίαν; προσοίσω τὸ μεῖζον φάρμακον· πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς, ἐπειδὰν τὸ σωδεδεμένε σώματος, ἐνθένδε ἀπαλλαγῇ, δίδυς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τῦ μέλλοντος αὐτὴν καλῦ γνωμένη, ἅτε τῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ ἀποτεθέντος, ἢ, ὐκ οἶδ' ὅτι καὶ λέγειν χρὴ, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται, καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς Δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα, καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη

τῇ φαντασίᾳ καρπᾶται τὴν ἀποκειμένην μακαριότητα. Μικρὸν δ' ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα, ᾧ τὰ ἐκείθεν συνεφιλοσόφησε, παρὰ τῆς καὶ δύσης καὶ πισθιθείσης γῆς, ξόπον ὃν οἶδεν ὁ ταῦτα συνδήσας, καὶ διαλύσας Θεὸς, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης. Καὶ καθάπερ τῷ μοχθηρῶν αὐτοῦ μετέσχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῷ τερπνῶν ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γενομένη σὺν τούτῳ σῶ καὶ πνεῦμα, καὶ νοῦς, καὶ Θεὸς, καταποθέντος ὑπὸ τῆς ζωῆς τὸ θνητὸν τε καὶ ῥέοντος. Ἄνεμ γ' ἂν οἷα περὶ συμπήξεως ὀστῶν τε καὶ νεύρων φιλοσοφεῖται τῷ θείῳ Ἰεζεκιὴλ, ὅσα μετ' ἐκεῖνον τῷ θείῳ Παύλῳ περὶ σκηνώματος ἐπιγείου, καὶ οἰκίας ἀχειροποιήτου· τοῦ μὲν καταλυθησομένης, τῆς δὲ ἀποκειμένης ἐν Οὐρανοῖς· καὶ τὴν μὲν ἀπὸ τοῦ σώματος ἐκδημίαν, ἐνδημίαν πρὸς τὸν Κύριον εἶναι φάσκοντος. Τῷ δὲ σὺν τούτῳ ζωὴν, ὡς ἐκδημίαν ὀδυρομένου, καὶ διὰ τοῦτο ποθοῦντος καὶ αὐδοῦντος τὴν ἀνάλυσιν. Τί μιπροψυχῶ περὶ τὰς ἐλπίδας; τί γίνομαι πρόσκαιρος; ἀναμένω τὴν τοῦ Ἀρχαγγέλου φωνὴν, τὴν ἐχάτην σάλπιγγα, τὸν Οὐρανοῦ μεταχηματισμὸν, τὴν γῆς μεταποίησιν, τὴν τῶν στοιχείων ἐλευθερίαν, τὴν Κόσμου παντὸς ἀνακαίνισιν. Τότε Καισάριον αὐτὸν ὄψομαι, μηκέτι ἐκδημοῦντα, μηκέτι φερόμενον, μηκέτι πενθούμενον, μηκέτ' ἐλεούμενον, λαμπρὸν ἔνδοξον, ὑψηλὸν, οἷός μοι καὶ κατ' ὄναρ ὤφθης πολλάκις ὦ φίλτατε ἀδελφῶν ἐμοὶ, καὶ φιλαδελφότατε, εἴτε τοῦ βούλεσθαι τοῦτο ἀνατυποῦντος, εἴτε τῆς ἀληθείας.

Νυνὶ δὲ ἀφεὶς τὰς θρήνους εἰς ἐμαυτὸν βλέψω, μήτι θρήνων ἄξιον λάθω φέρων, καὶ τὰ ἐμαυτοῦ περισκέψομαι. Τίοἱ ἀνθρώπων (μέτεισι γὰρ πρὸς ὑμᾶς ὁ λόγος) ἕως πότε βαρυκάρδιοι, καὶ παχεῖς τὴν διανοίαν; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον, καὶ τὰς ὀλίγας ταύτας ἡμέρας πολλὰς ὑπολαμβάνοντες, καὶ τὴν διάζευξιν ταύτην τὴν ἀσπασιὴν καὶ ἡδεῖαν, ὡς δήτι βαρὺ καὶ φρικῶδες ἀπο-

στρε-

τρεφόμενοι; ἢ γνωσώμεθα ἡμᾶς αὐτούς; ἢ τὰ φαινόμενα ῥίψωμεν; ἢ πρὸς τὰ νοούμενα βλέψωμεν; ἢ οὐκ ἔτι καὶ λυπεῖσθαι χρή, τοὐναντίον ἀνιασώμεθα, τῇ παροικίᾳ μηκυνομένῃ; κατὰ τὸν θεῖον Δαβὶδ, σκίρτημα σκοτασμὸς, καὶ τόπον κακώσεως, καὶ ἱλαρὸ βυθὸς, καὶ σκιὰ θανάτου τὰ τῇ δὲ ἀποκαλύπτα, ὅτι βραδύνομεν ἐν τοῖς τάφοις οἷς περιφέρομεν, ὅτι ὡς ἄνθρωποι ἀποθνήσκομεν τὸν τῆς ἁμαρτίας θάνατον, Θεοὶ γεγονότες. Τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, τούτῳ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν σύνειμι, καὶ οὐκ ἐᾷ με ἀναπνεῖν ἡ ἐκεῖθεν δόξα, καὶ τὰ ἐκεῖσε δικαιωτήρια, ὧν τῆς μὲν ἐφίεμαι, μέχρι καὶ τοῦ δυνάσθαι λέγειν· ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου· τὰ δὲ φεῖπω, καὶ ἀποστρέφομαι. Ἐκεῖνο δὲ οὐ δέδοικα, μή μοι τὸ σῶμα τοῦτο διαῤῥυὲν καὶ διαφθαρὲν παντελῶς οἰχήσηται, ἀλλὰ μὴ τὸ τοῦ Θεοῦ πλάσμα τὸ ἔνδοξον (ἔνδοξον δὲ καταρθοῦν, ὥσπερ ἄτιμον ἁμαρτάνον) ἐν ᾧ λόγος, νόμος, ἐλπὶς, τιμὴ αὐτιμὴ τοῖς ἀλόγοις ἀτιμίαν καταλειφθῇ, καὶ μηδὲν πλέον ᾖ μετὰ τιμὴ διάζυξιν, ὡς ὄφελόν γε τοῖς πονηροῖς, καὶ τοῦ ἐκεῖθεν πυρὸς ἀξίοις. Εἴθε νεκρώσαιμι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· εἴθε πάντα τῷ πνεύματι δαπανήσαιμι, τιμὴ σαυτοῦ καὶ ὀλίγοις βατιμὴ ὁδεύσας ὁδὸν, μὴ τὴν πλατεῖαν καὶ αἴρετον, ὡς τά γε μετὰ τοῦτο λαμπρὰ καὶ μεγάλα, καὶ μείζων ἢ κατὰ τὴν ἀξίαν ἐλπίς. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; τί τὸ καινὸν τοῦτο περὶ ἐμὲ μυστήριον; μικρός εἰμι καὶ μέγας, ταπεινὸς καὶ ὑψηλὸς, θνητὸς καὶ ἀθάνατος, ἐπίγειος καὶ οὐράνιος. Ἐκεῖνα μετὰ τοῦ κάτω Κόσμου, ταῦτα μετὰ τοῦ Θεοῦ· ἐκεῖνα μὲ τῆς σαρκὸς, ταῦτα μετὰ τοῦ πνεύματος. Χριστῷ συνταφῆναί με δεῖ, Χριστῷ συνανασῶσαι, συγκληρονομῆσαι Χριστῷ, Υἱὸν γενέσθαι Θεοῦ, Θεὸν αὐτόν. Ὁρᾶτε ποῖ προϊὼν, ἀνήγαγεν ἡμᾶς ὁ λόγος. Μικρὸν καὶ χάειν ὁμολογῶ τῷ πάθει, ᾧ τοιαῦτα ἐφιλοσόφησα, καὶ δι' ὃ μᾶλλον ἐραστὴς ἐγενόμην τῆς ἐνθένδε ἀπαναστάσεως. Τοῦτο ἡμῖν τὸ μέγα μυστήριον βέλτιστε· τοῦτο

ὑμῖν ὁ ἐνανθρωπήσας δι' ἡμᾶς καὶ πτωχεύσας Θεὸς, ἵνα ἀναστήσῃ τὴν σάρκα, καὶ ἀνασώσηται τὴν εἰκόνα, καὶ ἀναπλάσῃ τὸν ἄνθρωπον· ἵνα γνωμεν οἱ πάντες εἰς ἓν ἐν Χριστῷ, γενομένῳ τὰ πάντα ἐν πᾶσιν ἡμῖν τελείως, ὅσα πέρ ἐστιν αὐτὸς, τῇ νοερᾷ ἐν ἡμῖν ὑπαρχόντων σαρκικῶν τε καὶ ἀνθρωπίνων· ἵνα μηκέτι ὦμεν ἄρρεν καὶ θῆλυ, βάρβαρος, σκύθης, δοῦλος, ἐλεύθερος, τὰ τῆς σαρκὸς γνωρίσματα· μόνον δὲ φέρωμεν ἐν ἡμῖν αὐτοῖς τὸν θεῖον χαρακτῆρα, παρ' οὗ καὶ εἰς ὃν γεγόναμεν· τοιοῦτον ἀπ' αὐτοῦ μορφωθέντες καὶ τυπωθέντες, ὡς τε καὶ ἀπὸ μόνης γινώσκεσθαι, καὶ εἴπερ γε ὅπερ ἐλπίζομεν, κατὰ τὴν μεγάλην Θεοῦ τὴν μεγαλοδώρεαν φιλανθρωπίαν· ὃς μικρὰ αἰτῇ, μεγάλα χαρίζεται νῦν τε, καὶ εἰς τὸν ἔπειτα χρόνον, πῖς γνησίως αὐτὸν ἀγαπῶσι, πάντα στέγοντες, πάντα ὑπομένοντες διὰ τὴν εἰς αὐτὸν ἀγάπην τε καὶ ἐλπίδα, ἐπὶ πᾶσιν δ' ἀχαριστοῦντες, δεξιοῖς τε ὁμοίως καὶ ἀριστεροῖς, ἡδέσι λέγω καὶ ἀνιαροῖς (ἐπειδὴ καὶ ταῦτα σωτηρίας ὅπλα πολλάκις οἶδεν ὁ λόγος) αὐτῷ παρακατατιθέμενοι τὰς ἡμετέρας ψυχὰς, τὰς τῇ προκαταλυόντων, ὥσπερ ἐν οἴκῳ κοινῇ τῇ ἑτοιμοτέρων· ὃ δὴ καὶ αὐτοὶ ποιήσαντες, ἐνταῦθα τοῦ λόγου λήξωμεν. Ἀλλὰ καὶ ὑμεῖς τῇ δακρύων, ἐπὶ τὸν τάφον ἤδη ἀποδύοντες τὸν ὑμέτερον, ὃν δῶρον παρ' ὑμῶν ἔχει Καισάριος, λυπηρόν τε καὶ μόνιμον, γονεῦσι μὲν ἑτοιμασθέντα καὶ γήρᾳ κατὰ καιρὸν, παιδὶ δὲ καὶ νεότητι δωρηθέντα καὶ παρὰ τὸ εἰκὸς, καὶ οὐκ ἀπεικὸς, τῷ διέποντι τὰ ἡμέτερα. Ὦ δέσποτα πάντων καὶ ποιητὰ, καὶ διαφερόντως τοῦδε τοῦ πλάσματος, ὦ Θεὲ τῶν σῶν ἀνθρώπων, καὶ Πάτερ καὶ Κυβερνῆτα, ὦ ζωῆς καὶ θανάτου Κύριε, ὦ ψυχῶν ἡμετέρων ταμία καὶ διέργετα, ὦ ποιῶν τὰ πάντα καὶ μεταπλάζων τῇ τεχνίτῃ Λόγῳ κατὰ καιρὸν, καὶ ὡς αὐτὸς ἐπίσασαι, τῷ βάθει τῆς σῆς σοφίας καὶ διοικήσεως, νῦν μὲν δέχοιο Καισάριον ἀπαρχὴν τῆς ἡμετέρας ἀποδημίας. Εἰς δὲ τὸν τελευταῖον

τεῖον πρῶτον, συγχωροῦμεν τοῖς σοῖς λόγοις, οἷς τὸ παῦ φέρεται. Δέχοιο δὲ κὴ ἡμᾶς ὕστερον ἐν καιρῷ δι-θέτῳ, οἰκονομήσας ἐν τῇ σαρκὶ ἐφ' ὅσον αὖ ἦ συμφέρον. Καὶ δέχοιό γε διὰ τὸν σὸν φόβον, ἑτοιμαθέντας καὶ ὑ παρασομένους, ὐδὲ ὑποχωρῆντας ἐν ἡμέρᾳ τῇ τελθταίᾳ, καὶ βίᾳ τῷ ἐντεῦθεν ἀποσπωμένους, ὃ τῷ φιλοκόσμων ψυχῶν πάθος κὴ φιλοσάρκων, ἀλλὰ προθύμως πρὸς τὸν ἀυτόθεν ζωὴν τὸν μακραίωνά τε κὴ μακαρίαν, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΜΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΑΘΑΝΑΣΙΟΝ

Ἀρχιεπίσκοπον Ἀλεξανδρείας.

Ἀθανάσιον ἐπαινῶν, ἀρετὴν ἐπαινέσομαι. Ταυτὸν γὰρ ἐκείνου τε εἰπεῖν, καὶ ἀρετὴν ἐπαινέσαι· ὅτι πᾶσαν ἐν ἑαυτῷ συλλαβὼν εἶχε τὴν ἀρετὴν, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ἔχει. Θεῷ γὰρ ζῶσι πάντες οἱ κατὰ Θεὸν ζήσαντες, κἂν ἐνθενδε ἀπαλλαγῶσι· καθ' ὃ καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀκούει Θεὸς, ὁ Θεὸς, ὡς οὐ νεκρῶν Θεὸς, ἀλλὰ ζώντων. Ἀρετὴν δὲ ἐπαινῶν, Θεὸν ἐπαινέσομαι, παρ' ὃν τοῖς ἀνθρώποις ἡ ἀρετὴ, καὶ τὸ πρὸς αὐτὸν ἀνάγεσθαι, ἢ ἐπανάγεσθαι, διὰ τῆς συγγενοῦς ἡμῖν ἐλλάμψεως. Πολλῶν γὰρ ὄντων ἡμῖν καὶ μεγάλων, ἃ μὲν ἂν εἴποι τις ἀν' ἡλίκων καὶ ὅσων ὢν ἐκ Θεοῦ ἔχομέν τε καὶ ἔξομεν, τοῦτο μέγιστον καὶ φιλανθρωπότατον, ἡ πρὸς αὐτὸ νεῦσίς τε καὶ οἰκείωσις. Ὅπερ γάρ ἐστι τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός. ὁ μὲν γὰρ τὸν ὁρώμενον φωτίζει Κόσμον, ὁ δὲ τὸν ἀόρατον. Καὶ ὁ μὲν τὰς σωματικὰς ὄψεις ἡλιοειδεῖς, ὁ δὲ τὰς νοερὰς φύσεις θεοειδῶς ἀπεργάζεται. Καὶ ὥσπερ οὗτος τοῖς ὁρῶσι καὶ τοῖς ὁρωμένοις, τοῖς μὲν τὸ τοῦ ὁρᾶν, τοῖς δὲ τὴν τοῦ ὁρᾶσθαι παρέχων δύναμιν, αὐτὸς τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον, οὕτω Θεὸς τοῖς νοοῦσι καὶ τοῖς νοουμένοις, τοῖς μὲν τὸ νοεῖν, τοῖς δὲ τὸ νοεῖσθαι δημιουργῶν, αὐτὸς τῶν νοουμένων ἐστὶ τὸ ἀνωτάτω, εἰς ὃν πᾶσα ἔφεσις ἵσταται, καὶ ὑπὲρ ὃν οὐδαμοῦ φέρεται. Οὐδὲ γὰρ ἔχει τι ὑψηλότερον, ἢ ὅλως ἕξει, ἃ δὲ ὁ φιλοσοφώτατος νοῦς καὶ διαβατικώτατος, ἢ πολυπραγμονέστατος. Τοῦτο γάρ ἐστι τὸ τῶν ὀρεκτῶν ἔσχατον, καὶ ὃ γενομένοις, πάσης θεωρίας ἀνάπαυσις. Ὧ τινι μὲν οὖν ἐξεγένετο διὰ λόγου καὶ θεωρίας διασχόντι τὴν ὕλην, καὶ τὸ σαρκίον τοῦτο εἴτε νέφος χρὴ λέγειν, εἴτε προκάλυμμα διαπτύξαντι, Θεῷ συγγενέσθαι καὶ τῷ

ἀκραι-

ἀκριφεστάτῳ φωτὶ κραθῦναι, καθόσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, μακάριος ἔτος, τῆς τε ἐντεῦθεν ἀναβάσεως καὶ τῆς ἐκεῖσε θεώσεως· ὧν τὸ γνησίως φιλοσοφῆσαι χαρίζεται, καὶ τὸ ὑπὲρ τὸν ὑλικὸν δυάδα γενέσθαι, διὰ τὴν ἐν τῇ Τριάδι νοερὰν ἑνότητα. Ὅς τις δὲ ὑπὸ τῆς συζυγίας χείρων ἐγένετο, καὶ τοσοῦτον τῷ πηλῷ συνεχέθη, ὡς μὴ δυνηθῆναι ἐμβλέψαι πρὸς τὰς τῆς ἀληθείας αὐγάς, μηδὲ ὑπὲρ τὰ κάτω γενέσθαι γεγονὼς ἄνωθεν καὶ πρὸς τὰ ἄνω καλούμενος, ἄθλιος οὗτος ἐμοὶ τῆς τυφλώσεως, κἂν αἱρῇ τοῖς ἐνταῦθα, καὶ τοσούτῳ πλέον, ὅσῳ περ ἂν μᾶλλον ὑπὸ τῆς αἱρέσεως παίζηται, καὶ πείθηται ἄλλό τι καλὸν νομίζειν πρὸ τοῦ ὄντος καλοῦ· πονηρὸν πονηρᾶς δόξης καρπὸν δρεπόμενος, ἢ ζόφον καταπριῆναι, ἢ ὡς πῦρ ἰδεῖν, οὐ ὡς φῶς καὶ ἐγνώρισε. Ταῦτα ὀλίγοις μὲν ἐφιλοσοφήθη καὶ τῷ νῦν, καὶ τῷ πάλαι· (ὀλίγοι γὰρ οἱ τοῦ Θεοῦ, εἰ καὶ πάντες πλάσματα) Νομοθέταις, Σβατηγοῖς, Ἱερεῦσι, Προφήταις, Εὐαγγελισταῖς, Ἀποστόλοις, Ποιμέσι, Διδασκάλοις, παντὶ πνευματικῷ πληρώματι καὶ συσήματι, ἐν δὲ τοῖς πᾶσι, καὶ τῷ νῦν ἐπαινεμένῳ. Τίνας δὴ λέγω τούτους; οἷον τὸν Ἐνὼχ ἐκεῖνον, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τοὺς δώδεκα Πατριάρχας, τόν τε Μωϋσέα, τὸν Ἀαρών, τὸν Ἰησοῦν, τοὺς Κριτάς, τὸν Δαβίδ, τὸν Σολομῶντα μέχρι τινός, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τοὺς πρὸ τῆς αἰχμαλωσίας Προφήτας, τοὺς μετὰ τὴν αἰχμαλωσίαν, καὶ τὰ τελευταῖα δὴ ταῦτα τῇ τάξει καὶ πρῶτα τῇ ἀληθείᾳ, ὅσα περὶ τὸν Χριστὸν σάρκωσιν, ἅπτοι προσλήψιν, τὸν πρὸ τοῦ φωτὸς λύχνον, τὸν πρὸ τοῦ Λόγου φωνὴν, τὸν πρὸ τοῦ μεσίτου μεσίτην, μεσίτου παλαιᾶς διαθήκης καὶ νέας, Ἰωάννην τὸν παῦν, τοὺς Χριστοῦ μαθητὰς, τοὺς μετὰ Χριστὸν, ἢ λαὸν προκαθεσθέντας, ἢ διὰ λόγου φανερωθέντας, ἢ διὰ σημείων γνωρισθέντας, ἢ τελειωθέντας δι' αἵματος. Τούτων Ἀθανάσιος, τοῖς μὲν ἡμίλλησθη, τῷ δὲ μικρὸν ἀπελείφθη. Ἔστι δὲ ὃς καὶ ὑπερέσχεν, εἰ μὴ τολμηρὸν εἰπεῖν,

καὶ

καὶ τῷ μὲν, τὸν λόγον, τῷ δὲ, τὴν πρᾶξιν, τῷ δὲ τὸ πρᾶον, τῷ δὲ τὸν ζῆλον, τῷ δὲ, τὰς κινδύνους, τῶν δὲ, τὰ πλείω, τῶν δὲ ἅπαντα μιμησάμενος. Καὶ ἄλλο ἀπ' ἄλλου λαβὼν, ὥσπερ οἱ τὰς μορφὰς μεθ' ὑπερβολῆς γράφοντες, καὶ εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συναγαγὼν, τὸ ἀρετῆς εἶδος ἐκ πάντων ἀπηκριβώσατο. Τοὺς μὲν ἐν λόγῳ δεινοὺς τῇ πράξει, τοὺς πρακτικοὺς δὲ, τῷ λόγῳ νικήσας. Εἰ βούλει δὲ, λόγῳ μὲν, τοὺς δοκίμους ἐν λόγῳ, πράξει δὲ, τοὺς πρακτικωτάτους ὑπερβαλών. Καὶ τοὺς μὲν κατ' ἀμφότερα μέσως ἔχοντας, τῷ περὶ τὸ ἕτερον ὑπερβάλλοντι, τοὺς δὲ καθ' ἕτερον ἄκρους, τοῖς ἀμφοτέροις παραδραμών. Καὶ εἰ μέγα τοῖς προλαβοῦσι τὸ παράδειγμα τούτῳ γενέσθαι τῆς ἀρετῆς, οὐχ ἧττον εἰς δόξαν τῷ ἡμετέρῳ καλῷ, τὸ τοῖς μετ' αὐτὸν γενέσθαι παράδειγμα. Πάντα μὲν δὴ τὰ ἐκείνου λέγειν τε καὶ θαυμάζειν μακρότερον ἂν εἴη τυχόν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου, καὶ ἰσορίας ἔργον, οὐκ ἐγκωμίας. Ἃ καὶ ἰδίᾳ παραδοῦναι γραφῇ παίδευμά τε καὶ ἄθυρμα τοῖς εἰς ὕστερον, ψυχῆς ἔργον ἐμοὶ, ὥσπερ ὃν ἐκεῖνος Ἀντωνίῳ τῷ θείῳ βίον συνέγραψε τοῦ μοναδικοῦ βίου νομοθεσίαν, ἐν πλάσματι διηγήσεως. Ὀλίγα δὲ ἐκ πολλῶν τῶν ἐκείνου διεξελθόντες, καὶ ὅσα χρειάζει ἡμῖν ἡ μνήμη νῦν ὡς γνωριμώτερα, ἵνα τόν τε ἡμέτερον ἀφοσιωσώμεθα πόθον, καὶ τῇ παννυχίδι τὸ εἰκὸς ἐκπληρώσωμεν, τὰ πλείω δὲ τοῖς εἰδόσι παρήσομεν. Οὐδὲ γὰρ ἄλλως ὅσιον οὐδὲ ἀσφαλὲς, ἀσεβῶν μὲν βίους τιμᾶσθαι ταῖς μνήμαις, τοὺς δὲ δυσεβείᾳ δυσεγκόντας, σιωπῇ παραπέμψασθαι, καὶ ταῦτα ἐν πόλει, ἣν μόλις ἂν καὶ πολλὰ τῆς ἀρετῆς ὑποδείγματα σώσειεν, ὡς περ τοὺς ἱππικοὺς, καὶ τὰ θέαθρα, ἵππῳ δὴ καὶ τὰ θεῖα παίζουσαν.

Ἐκεῖνος ἐξάφη μὲν δὴ τοῖς ἐν τοῖς θείοις ἤθεσι καὶ παιδεύμασιν, ὀλίγα τῶν ἐγκυκλίων φιλοσοφήσας, τοῦ μὴ δοκεῖν παντάπασι τῶν τοιούτων ἀπείρως ἔχειν, μηδὲ ἀγνοεῖν ὧν ὑπερίδειν ἐδοκίμασεν. Οὐ γὰρ ἠνέσχε-

το

το τὸ τῆς φύσεως δίγενὲς καὶ φιλότιμον, ἐν τοῖς ματαίοις ἀχολιθλῶαι, οὐδὲ ταὐτὸν παθεῖν τῷ ἀθλητῶν τοῖς ἀπείροις, οἳ τὸν ἀέρα πλέω παίοντες ἢ τὰ σώματα, τῶν ἄθλων ἀποτυγχάνουσι. Καὶ πᾶσαν μὲν παλαιὰν βίβλον. πᾶσαν δὲ νέαν ἐπμελετήσας, ὡς οὐδεμίαν ἕτερος, πλουτεῖ μὲν θεωρίαν, πλυτεῖ δὲ βίου λαμπρότητα, καὶ πλέκει θαυμασίως ἀμφότερα, τίω χρυσῶ ὄντως σειρὰν καὶ τοῖς πολλοῖς ἄπλοκον, βίῳ μὲν ὁδηγῷ θεωρίας, θεωρίᾳ δὲ σφραγίδι βίυ χρησάμενος. Ἀρχή τε γὰ σοφίας φόβος Κυρίυ, οἷόν τι πρῶτον ἀπάργανον. Καὶ σοφίαν τὸν φόβον ὑπερβᾶσα, κὴ εἰς τὴν ἀγάπην ἀναβιβάσασα, Θεοῦ φίλυς ἡμᾶς, κὴ ὑγοὺς αὐτῦ δούλων ἐργάζεται. Γραφεὶς δὲ οὕτω κὴ παιδαθεὶς, ὡς ἔδειγε κὴ νῦν τὲς λαοῦ προσήσεσθαι μέλλοντας, καὶ τὸ μέγα Χριστοῦ σῶμα μεταχειρίζεσθαι κατὰ τὴν μεγάλην τὲ Θεοῦ βελῶ τε καὶ προγνωσιν, ἢ πόρρωθεν καταβάλλεται τῷ μεγάλων πραγμάτων τὰς ὑποθέσεις, τῷ μεγάλῳ βήματι τύτῳ ἐγκαταλέγεται, κὴ τῷ ἐγγιζόντων εἰς τῷ ἐγγίζοντι Θεῷ γίνεται, κὴ τῆς ἱερᾶς ἀξιῦται τάσεώς τε κὴ τάξεως, καὶ πᾶσαν τὴν τῷ βαθμῶν ἀπολυθίαν διεξελθὼν, ἵνα τὰ ἐν μέσῳ συντέμω, τὴν τοῦ λαοῦ προεδρίαν πισθέται, ταὐτὸν δὲ εἰπεῖν, τῆς οἰκουμένης πάσης ἐπιστασίαν. Καὶ οὐκ ἔχω λέγειν πότερον ἀρετῆς ἆθλον, ἢ τῆς Ἐκκλησίας πηγὼ καὶ ζωὼ τίω ἱερωσύνην λαμβάνει. Ἔδει γὰ ἐκλείπουσαν ταύτλω τῷ δίψει τῆς ἀληθείας, ὥς περ τὸν Ἰσμαὴλ ποτισθῶαι, ἢ ὥς περ τὸν Ἠλίαν ἐκ τῦ χειμάῤῥυ, κατεψυγμένης αὐομβείᾳ τῆς γῆς, ἀναψύξαι· καὶ μικρὰ ἀναπνέυσαν ἀναζωοποιηθῆναι, κὴ σπέρμα τῷ Ἰσραὴλ ὑπολειφθῶαι, ἵνα μὴ γενώμεθα ὡς Σόδομα κὴ Γόμορῤῥα, ὧν περιβόητος μὲν ἡ κακία, περιβοητοτέρα δὲ ἡ ἀπώλεια, πυρὶ κὴ θείῳ κατακαυθέντων. Διὰ τῦτο ἐγέρθη κέρας σωτηρίας ἡμῖν, ἤδη κειμένοις, κὴ λίθος ἀκρογωνιαῖος συνδέων ἑαυτῷ τε κὴ ἀλλήλοις ἡμᾶς, ἐνεβλήθη κὴ καιρὸν, ἢ πῦρ καθαρτήριον τῆς φαύλης ὕ-

λης

λης καὶ μοχθηρᾶς, ἢ πτύον γεωργικὸν, ᾧ τὸ καῦφον τῆς δογμάτων καὶ τὸ βαρὺ διαπείνεται, ἢ μάχαιρα τὰς τῆς κακίας ῥίζας ἐκτέμνουσα. Καὶ ὁ λόγος δείσκει τὸν ἑαυτῷ σύμμαχον, καὶ τὸ πνεῦμα καταλαμβάνει τὸν ὑπὲρ αὐτῷ πνεύσοντα. Οὕτω μὲν ἓν καὶ διὰ ταῦτα, ψήφῳ τῷ λαῷ παντὸς, ὁ κατὰ τὸν ὕστερον νικήσαντα πονηρὸν τύπον, ὁδὲ φονικῶς τε καὶ τυραννικῶς, ἀλλ' Ἀποστολικῶς τε καὶ πνευματικῶς ἐπὶ τὸν Μάρκου θρόνον ἀνάγεται, οὐκ ἄπτον τῆς εὐσεβείας, ἢ θεοδοξίας ἐκείνου διάδοχος. Τῇ μὲν δὴ πολλοὶς ἀπ' ἐκείνου, τῇ δὲ δι' ὀλίγους μετ' ἐκεῖνον δείσκεται, ὧν δὴ καὶ κυρίως ὑπολητέον διαδοχήν. Τὸ μὲν γὰρ ὁμόγνωμον, καὶ ὁμόθρονον, τὸ δὲ ἀντίδοξον, καὶ ἀντίθρονον· καὶ ἡ μὲν, θεοσηγορίαν, ἡ δὲ, ἀληθείαν ἔχει διαδοχῆς. Οὐ δὴ ὁ βιασάμενος, ἀλλ' ὁ βιωθεὶς, διάδοχος· οὐ δ' ὁ παρανομήσας, ἀλλ' ὁ προβληθεὶς, σύννομος, οὐ δὲ ὁ τἀναντία δοξάζων, ἀλλ' ὁ τῆς αὐτῆς πίστεως. Εἰ μὴ οὕτω τις λέγοι διάδοχον, ὡς νόσον ὑγιείας, καὶ φῶτὸς σκότος, καὶ ζάλην γαλήνης, καὶ συγχύσεως ἔκστασιν. Ἐπεὶ δὲ ὅπῳ προβάλλεται, ὅπῳ καὶ τινὶ ἀρχῇ διατίθεται. Οὐ γὰρ ὁμοῦτε καταλαμβάνει τὸν θρόνον, ὥς περ οἱ τυραννίδα τινὰ, ἢ κληρονομίαν παράδοξον ἁρπάσαντες, καὶ ἰβείζει διὰ τὸν κόρον· ταῦτα γὰρ τῶν νόθων καὶ παρεγχράπτων Ἱερέων ἐσὶ, καὶ τὸ ἐπαγγέλματος ἀναξίων. Οἳ μηδὲν τῇ Ἱερωσύνῃ προεισενεγκόντες, μηδὲ τὸ καλοῦ προταλαιπωρήσαντες. ὁμοῦ τε Μαθηταὶ καὶ Διδάσκαλοι τῆς δυσεβείας ἀναδείκνυνται, καὶ πρὶν καθαρθῆναι καθαίρουσι· χθὲς Ἱερόσυλοι, καὶ σήμερον Ἱερεῖς, χθὲς τῆς Ἁγίων ἔξω, καὶ μυσταγωγοὶ σήμερον· παλαιοὶ τὴν κακίαν, καὶ χέδιοι τῷ δυσέβειαν· (ὃ ἔργον χάριτος ἀνθρωπίνης, ἃ τῆς τὸ πνεύματος) οἳ ὅταν παύτα διεξέλθωσι βιαζόμενοι, τελευταῖον τυραννοῦσι καὶ τῷ δυσέβειαν. Ὧν ἀχ ὁ ζόπος, τὸν βαθμὸν, ὁ βαθμὸς δὲ, τὸν τρόπον πιστοῦται, παρὰ πολὺ τῆς τάξεως ἐναλλαττομένης· οἳ πλείους

ὑπὲρ

ὑπὲρ ἑαυτῶν, ἢ τῶν τῆ λαῆ ἀγνοημάτων τὰς θυσίας ὀφείλουσιν· καὶ πάντως τῶ δύο τὸ ἕτερον ἁμαρτάνουσιν, ἢ τῷ δεῖσθαι συγγνώμης ἄμεμπτα συγγιγνώσκοντες, ὡς αὖ μήτε ἀνακόπτοιτο κακία καὶ διδάσκοιτο, ἢ τῇ τραχύτητι τῆς ἀρχῆς, τὰ ἐφ' ἑαυτῷ συγκαλύπτοντες· ὧν οὐδέτερον ἐκεῖνος, ἀλλ' ἰῶ ὑψηλὸς μὲν τῆς ἔργοις, ταπεινὸς δὲ τῷ φρονήματι καὶ τὴν μὲν ἀρετὴν ἀπρόσιτος, τὴν δυστυχίαν δὲ καὶ λίαν εὐπρόσιτος. Πρᾶος, ἀόργητος, συμπαθὴς, ἡδὺς τὸν λόγον, ἡδίων τὸν ἦθος, ἀγγελικὸς τὸ εἶδος, ἀγγελικώτερος τῳ διανοίαν· ἐπιτιμῆσαι γαλεπὸς, ἐπαινέσαι παιδευτικὸς, καὶ μηδέτερον τῷ καλῶς τῇ ἀμεμφίᾳ λυμαίνεσθαι, ἀλλὰ ποιῆσαι καὶ τῳ ἐπιτίμησιν κατεικώ, καὶ τὸν ἔπαινον ἀρχικὸν, μήτε τὸ ἀπαλὸν ἐκλυτὸν, μήτε σύφον τὸ αὐστηρόν· ἀλλὰ τὸ μὲν ἐπιείκειαν, τὸ δὲ φρόνησιν, καὶ φιλοσοφίαν ἀμφότερα· ἐλάχιστα μὲν λόγου διὰ τὸν ἦθον δεόμενος ἀρκοῦντα πρὸς παιδαγωγίαν· ἐλάχιστα δὲ ῥάβδου διὰ τὸν λόγον, ἔτι δὲ ἐλάττω τομῆς, διὰ τὴν ῥάβδον μετρίως πλήττουσαν. Τί ἂν ὑμῖν ἀναζωγραφοίμην τὸν ἄνδρα; Παῦλος προλαβὼν ἔγραψε, τοῦτο μὲν, ἐν οἷς τὸν Ἀρχιερέα τὸν μέγαν τὸν διεληλυθότα τοὺς Οὐρανοὺς ὑμνεῖ (τολμήσει γάρ μοι καὶ μέχρι τούτων ὁ λόγος, ἐπειδὴ Χριστὸς οἶδε, τοὺς ζῶντας καὶ Χριστόν.) τοῦτο δὲ, ἐν οἷς Τιμοθέῳ, πρὸς αὐτὸν γράφων, νομοθετεῖ, τυπῶν τῷ λόγῳ τὸν Ἐπισκοπῆς προσησόμενον. Εἰ γὰρ ὡς κανόνα τὸν νόμον παραθείης τῷ ταῦτα ἐπαινουμένῳ, γνώσῃ σαφῶς τῳ διάθεσιν.

Δεῦρο δὴ συμπανηγυρίσατέ μοι, ἐπὶ τὸν λόγον κάμνοντι, καὶ τὰ πλείω μὲν παραδέχειν ἐθέλοντι, ἄλλα τε δὲ ὑπ' ἄλλα κατεχομένῳ, καὶ οὐκ ἔχοντι τὸ νικῶν διρεῖν, ὥς περ ἐν σώματι πεπαχόθεν ἴσῳ τε καὶ καλῷ. Ἀεὶ γάρ μοι τὸ προσπεσὸν, κάλλιον φαίνεται, καὶ τοῦτο συναρπάζει τὸν λόγον. Δεῦρο οὖν μοι διέλεσθε τὰ ἐκείνα καλὰ, ὅσοι τῷ ἐκείνα ἐπαινέται καὶ μάρτυρες, καὶ ἀγῶνα καλὸν ἀγωνίσασθε πρὸς ἀλλήλους ἄνδρες

ὁμὸ

ὁμῦ καὶ γυναῖκες, νεανίσκοι καὶ Παρθένοι, Πρεσβύται μετὰ νεωτέρων, ἱερεῖς καὶ λαὸς, οἱ μοναδικοὶ καὶ μιγάδες οἱ τῆς ἁπλότητος καὶ τῆς ἀκεραιότητος, ὅσοι τῆς θεωρίας, καὶ ὅσοι τῆς πράξεως. Ὁ μὲν ἐπαινείτω τὸ ἐν νηστείαις καὶ προσευχαῖς οἷον ἀσώματόν τε καὶ ἄϋλον· ὁ δὲ τὸ ἐν ἀγρυπνίαις τε καὶ ψαλμῳδίαις εὐτονόν τε καὶ ἀήττητον. Ἄλλος τὸ ἐν προστασίᾳ τῷ δεομένων· ἄλλος τιὼ πρὸς τὸ ὑπερέχον αὐτιτυπίαν, ἢ πρὸς τὸ ταπεινὸν συγκατάβασιν· αἱ Παρθένοι, τὸν νυμφαγωγὸν, αἱ ὑπὸ ζυγὸν, τὸν σωφρονιστὴν· οἱ τῆς ἐρημίας, τὸν πτερωτὸν· οἱ τῆς ἐπιμιξίας, τὸν νομοθέτην· οἱ τῆς ἁπλότητος, τὸν ὁδηγόν· οἱ τῆς θεωρίας τὸν Θεολόγον· οἱ ἐν δ' Θυμίαις, τὸν χαλινόν· οἱ ἐν συμφοραῖς, τιὼ παράκλησιν· τιὼ βαπτισίαν, ἡ πολιά· τὴν παιδαγωγίαν, ἡ νεότης· ἡ πενία, τὸν πορισμόν· ἡ δ' πορία, τὸν οἰκονόμον. Δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι, καὶ ὀρφανοὶ τὸν πατέρα, καὶ πτωχοὶ τὸν φιλόπτωχον, καὶ τὸν φιλόξενον οἱ ξένοι, καὶ ἀδελφοὶ τὸν φιλάδελφον. Οἱ νοσοῦντες, τὸν ἰατρὸν, ᾧ βέλει νόσον καὶ ἰατρείαν· οἱ ὑγιαίνοντες, τὸν φύλακα τῆς ὑγείας, οἱ πάντες τὸν πᾶσι πάντα γινόμενον, ἵνα κερδαίνῃ τοὺς πάντας, ἢ πλείονας. Ταῦτα μὲν δὴν, ὅπερ εἶπον, ἄλλοι θαυμαζέτωσαί τε καὶ ὑμνείτωσαν, οἷς σχολὴ τὰ μικρὰ τῶν ἐκείνου θαυμάζειν. Μικρὰ δὲ ὅταν εἴπω, αὐτὸν ἑαυτῷ συγκρίνων λέγω, καὶ τὰ ἐκείνα τοῖς ἐκείνου παρεξετάζων. Οὐ γὰρ δεδόξασαι τὸ δεδοξασμένον, κἂν ᾖ λίαν λαμπρὸν, σύγκρισις τῆς ὑπερβαλλούσης δόξης, ὡς περ ἠκούσαμεν· ἐπεὶ καὶ ὀλίγα τοῦ τοῦτου, ἑτέροις αὐτάρκη πρὸς εὐδοκίμησιν. Ἡμῖν δὲ, ἐ γὰρ ἀνεκτὸν καταλείπεσι τὸν λόγον, διακονεῖν τοῖς ἐλάττοσιν, ἐπ' αὐτὸ τὸ κυριώτατον τρεπτέον. Θεοῦ δὲ ἔργον, ὑπὲρ ἃ καὶ ὁ λόγος, εἰπεῖν τι τῆς ἐκείνου μεγαλοψυχίας καὶ ψυχῆς ἄξιον. Ἦν ὅτε ἤκμαζε τὰ ἡμέτερα, καὶ καλῶς εἶχεν, ἡνίκα τὸ μὲν περιττὸν τοῦτο καὶ κατεγλωττισ-

τισμένον τῆς θεολογίας καὶ ἔντεχνον, οὐ δὲ πάροδον εἶχεν εἰς τὰς θείας αὐλάς. Ἀλλὰ ταὐτὸν ἦν, ψήφοις τε παίζειν τῷ ὄψιν κλεπτύσαις τῷ πάχει τῆς μεταθέσεως, ἢ κατορχεῖσθαι τῷ θεατῶν παντοίοις καὶ ἀνδρογυνώοις λογίσμασι, καὶ περὶ Θεοῦ λέγειν τι καὶ ἀκούειν καινότερον ἢ περίεργον· τὸ δὲ ἁπλοῦν τε ἢ δίγενες τῷ λόγῳ δ' σέβεια ἐνομίζετο. Ἀφ' ὧν δὲ Σέξτοι καὶ Πύῤῥωνες, καὶ ἡ αὐτίθετος γλῶσσα ὥς πέρ τι νόσημα δεινὸν ἢ κακόηθες ταῖς Ἐκκλησίαις ἡμῶν εἰσεφθάρη, ἢ ἡ φλυαρία παίδευσις ἔδοξε, ἢ ὅ φησι περὶ Ἀθηναίων ἡ βίβλος τῶν Πράξεων, εἰς ὐδὲν ἄλλο δ' καιρὸν ἢ λέγειν τί καὶ ἀκούειν αὐόνητον· ὧ τίς Ἱερεμίας ὀδύρεται τὴν ἡμετέραν σύγχυσιν καὶ σκοτόμαιναν, ὁ μόνος εἰδὼς ἐξισοῦν θρήνους πάθεσι! Ταύτης τῆς λύσσης ἤρξατο μὲν Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος, ὃς ἢ δίκην ἔδωκεν ἀκολάστε γλώσσης, τῷ ἐν βεβήλοις τόποις κατάλυσιν, δ' χῆς ἔργον οὐ νόσε γενόμενος, καὶ τῷ Ἰούδα ῥῆξιν ὑποσὰς, ἐπ' ἴσῃ προδοσίᾳ τοῦ Λόγε. Διαδεξάμενοι δὲ ἄλλοι τὴν νόσον, τέχνην ἀσεβείας ἐδημιούργησαν· οἳ τῷ ἀγεννήτῳ τῷ Θεότητα περιγράψαντες, τὸ γεννητὸν ὐ μόνον δὲ, ἀλλὰ ἢ τὸ ἐκπορευτὸν ἐξώρισαν τῆς Θεότητος, ὀνόματος κοινωνίᾳ μόνον τῷ Τριάδα τιμήσαντες, ἢ μηδὲ τοῦτο αὐτῇ τηρήσαντες. Ἀλλ' ὐχ ὁ μακάριος ἐκεῖνος ἢ ὅπως ἄνθρωπος τοῦ Θεοῦ, ἢ μεγάλη σάλπιγξ τῆς ἀληθείας· ἀλλ' εἰδὼς τὸ μὲν εἰς ἀριθμὸν ἕνα τὰ τρία συνέλλειν, ἀθεότητος ὂν καὶ τῆς Σαβελλίε καινοτομίας, ὃς ἢ πρῶτος Θεότητος συγολὴν ἐπενόησε, τὸ δὲ τὰ τρία διαιρεῖν φύσεσι, κατατομὴν Θεότητος ἔκφυλον, καὶ τὸ ἓν καλῶς ἐτήρησε. Θεότητι γὰρ, καὶ τὰ τρία δ' σεβῶς ἐδίδαξεν, ἰδιότησι γάρ. Οὔτε τῷ ἑνὶ συγχέας, οὔτε τοῖς ξισὶ διασήσας, ἀλλ' ἐν ὅροις μείνας τῆς δ' σεβείας, τῷ φυγεῖν τὴν ἄμεζον ἐπὶ θάτερα κλίσιν τε ἢ ἀντίθεσιν. Καὶ διὰ τοῦτο πρῶτον μὲν ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ ταύτῃ Συνόδῳ, ἢ τῷ ἀριθμῷ τῷ ξιακοσίων δέκα ἢ ὀκτὼ λογάδων, ὃς

τὸ Πνεῦμα τὸ Ἅγιον εἰς σὲ ἤγαγεν, ὅσον ἦν ἐπ' αὐτῷ, τὴν νόσον ἔσησεν· ὅπως μὲν πεπαγμένος ὢν Ἐπισκόποις, τὰ φρῶτα δὲ πεπαγμένος τῷ συνελκυσθόπων· καὶ γὰρ ἰῶ ἀρετῆς οὐχ ἧττον, ἢ βαθμῶν ἡ φροτίμησις. Ἔπειτα τὸ κακὸ ῥιπισθέντος ἤδη ταῖς αὔραις τοῦ πονηροῦ, καὶ τὸ πλεῖον ἐπιλαμβανόντος, ἐνταῦθά μοι καὶ τὰ δράματα, ὧν πᾶσα μικρὰ πλήρης γῆτε καὶ θάλασσα. Πολὺς μὲν περὶ αὐτὸν ὁ πόλεμος, ὡς γενναῖον φροσάτιον τὸ Λόγου. Πρὸς γὰρ τὸ αὐτιτεῖνον μάλιστα ἡ παράταξις, καὶ ἄλλοθεν ἄλλοτι τῷ δεινῶν ἐπιῤῥέον. Εὑρετικὸν γὰρ κακῶν ἡ ἀσέβεια, καὶ λίαν τολμηρὸν εἰς ἐγχείρησιν. Πῶς δὲ ἀνθρώπων ἔμελλον φείδεσθαι, οἱ Θεότητος μὴ φεισάμενοι; μία δὲ φροσβολῶν, καὶ χαλεπωτάτη· συνεισφέρω τι καὶ αὐτὸς τῷ δράματι. Ἀλλά μοι παρητείσθω τὸ φίλον ἔδαφος ἡ Πατρίς· ἐ γὰρ τῆς ἐνεγκούσης, ἀλλὰ τῷ φροελομένων ἡ πονηρία. Ἡ μὲν γὰρ ἱερά τε καὶ πᾶσιν ἐπ' εὐσεβείᾳ γνώριμος· οἱ δὲ ἀνάξιοι τῆς τεκούσης αὐτὴς Ἐκκλησίας. Φύεσθαι δὲ καὶ ἀμπέλῳ βάτον ἠκούσατε, καὶ Ἰούδας τῷ Μαθητῷ εἷς ὁ φροδότης. Εἰσὶ μὲν ἓν οἱ μηδὲ τὸν ὁμώνυμον ἐμοὶ, τῆς αἰτίας ἀφιᾶσιν. Ὃς κατὰ παιδεύσεως ἔρωτα τῇ Ἀλεξανδρέων ἐπιδημῶν τότε πόλει, καὶ πάσης παρ' αὐτῷ τυχὼν δεξιώσεως ἴσα καὶ παίδων ὁ τιμιώτατος, καὶ τῷ τὰ μέγιστα πιστευομένων εἷς ὢν, ἐπανάσασιν, ὥς φασι, βεβούλευται τῷ Πατρὶ καὶ φροσάτῃ. Καὶ ἰοὺ τὸ μὲν δρᾶμα ἑτέρων, ἡ δὲ χεὶρ Ἀβεσαλὼμ μετ' αὐτῷ, ὡς ὁ λόγος. Εἴτις ὑμῶν οἶδε τὴν χεῖρα ἣν ὁ Ἅγιος κατεβύθη, καὶ τὸν ζῶντα νεκρὸν, καὶ τὴν ἄδικον ὀξείαν οἶδεν ὃ λέγω. Πλὴν τοῦτο μὲν ἐκὼν ἐπιλήσομαι· καὶ γὰρ ὅπως ἔχω ἐν τοῖς ἀμφιβόλοις, νοεῖν χρεὼν πρὸς τὸ φιλάνθρωπον, καὶ ἀπογινώσκειν μᾶλλον, ἢ καταγινώσκειν τῷ ὑπαιτίων. Ὁ μὲν γὰρ κακὸς, τάχιστα αὖ καταγνοίη καὶ τὸ ἀγαθὸν, ὁ ἀγαθὸς δὲ οὐδὲ τὸ κακὸ ῥᾳδίως. Τὸ γὰρ εἰς κακίαν οὐχ ἕτοιμον, οὐδ' εἰς ὑπόνοιαν ὀλίγερές. Ὃ δὲ οὐκ ἔτι λόγος, ἀλλ' ἔργον ἐστὶν, οὐδὲ ὑπόνοια

νοιά

νοιά τις ανεξέπαστος, ἀλλὰ πίστις κεκηρυγμένη, τέρας τι Καππαδόκιον, ἐκ τῶν ἐχατιῶν τῶν ἡμετέρων ὁρμώμενον, πονηρὸν τὸ γένος, πονηρότερον τὴν διάνοιαν. Οὐδὲ παντελῶς ἐλεύθερον, ἀλλ' ἐπίμικτον, οἷον τὸ τῶν ἡμιόνων γινώσκομεν· τὰ μὲν ὦρῶτα τραπέζης ἀλλοτρίας δῆλον καὶ μάζης ὤνιον, παύτα καὶ ποιεῖν καὶ λέγειν ἐπὶ τῇ γαστρὶ μεμαθηκός, τὰ τελευταῖα δὲ καὶ πολιτείᾳ παρεισφθαρεν, καὶ πεισθεν ταύτης τὰ ἔσχατα, ὅσον ὑείων κρεῶν ὑποδοχέα γενέσθαι, οἷς τὸ στρατιωτικὸν τρέφεται. Εἶτα κακὸν περὶ τινὰ πίστιν γενόμενον, καὶ τῇ γαστρὶ πολιτευσάμενον, ἐπειδὴ τὸ σῶμα ὑπελείπετο μόνον, δρασμὸν ἐννοεῖ· κ' ἄλλην ἐξ ἄλλης ἀμεῖβον χώραν κ' πόλιν (οἷα τὰ τῶν φυγάδων) τέλος ἐπὶ κακῷ τοῦ κοινοῦ τῆς Ἐκκλησίας, οἷόν τις Αἰγυπτιακὴ πληγή, τὸν Ἀλεξανδρέων καταλαμβάνει.

Ἐνταῦθα τῆς ἄλης ἴσασι, κ' τῆς κακουργίας ἄρχεται: Καὶ ὦ πάλαι μὲν ὑδενὸς ἄξιος, ὁ λόγων ἐλευθερίων μετεχηκώς, ὁ τὴν συνουσίαν στωμύλος, ὁκ ὀλαβείας χῆμά γ' ἔν τι κ' πλάσμα καινὸν περικείμενος, κακουργῆται δὲ κ' συγχέαι πράγματα, πάντων δεινότατον: Ἴσε κ' διηγεῖσθε πάντες, οἷα κατὰ τὸ Ἅγιον νεανιεύεται. Παραδίδονται γὰρ κ' δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα ἕτοι δοκιμαθῶσι· κ' φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ κατὰ τὸ γεγραμμένον, καταγελῶνται δὲ ὅμως πρὸς τὸ παρὸν ὑσεβῶς, ἕως ἡ χρηστότης τοῦ Θεοῦ κρύπτηται, κ' τὰ μεγάλα ταμιεῖα τῶν εἰς ὕστερον ἑκατέροις ἀποκειμένων, λείπει κ' λόγος, κ' πρᾶξις, καὶ διανόημα τοῖς δικαίοις σαθροῖς τὸ Θεοῦ παλαντεύηται, ὅταν ἀνασῇ κεῖναι τὸν γῦν, τὸν βυλλὸν κ' τὰ ἔργα συνάγων, κ' γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτῶν καὶ σῳζόμενα. Ταῦτα πεισθέπωσε κ' λέγων κ' πάσχων Ἰωβ, ὃς ἦν ἄνθρωπος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβὴς, καὶ ὅσα μεμαρτύρηται. Τοσαύταις δὲ πλήσεται παρὰ τοῦ ἐξηπκότος πρόσβολαῖς, κ' ὅπως ἀλλεπαλλήλοις κ' φι-

λοτίμοις, ὥς τε πολλῶν πολλάκις ἐκ τῦ παντὸς αἰῶνος κακοπαθησάντων, τῷ δὲ ὡς εἰκὸς καὶ παλαιπωρησάντων, μηδενὰ εἶναι ταῖς ἐκείνυ παραβαλεῖν συμφοραῖς. Οὐ γὰρ μόνον χρήματα, κτήματα, δὐτεκνίαν, πολυτεκνίαν, ἃ πᾶσιν ἀνθρώποις ἐσὶ περιπέδασα, ὰ ταῦτα ζημιῦται μόνον, ὡς μηδὲ θρήνοις γενέσθαι χώραν διὰ τὸ συνεχὲς τῷ κακῶν, ἀλλὰ κὴ αὐτὸ τὸ σῶμα τελδταῖον πληγεὶς πληγῶ αἱλατόν τε κὴ δυσθεώρητον. Εἶχε μὲν προθήκῶ τῆς συμφορᾶς τὴν γυναῖκα, παραμυθεμένῶ τοῖς χείροσι (πληγῆναι γὰρ ἐφιλονείκει, καὶ τῶ ψυχῶ πρὸς τῷ σώματι) εἶχε δὲ κὴ τῷ φίλων τὰς γνησιωτάτας παρακλήτορας κακῶν, ὡς αὐτός φησιν, ὰ θεραπδτάς. Οἳ τὸ μὲν πάθος ἑώρων, τὸ δὲ τῦ πάθυς ἀγνοῦντες μυσήριον, ὰ βάσανον ἀρετῆς, ἀλλὰ κακίας εἰσπραξιν τῶ πληγὴν ὑπελάμβανον· κὴ ἐκ ἐνόμιζον μόνον, ἀλλ' ἐδὲ ἠχθοντο τὸ δεινὸν ὀνειδίζοντες, ὁπότε κὴ εἰ διὰ κακίαν ἔπαχε, σοφίζεσθαι τὸ λυπῦν ἔδει παραμυθίας ῥήμασιν. Οὕτω μὲν ἦν ὁ Ἰὼβ καὶ τὰ πρῶτα τῆς περὶ αὐτὸν πραγματείας· ἀγὼν δὲ ἀρετῆς ἦ καὶ φθόνυ, τῦ μὲν ὅπως τῦ καλοῦ κρατήσῃ φιλονεικῦντος, τῆς δὲ ὅπως ἀήττητος διαμείνῃ πάντα φερόσης. Καὶ τῦ μὲν, ὅπως δὐοδώσῃ κακίαν ἀγωνιζομένυ διὰ τῆς τῷ καταρθούντων κολάσεως, τῆς δὲ, ὅπως κατάσχῃ τὰς ἀγαθοὺς, κᾆν ταῖς συμφοραῖς τὸν πλέον ἔχοντας. Τί δὲ ὁ πρὸς αὐτὸν χρηματίζων διὰ λαίλαπος κὴ νεφῶν; ὁ βραδὺς εἰς κόλασιν καὶ ταχὺς εἰς ἀντίληψιν; ὁ μὴ παντελῶς ἐπαφιεὶς ῥάβδον ἁμαρτωλῶν κλήρῳ δικαίων, ἵνα μὴ κακίαν δίκαιοι μάθωσιν; ἐπὶ τέλει τῷ ἄθλων ἀναγορδει τὸν ἀθλητὴ λαμπρῷ τῷ κηρύγματι, κὴ γυμνοῖ τῆς πληγῆς τὸ ἀπόρρητον. Οἴει με ἄλλως σοι κεχρηματικέναι λέγων, ἵνα ἀναφανῇς δίκαιος; τῦτο τῷ τραυμάτων τὸ φάρμακον, οὗτος τῆς ἀγωνίας ὁ στέφανος, αὕτη τῆς ὑπομονῆς ἡ ἀντίδοσις· τὰ δὲ ἑξῆς ἴσως καὶ μικρὰ, κᾆν μεγάλα τισὶ δοκῇ, καὶ μικρῶν σχέσεν οἰκονομηθέντα, κὴ εἰ διπλάσιον τῷ ἀ-

φιρι-

φῆμένων ἀντιλαμβάνει. Οὐκοῦν οὐδὲ ἐνταῦθα θαυμαστὸν, εἰ Ἀθανασίᾳ πλέονα ἔσχε Γεώργιος· ἀλλ' ἐκεῖνο θαυμασιώτερον, εἰ μὴ ἐπυρώθη ταῖς ἐπηρείαις ὁ δίκαιος, οὐδὲ τοῦτο θαυμαστὸν ἄγαν, ἀλλ' ἐπὶ πλέον αἱ φλόγες ἦρκεσαν. Ἐντεῦθεν ὁ μὲν ἦν ἐκ ποδῶν, καὶ τὴν φυγαδείαν ὡς κάλλιστα διατίθεται· τοῖς δὲ ἱεροῖς καὶ θείοις τοῦ κατ' Αἴγυπτον φροντιστηρίοις φέρων ἑαυτὸν δίδωσιν. Οἱ Κόσμου χωρίζοντες ἑαυτὸς, καὶ τῇ ἐρημίᾳ ἀσπαζόμενοι, ζῶσι Θεῷ πάντων μᾶλλον τοῦ στρεφομένων ἐν σώματι. Οἱ μὲν τὸν πάντη μοναδικόν τε καὶ ἄμικτον διαθλοῦντες βίον, ἑαυτοῖς μόνος προσλαλοῦντες καὶ τῷ Θεῷ, καὶ τοῦτο μόνον Κόσμον εἰδότες, ὅσον ἐν τῇ ἐρημίᾳ γνωρίζουσιν. Οἱ δὲ νόμον ἀγάπης τῇ κοινωνίᾳ στέργοντες, ἐρημικοί τε ὁμοῦ καὶ μιγάδες, τοῖς μὲν ἄλλοις τεθνηκότες ἀνθρώποις καὶ πράγμασιν, ὅσα ἐν μέσῳ περιφέρεται, σροβλητά τε καὶ σροβλήματα, καὶ παίζοντα ἡμᾶς ταῖς ἀγχισρόφοις μεταβολαῖς, ἀλλήλοις δὲ κόσμος ὄντες, καὶ τῇ παραθέσει τὴν ἀρετὴν θήγοντες. Τούτοις ὁμιλήσας ὁ μέγας, ὥς περ τοῦ ἄλλων ἁπάντων μεσίτης καὶ διαλλακτὴς ὢν, τὸν εἰρηνοποιήσαντα τοῦ αἵματι τὰ διεσῶτα μιμούμενος· ὅπου καὶ τὸν εἰρηνικὸν βίον, τοῦ κοινωνικῷ καταλλάττει, δεικνὺς ὅτι ἔσι καὶ Ἱερωσυνὴ φιλόσοφος καὶ φιλοσοφία δεομένη μυσαγωγίας· ὅπου δὲ ἀμφότερα συνηρμόσατο, καὶ εἰς ἓν ἤγαγε καὶ πρᾶξιν ἡσύχιον, καὶ ἡσυχίαν ἔμπρακτον· ὡς τε πεῖσαι τὸ μονάζειν, ἐν τῇ δι' σαθείᾳ τὸ τρόπου μᾶλλον, ἢ τῇ τοῦ σώματος ἀναχωρήσει χαρακτηρίζεσθαι, καθ' ὃ καὶ Δαβὶδ ὁ μέγας πρακτικώτατός τε ἦν ὁ αὐτὸς καὶ μονώτατος, εἴτ' ᾧ τὸ καταμόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω, τοῦτο σημαίνειν δοκεῖ, καὶ μέγα πρὸς ἀπόδειξιν τοῦ λόγου καὶ ἀξιόπιστον. Διὰ τοῦτο τοῦ ἄλλων ἀρετῇ κρατοῦντες, τῆς ἐκείνου διανοίας πλέον ἥττητο, ἢ ὅσον ἐκράτουν τοῦ ἄλλων, καὶ ὀλίγα πρὸς Ἱερωσυνῆς τελείωσιν συνεισφέροντες, πλείω πρὸς φιλοσοφίας συντέλειαν ἀντελάμβανον· καὶ τοῦτο ἦν νόμος αὐτοῖς, ὅ, τι

ἐκείνῳ ἐδόκει, καὶ τοῦτο ἀπώμοτον πάντων, ὃ μὴ ἐδόκει· καὶ πλάκες Μωσέως αὐτοῖς τὰ ἐκείνου δόγματα, καὶ πλεῖον τὸ σέβας, ἢ παρὰ ἀνθρώπων τοῖς Ἁγίοις ὀφείλεται· οἵ γε καὶ νῦνα παρῆσάν τινες ὥσπερ θῆρα τὸν Ἅγιον ἀνιχνεύοντες, ἐπειδὴ παντα χοῦ τοῦτον ἀναζητοῦντες οὐχ εὕρισκον, λόγοις μὲν ὕδνος τὰς πεμφθείσας ἠξίωσαν, φρύτεινον δὲ τοῖς ξίφεσι τοὺς αὐχένας, ὡς ὑπὲρ Χριστοῦ κινδυνεύοντες, καὶ τὸ παθεῖν τι τῶν αὐτῶν ὑπὲρ ἐκείνου, μεγίστω μοίραν εἰς φιλοσοφίαν νομίζοντες· καὶ πολὺ τῶν μακρῶν νηστειῶν καὶ χαμευνιῶν, καὶ τῆς ἄλλης κακοπαθείας, ᾗ ἐκεῖνοι τρυφῶσιν ἀεὶ, ἐνθεώτερόν τε καὶ ὑψηλότερον.

Ὁ μὲν ἦν ἐν τούτοις ἦν, καὶ τὸ τοῦ Σολομῶντος ἐπῄνει, καιρὸν εἶναι παντὶ πράγματι φιλοσοφήσαντος, καὶ διὰ τοῦτο ἀπεκρύπτετο μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφεύγων, ἵνα σωναφανῇ τῇ τῆς εἰρήνης ἥκοντι, ὅπερ ἦν καὶ γίνεται μικρὸν ὕστερον. Ὁ δὲ κατὰ πολλὴν ἤδη τοῦ κωλύσοντος ἐρημίαν, καταβέβηκε μὲν Αἴγυπτον, λιμένα δὲ Συρίαν τῇ κράτει τῆς ἀσεβείας, ἐπιλαμβάνεται δὲ καὶ τῆς Ἑῴας ὅσον ἐδύνατο, τὸ ἀρρωστοῦν ἀεὶ προσλαμβάνων, ὥς περ οἱ χείμαρροι τὰ συρρέοντα, καὶ τοῖς κυφοτέροις, ἢ δειλοτέροις ἐπιφυόμενος. Οἰκειοῦται δὲ τὴν Βασιλέως ἁπλότητα, ὅπως ἐγὼ καλῶ τὴν κυφότητα, αἰδούμενος τὴν δυσλάβειαν· καὶ γὰρ ἦν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ζῆλον μὲν ἔχων, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, ἐξωνεῖται δὲ τῶν ἐν τέλει, τοὺς φιλοχρύσους μᾶλλον ἢ φιλοχρίστους (δυσερία γὰρ ἦν αὐτῷ τὰ τῆς πενήτων κακῶς δαπανώμενα) καὶ τούτων μάλιστα γυναικώδεις τε καὶ ἐν ἀνδράσιν ἀνάνδρους, καὶ ἀμφιβόλους μὲν τὸ γένος, προδήλους δὲ τὴν ἀσέβειαν, οἷς οὐκ οἶδ' ὅπως καὶ ὅθεν οἱ Ῥωμαίων Βασιλεῖς τὰ τῆς γυναικῶν πιστευόμενοι, τὰ τῆς ἀνδρῶν ἐγχειρίζουσι· καὶ ταῦτα ἴσχυσεν ὁ τοῦ πονηροῦ θεράπων, ὁ τῆς ζιζανίων σπορᾶς, ὁ τοῦ Ἀντιχρίστου πρόδρομος, χρώμενος μὲν ὅσα γλώσσῃ τῆς τότε λογίων ἐν Ἐπισκόποις τῷ πρώτῳ, εἶτα λόγιον φίλον

κα-

καλεῖν τὸν ὐχ ὅπως ἀσεβῆ δογματισὴν, ὅσον ἐχθρὸν κὴ φιλόνεικον (τὸ γὰρ ὄνομα ἑκὼν ὑπερβήσομαι) αὐτὸς δὲ αὐτὶ χειρὸς ὢν τῷ συστήματι, κὴ παρασύρων τῷ χρυσῷ τλὼ ἀλήθειαν, ὃν δὶ ὃσέβειαν σωαγόμενον, ὄργανον ἀσεβείας οἱ πονηροὶ πεποίωται. Ταύτης ἀποτέλεσμα τῆς δυναστείας ἡ πρότερον μὲν τλὼ τῆς Ἁγίας κὴ καλλιπαρθένυ Θέκλας Σελδίκειαν· μετὰ δὲ τῦτ τλὼ μεγαλόπολιν ταύτλω καταλαβῦσα Σωόδος, ἃς ἐπὶ τοῖς καλλίστοις τέως γνωριζομένας, ἐπὶ τοῖς αἰσχίστοις ὀνομασὰς ἐποίησεν. Εἴτε τὸν Χαλαὼς πύργον, ὃς καλῶς τὰς γλώσσας ἐμέρισεν (ὡς ὤφελόν γε κἀκείνας, ἐπὶ κακῷ γὰρ ἡ συμφωνία) εἴτε τὸ Καϊάφα συνέδριον, ᾧ Χρισὸς καταικίνεται, εἴτέ τι ἄλλο τοιῦτο τὴν Σωόδον ἐκείνην ὀνομαστέον· ἢ πάντα ἀφέξεται κὴ συνέχει, τὸ μὲν δὶσεβὲς δόγμα κὴ παλαιὸν κὴ τῆς Τειάδος σωήγορον καταλύσασα, τῷ βαλεῖν χάρακα κὴ μηχανήμασι κατασεῖσαι τὸ Ὁμοούσιον, τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοίξασα διὰ τῆς τῷ γεγραμμένων μεσότητος· πρόφασιν μὲν αἰδοῖ τῆς γραφῆς κὴ τῆς τῷ ἐγκείτων ὀνομάτων χρήσεως, τὸ δὲ ἀληθὲς, τὸν ἄγραφον Ἀρειανισμὸν ὑπεισάγυσα (τὸ γὰρ ὅμοιον κατὰ τὰς γραφὰς, τοῖς ἁπλυστέροις δέλεαρ λῶ τῷ τῆς ἀσεβείας χαλκῷ περικείμενον) ἡ πρὸς πάντας ὁρῶσα ὡς παριόντας εἰκὼν, ὁ κοινὸς ἀμφοτέρων τῷ ποδῶν κόθορνος, ἡ κὴ πάντα ἄνεμον λίκμησις, ἐξυσίαν λαβοῦσα τὴν νεόγραφον κακυργίαν, κὴ τὴν κατὰ τῆς ἀληθείας ἐπίνοιαν. Σοφοὶ γὰρ ἐγένοντο εἰς τὸ κακοποιῆσαι, τὸ δὲ καλοποιῆσαι, οὐκ ἔγνωσαν. Ἐντεῦθεν ἡ σοφισικὴ τῷ αἱρετικῶν κατάκρισις, οὓς λόγῳ μὲν ἀπεκήρυξαν, ἵν' ᾖ πιθανὸν αὐτοῖς τὸ ἐπιχείρημα, ἔργῳ δὲ προήγαγον εἰς τὸ ἔμπροσθεν· ὐδὲ ἀσέβειαν ἄμεμπτον, ἀλλὰ συγγραφλὼ ἄπιστον ἐγκαλέσαντες. Ἐντεῦθεν οἱ βέβηλοι τῷ Ὁσίων κεῖται, κὴ ἡ καινὴ μίξις, ὄψις δημοσία, κὴ μυσικὰ προβλήματα, κὴ ἡ παράνομος τῷ βεβιωμένων ἐξέτασις κὴ οἱ μιθήμενοι συκοφάνται, κὴ ἡ ἐπὶ

ρητοῖς κρίσις· καὶ οἱ μὲν ἐξωθούμενοι τῆς θρόνων ἀδίκως, οἱ δὲ ἀντεισαγόμενοι, καὶ τὰ χειρόχραφα τῆς ἀσεβείας ἀπαιτέμενοι, ὥσπερ τι ἄλλο τῆς ἀναγκαίων, καὶ τὸ μέλαν ἕτοιμον, καὶ ὁ συκοφάντης ἐγγύς· ὃ δὴ καὶ ἡμῶν τῆς ἀπτήτων οἱ πλεῖστοι πεπόνθασι, διανοίᾳ μὲν ἐκ πεσόντες, γράμματι δὲ παραχθέντες, καὶ εἰς σὲ ἐλθόντες τοῖς πονηροῖς κατ' ἀμφότερα, καὶ τοῦ καπνοῦγε εἰ καὶ μὴ τοῦ πυρὸς μεταχόντες. Ὁ πολλάκις ἐδάκρυσα, ὁρῶν τὴν τότε χύσιν τῆς ἀσεβείας, καὶ τὸν ναὸν ἐπανασαύτα διωγμὸν τῆς ὀρθῷ λόγῳ παρὰ τῆς προσατῆς τὲ Λόγε. Τῷ ὄντι γὰρ ποιμένες ἠφρονεύσαντο καὶ τὸ γεγραμμένον· καὶ ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά με, ἤχυναν μερίδα ἐπιθυμητὴν, τὴν Ἐκκλησίαν τὲ Θεὲ λέγω, πολλοῖς ἰδρῶσι, καὶ σφαγίοις συνειλεγμένην, τοῖς πρὸ Χριστὲ καὶ μετὰ Χριστὸν, καὶ αὐτοῖς τοῖς μεγάλοις τοῦ Θεοῦ περὶ ἡμῶν πάθεσι· πλὴν ὀλίγων ἄγαν, καὶ τέκνων ὅσοι διὰ σμικρότητα παρερρίφησαν, ἢ δι' ἀρετὴν ἀνέβησαν, οὓς ἔδει σπέρμα καὶ ῥίζαν ὑπολειφθῆναι τῆς Ἰσραὴλ, ἵνα ἀναθάλῃ πάλιν, καὶ ἀναβιώσῃ ταῖς ἐπιῤῥοίαις τὲ Πνεύματος· πάντες τὲ καιρὲ γεγόνασι, τοσὲτον ἀλλήλων διενεγκόντες, ὅσον τὰς μὲν πρότερον, τὰς δὲ ὕστερον τὲτο παθεῖν. Καὶ τοὺς μὲν προαγωνιστὰς καὶ προστάτας γενέσθαι τῆς ἀσεβείας, τοὺς δὲ παχθῆναι τὰ δεύτερα, ἢ φόβῳ καταπεπτωκότας, ἢ χρείᾳ δελωθέντας, ἢ κολακείᾳ δελεασθέντα, ἢ ἀγνοίᾳ κλαπέντας, τὸ μετριώτατον. Εἶτα καὶ τὲτο αὔταρκες εἰς ἀπολογίαν τῆς λαοῦ προεστάναι πεπισευμένων. Ὥσπερ γὰρ οὐχ αἱ αὐταὶ λεόντων τε καὶ τῆς ἄλλων ζώων ὁρμαὶ, οὐδὲ ἀνδρῶν, ἢ γυναικῶν, ἢ πρεσβυτέρων, ἢ νεωτέρων, ἀλλ' ἔστι καὶ ἡλικιῶν καὶ γενῶν οὐ μικρὸν τὸ διάφορον, ἕπος οὐδὲ ἀρχόντων, ἢ ἀρχομένων. Τοῖς μὲν δὴ τὲ λαὲ τάχα ἂν καὶ συγγινώσκομεν τὲτο πάσχειν, ὃς σώζει πολλάκις τὸ ἀβασάνιστον. Διδασκάλῳ δὲ πῶς τὲτο δώσωμεν, ὃς καὶ τὰς τῆς ἄλλων ἀγνοίας ἐπανορθοῖ, ἃ πέρ ἢ μὴ

φθά-

ψευδώνυμος. Πῶς γὰρ ἐκ ἄτοπον, Ῥωμαίων μὲν νόμον μηδενὶ ἀγνοεῖν ἐξεῖναι, μὴ δὲ αὖ σφόδρα ἤ τις ἀγροικίας καὶ ἀμαθέστατος, μηδὲ εἶναι νόμον τὸν βοηθοῦντα τοῖς πραττομένοις δι' ἄγνοιαν, τὰς δὲ τῆς σωτηρίας ἀγνοεῖν μυσταγωγὰς, τὰς τῆς σωτηρίας ἀρχὰς, κἂν πάλλα τυγχάνωσι τῶν ἁπλουστέρων ὄντες, καὶ μὴ βαθεῖς τὴν διάνοιαν; πλὴν ἔστω συγγνώμη τοῖς δι' ἄγνοιαν κατακλεισθήσασι. Τί δὲ αὖ εἴποις περὶ τῶν ἄλλων, ὅσοι καὶ ἀγχινοίας μεταποιούμενοι, δι' ἃς εἶπον αἰτίας τῶν κρατούντων ἡττήθησαν, καὶ τὴν τῆς δυσσεβείας σκηνὴν ἐπὶ πολὺ παίξαντες, ὡς ἔφην τι τῶν ἐλεγχόντων, καὶ κατηνέχθησαν; ἔτι μὲν ἅπαξ τὸν Οὐρανὸν καὶ τὴν γῆν σειομένην τῆς γραφῆς ἀκούω λεγούσης, ὡς δὴ τοῦτο μαθόντων καὶ πρότερον, ὕστερον δηλουμένης, οἶμαι, τῆς ἐπιφανείας τῶν πραγμάτων καινοτομίας, καὶ τὸν τελευταῖον σεισμὸν Παύλῳ πιστευτέον λέγοντι μὴ ἄλλον εἶναι, ἢ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν τοῦ δὲ τοῦ παντὸς μεταποίησιν καὶ μετάθεσιν, εἰς τὸ ἀκίνητον καὶ ἀσάλευτον. Τὸν δὲ νῦν τοῦτον σεισμὸν οὐδενὸς ἐλάττω τῶν προγεγενημένων ὑπολαμβάνω, καθ' ὃν κινεῖται μὲν ἀφ' ἡμῶν, ὅσον φιλόσοφον καὶ φιλόθεον, καὶ πρὸ καιροῦ τοῖς ἄνω πολιτευόμενον. Οἱ κἂν πάλλα ὦσιν εἰρηνικοί τε καὶ μέτριοι, τοῦτό γε ἀναφέρουσιν ἐπιεικεῖς εἶναι, Θεὸν προδιδόναι διὰ τῆς ἡσυχίας. Ἀλλὰ καὶ λίαν εἰσὶν ἐνταῦθα, πολεμικοί τε καὶ δύσμαχοι. Τοιοῦτον γὰρ ἡ τοῦ ζήλου θερμότης, καὶ θάττον ἄν τι μὴ δέον παρακινήσαιεν, ἢ δέον παραλίποιεν. Συναπορρήγνυται δὲ καὶ τῶν λαῶν οὐκ ἐλάχιστον, ὥσπερ ἐν ὀρνίθων ἀγέλῃ· τοῖς προαναπτᾶσι συναναπτᾶν, καὶ ἐδὲ νῦν ἔτι λήγει σωιανισάμενον. Τοῦτο Ἀθανάσιος ἡμῖν, ἕως παρῶ ὁ στύλος τῆς Ἐκκλησίας· τῶν τοῦτο ἐπειδή γε ταῖς ἐπηρείαις τῶν πονηρῶν ὑπεχώρησεν. Ὥσπερ γὰρ οἱ φρέατός τι τῶν πατέρων ἐξελεῖν βουλόμενοι, ἐπειδὰν ἄλλως ἴδωσι διαπρόσιτον καὶ δυσάλωτον, ἐπὶ τὴν τέχνην χωροῦσιν· εἶπε τί; χώματα, ἢ δόλῳ τὸν φρέαρ-

ραρ-

ραρχον ὑποστάσαντες, ὅπω ἤδη συὶ οὐδενὶ πόνῳ καὶ τῆς φρενᾶς ἐκράτησαν. Εἰ βέλει δὲ ὥσπερ οἱ τῷ Σαμψὼν ἐπιβελόσαντες, τιὼ κόμιω πρότερον, ἐν ᾗ τὴν ἰσχὺν εἶχε, περιελόντες, πνικαῦτα ὑπὸ χεῖρα τὸν Κριτιὼ ἔλαβον, εἶτ' ἐνέπαιζον ὅσα βουλομένοις ἰῶ, τῆς περὶν τὲ ανδρὸς δυνασείας ἀντίῤῥοπα. Οὕτω κὴ οἱ καθ' ἡμᾶς ἀλλόφυλοι, τὸ ἡμέτερον κράτος ἐκ ποδῶν ποιησάμενοι, κὴ τιὼ δόξαν τῆς Ἐκκλησίας ἀποκείραντες, οὕτως ἤδη τοῖς τῆς ἀσεβείας ἐνεζύφων δόγμασί τε καὶ πράγμασι. Ταύτῃ καὶ μεταλλάττει μὲν τὸν βίον ὁ τὲ ανὶτιθέκ ποιμένος βεβαιωτὴς καὶ προστάτης, κακὸν οὐ κακῇ Βασιλείᾳ τὸ κεφάλαιον ἐπιθείς, κὴ ανόητα μεταγνοὺς, ὥς φασιν, ἐπὶ ταῖς τελευταίαις ανάπνοαῖς, ἰώκα δ' γνώμων ἕκαστος τῷ ἑαυτὲ κριτὴς, διὰ τὸ ἐκεῖ δικαστήριον. Τεία δὲ ταῦτα οἱ συνεγνωκέναι κακὰ, κὴ τῆς ἑαυτὲ Βασιλείας ανάξια, τὸν τὲ γένους φόνον, καὶ τιὼ ανάῤῥησιν τοῦ ἀποστάτου, κὴ τιὼ καινοτομίαν τῆς πίσεως, κὴ ταύταις συναπελθεῖν λέγεται ταῖς φωναῖς. Ἐξσίαν δὲ αὖθις ὁ τῆς ἀληθείας λόγος λαμβάνει, καὶ παῤῥησίαν οἱ βιαθέντες αὐτόνομον, τὲ ζήλου τὸν θυμὸν θήγοντος· ὃ δὴ κὴ τῷ Ἀλεξανδρέων ἔπαθε δῆμος (οἷον ἐκεῖνος περὶ τὲς ὕβρεις) οὐκ ἐνεγκόντες τὲ ανδρὸς τιὼ ἀμεξίαν, καὶ διὰ τὲτο ξενῷ μὲν θανάτῳ τὴν πονηρίαν, ξενὴ δὲ ὕβρει τὸν θάνατον σηλιτεύσαντες. Ἴστε τιὼ κάμηλον ἐκείνιω, κὴ τὸν ξένον φόρτον, κὴ τὸ καινὸν ὕψος, κὴ τιὼ πρώτιω περίοδον, οἶμαι δὲ κὴ μόνην, τὰ μέχει καὶ νυῖ τοῖς ὕβρεισαῖς ἀπειλούμενα.

Ἐπεὶ δὲ ὁ τυφῶν τῆς ἀδικίας, ὁ τῆς δυσσεβείας φθορὸς, ὁ τοῦ πονηροῦ πρόδρομος ταύτιω εἰσράττεται τιὼ δίκιω, ἐμοὶ μὲν οὐκ ἐπαινετιὼ (οὐ γὰρ ἃ παθεῖν ἐκεῖνον ἐχρὴν, ἀλλ' ἃ ποιεῖν ἡμᾶς ἔδει σκοπεῖν) εἰσράττεται δ' ἓν ὀργῆς πανδήμε, κὴ φορᾶς ἔργον γενόμενος, ἐπαύεισι μὲν ἐκ τῆς καλῆς ἐκδημίας ὁ ἀθλητὴς· οὕτω δὲ ἐγὼ καλῶ τιὼ ἐκείνε διὰ τὴν Τριάδα κὴ

με-

μετὰ τῆς Τριάδος φυγήν· ὅπω δὲ ἀσμενόις προσίπτει τοῖς ἐν τῇ πόλει, καὶ μικρᾷ τῇ Αἰγύπτῳ πάσῃ, πανταχόθεν εἰ ταὐτὸ συνδραμόσῃ, καὶ ἀπ' ἄκρας πάντος, ἵν' οἱ μὲν φωνῆς Ἀθανασίου μόνης, οἱ δὲ τὸ εἴδος ἐμφορηθῶσιν, οἱ δὲ, ὃ περὶ τῶν Ἀποστόλων ἠκούσαμεν, τῇ σκιᾷ γὰρ ἀγιασθῶσι μόνῃ, καὶ τῷ καινῷ τύπῳ τοῦ σώματος, ὥστε πολλῶν πολλάκις καὶ πολλοῖς ἤδη γεγενημένων ἐκ τοῦ παντὸς χρόνου τιμῶν τε καὶ ὑπαντήσεων, οὐκ ἄρχουσι μόνον δημοσίοις καὶ ἱερεῦσιν, ἀλλὰ καὶ τῶν οἰκείων τοῖς ἐπιφανεστάτοις, μηδὲ μίαν ταύτης μνημονεύεσθαι πολυανθρωποτέραν καὶ λαμπροτέραν. Ἓν δὲ εἶναι ταύτῃ μόνον παραβάλλειν αὐτὸν Ἀθανάσιον καὶ τὴν αὐτῷ προτέραν συντεθεῖσαν, ἐπὶ τῇ προτέρᾳ ταύτης εἰσόδῳ τιμιωτέᾳ, ἵνα ἐκ τῆς αὐτῆς καὶ ἐπὶ τοῖς αὐτῆς ἐπαινέσει φυγῆς. Φέρεται καὶ τοιοῦτός τις ἐπ' ἐκείνῃ τῇ τιμῇ λόγος. Λεγέσθω γὰρ εἰ καὶ περιττότερος, οἷον ἥδυσμά τι τῷ λόγῳ καὶ αὖθις εἰσόδιον. Εἰσήλαυνέ τις τῶν δισυπάτων μετ' ἐκεῖνον τιμιωτέᾳ εἴσοδον· ἡμέτερος οὗτος ἦν, Καππαδόκης γὰρ καὶ τῶν πάνυ, τὸν Φιλάγριον ἐκεῖνον οἶδ' ὅτι πάντες ἀκούετε, καὶ τὸ φίλτρον, οἷον ἐκ ἄλλου καὶ περὶ ἄλλου, καὶ ἡ τιμὴ κατὰ τὸ φίλτρον, ἵνα μικρῷ λόγῳ παραστήσω τὸ πᾶν γνώρισμα, ᾧ καὶ ἡ ἀρχὴ προσβείᾳ τε τῆς πόλεως, καὶ ψήφῳ τοῦ Βασιλέως, αὖθις ἐγχειρισθεῖσα. Τότε ἦν τινα τοῦ δήμου, ᾧ ἐφαίνετο τὸ πλῆθος ἄπειρον, καὶ οἷόν τι πέλαγος οὐχ ὁριζόμενον τοῖς ὀφθαλμοῖς, πρός τινα λέγεται τῶν ἑαυτοῦ σωμάτων καὶ φίλων, ὃ φιλεῖ συμβαίνειν ἐν τοῖς τοιούτοις, εἰπεῖν· εἰπέ μοι, ὦ βέλτιστε, ἤδη ποτὲ τεθέασαι δῆμον τοσοῦτον, καὶ οὕτως ἔμψυχον, ἐφ' ἑνὸς ἀνθρώπου τιμῇ χυθέντα; οὐ φαίης τὸν νεανίαν, ἀλλ' ἐμοὶ μὲν δόξαι, μηδ' ἂν αὐτὸν ταύτης τυχεῖν Κωνσταντίου, ὡς τὸ ἀκροτάτω τῆς τιμῆς δηλωμένῳ διὰ τοῦ Βασιλέως· καὶ τὸν γελάσαντα μάλα κομψὸν καὶ ἡδύ, τί τοῦτο ἔφης, εἰπεῖν, ὡς δή τι λέγων μέγα καὶ θαυμαστόν; μόλις ἂν οἶμαι καὶ Ἀθανάσιον ὅπως εἰσαχθῆναι

ναι τὸν μέγαν, καὶ ἅμα ὅρκον τινὰ προσθεῖναι καὶ τῷ ἐπιχωρίων, εἰς τὴν τῶ λόγω βεβαίωσιν. Ἐβέλετο δὲ ὁ λόγος αὐτῷ, ὃ κὴ ὑμῖν οἶμαι δῆλον, καὶ Βασιλέως αὐτῶ ἔμπροσθεν ἄγειν, τὸν νυῦ δ' φημέμενον. Τοσοῦτον ἰῶ παρὰ πᾶσι τὸ τῶ ἀνδρὸς τέτω σέβας, καὶ τοσαύτη τῆς μνημονδομένης εἰσόδω νῦν ἡ καπάπληξις. Κατὰ γὸ γένη, κὴ ἡλικίας, κὴ τέχνας διαιρεθέντες (φιλῶσι γὸ μάλισα ἡ πόλις αὕτη ὕπω διασκδάζεθαι, ὅταν τινὶ πλέκωσι τιμὴ δημοσίαν. Πῶς ἂν παραστήσαιμι τῷ λόγῳ, τὸ μέγα ἐκεῖνο θέαμα;) ποταμὸς ἦσαν εἷς. Ποιητῶ δὲ ἦν ἄρα κὴ τὸν Νεῖλον εἰπεῖν τὸν χρυσορρόαν ὄντως καὶ εὔσαχυν, ἔμπαλιν ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Χαιρέω ῥέοντα, ἡμερησίαν ὁδὸν οἶμαι καὶ περαιτέρω. Δότε μοι μικρὸν ἔτι ἐνξυφῆσαι τῷ διηγήματι· ἐκεῖσε γάρ εἰμι, καὶ οὐδὲ ἀπαχθλῶσαι τὸν λόγον τῆς τελετῆς ἐκείνης ῥάδιον. Πῶλος μὲν ἦγεν αὐτὸν (κὴ μή μοι τῆς ἀπονοίας μέμφησθε) ὡς μικρῶ τὸν ἐμόν. Ἰσσῶν ὁ πῶλος ἐκεῖνος, εἴτ' ὢν ἐξ ἐθνῶν λαὸς, ὃν εὖ ποιῶν ἐπιβαίνει τῷ τῆς ἀγνοίας δεσμῶν λυόμενον, εἴτέ τι ἄλλο βέλεται παραδηλῶν ὁ λόγος. Κλάδοι δὲ αὐτὸν ὑποδέχονται, κὴ στρώσεις ἱματίων πολυανθῶν κὴ ποικίλων προῤῥιπτομένων τε κὴ ὑπορῥιπτομένων. Ἐνταῦθα μόνον ἀτιμαθέντος τῶ ὑψηλῶ κὴ πολυτελῶς κὴ τὸ ἴσον μὴ ἔχοντος· εἰκὼν καὶ αὕτη τῆς ἐπιδημίας Χριστῶ. Καὶ οἱ προβοῶντες κὴ προχορδύοντες, πλὴν ὅσον ὁ παίδων ὅμιλος μόνον τὸ δ' φημοῦν ἦν, ἀλλὰ καὶ πᾶσα γλῶσσα σύμφωνος καὶ ἀντίθετος, νικᾶν ἀλλήλως ἐπειγομένων. Ἐῶ γὸ λέγειν κρότως πανδήμως, καὶ μύρων ἐκχύσεις κὴ πανυχίδας, καὶ πᾶσαν φωτὶ καπασραπτομένω τὴν πόλιν, κὴ δημοσίως ἑστιάσεις κὴ οἰκιδίας, κὴ ὅσοις αἱ πόλεις τὸ φαιδρὸν ἐπισημαίνεσιν, ἃ τότε μετ' ὑπερβολῆς ἐκείνω κὴ παρὰ τὸ εἰκὸς ἐχαρίζοντο. Οὕτω τὴν ἑαυτῶ πόλιν ὁ θαυμάσιος ἐκεῖνος, καὶ μετὰ τοιαύτης κωταλαμβάνει τῆς πανηγύρεως. Ἆρ' οὖν ἐβίω μὲν, ὥσπερ εἰκὸς, τὰς λαοῦ τοσούτω προστησομένως; ἐδίδα-

ξε

ξε δὲ ἐχ ὡς βεβίωκεν; ἠγώνισται δὲ οὐχ ὡς ἐδίδαξεν; ἐκινδύνευσε δὲ τῷ ὑπὲρ τῶ Λόγε τινὸς ἠγωνισμένων ἐλάττω; τετίμηται δὲ ὧν ἠγώνισαι μεῖον; κατήχωσε δέ τι τῷ τῆς εἰσόδε μετὰ τὸν εἴσοδον; ἐδαμῶς. Πάντα δὲ ἀλλήλων ἐχόμενα, ὥσπερ ἐν λύρᾳ μιᾷ, καὶ τῆς αὐτῆς ἁρμονίας, ὁ βίος, ὁ λόγος, οἱ ἀγῶνες, οἱ κίνδυνοι, τὰ τῆς ἐπανόδε, τὰ μετὰ τὴν ἐπάνοδον· ὁμῶς τε γὰ τὴν Ἐκκλησίαν καταλαμβάνει, καὶ οὐ πάχει παντὸν τοῖς δι' ἀμετρίαν ὀργῆς τυφλώττεσι, καὶ ὅ, τι αὖ παραπέσῃ, τῶτο φρῶτον περιωθῶσι, κἄν τι τῷ φειδοῦς ἀξίων ὂν τύχοι, τοῦ θυμῶ δυνασθέντος· ἀλλὰ τοῦτον μάλιστα δοκιμήσεως καιρὸν εἶναι νομίσας· ἐπειδὴ τὸ μὲν πάχος κακῶς ἀεὶ μετεωρότερον, τὸ δὲ ἐν ὀξυσίᾳ τῶ αὐτιδρᾶν ἀκρατέστερον. Οὕτω φρόνως καὶ ἱπίως τὰ τῷ λελυπηκότων μεταχειρίζεται, ὡς μηδὲ αὐτοῖς ἐκείνοις οἷόν τε τῶτο εἰπεῖν, ἀνδῆ γενέσθαι τῶ ἀνδρὸς τὸν ἐπάνοδον. Καθαιρεῖ μὲν γὰρ τὸ ἱερὸν τῷ θεοκαπήλων καὶ χειστεμπόρων, ἵνα καὶ τῶτο τῷ Χριστῶ μιμήσηται, πλὴν ὅσον ὁ φραγελλίῳ πλεκτῷ, λόγῳ δὲ πιθανῷ τῶτο ἐργάζεται· καταλλάττει δὲ τὸ σασιάζον, φρός τε αὐτὸ καὶ ἑαυτὸν, ὁδηνὸς τῷ συναγόντων φροσδεηθείς· λύει δὲ τοῖς ἠδικημένοις τὰς τυραννίδας, ὁδὸν διελὼν τὰς τῆς αὐτῶ μερίδος καὶ τῆς ἐναντίας· ἀνίστησι δὲ πεπτωκότα λόγον· παῤῥησιάζεται δὲ ἡ Τριὰς πάλιν ἐπὶ τὸν λυχνίαν τεθεῖσα, καὶ λαμφρῷ τῷ φωτὶ τῆς μιᾶς Θεότητος ταῖς πάντων ψυχαῖς ἀναῤῥάπτουσα. Νομοθετεῖ δὲ τῇ οἰκουμένῃ πάλιν, ἐπιστρέφει δὲ φρὸς ἑαυτὸν πᾶσαν διανοιαν· τοῖς μὲν ἐπισέλλων, τὰς δὲ διδάσκων, ἔστι δὲ ὃς καὶ ἁπλότας φροσιόντας σοφίζων, νόμον ὥστα φροθεὶς τὸ βέλεσθαι, καὶ τῷ τοῦτο μόνον ὀξύρκει φρὸς ὁδηγίαν τοῦ κρείττονος. Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, δύο λίθων μιμεῖται φύσεις ἐπαινουμένων· γίνεται γὰ τοῖς μὲν παίουσιν ἀδάμας, τοῖς δὲ σασιάζουσι μαγνῆτις, ἀῤῥήτῳ φύσεως βίᾳ τὸν σίδηρον ἕλκουσα, καὶ τὸ στερῤῥότατον ἐν ὕλαις οἰκειουμένη,

μενη. Ἀλλ' ὁ γὰρ ἔμελλε ταῦτα οἴσειν ὁ φθόνος, ὁ δὲ τὴν Ἐκκλησίαν ὁρῶν αὐέξεσθαι πάλιν ἐπὶ τῆς αὐτῆς δόξης, καὶ τῆς παλαιᾶς ὑγιείας, πάχιστα τὸ διεστῶτος συνελῶσθέντος, ὥσπερ ἐν σώματι. Διὰ τοῦτο ἐπανίστησιν αὐτῷ τὸν σωματοκάτην ἑαυτῷ βασιλέα, καὶ τὴν καινὴν ὁμότιμον, χρόνῳ μόνῳ λειπόμενον. Ὃς φρῶτος Χριστιανῶν βασιλέων κατὰ Χριστὸν ἐμανη, καὶ ὃν ὤδινε πόρρωθεν ἐν ἑαυτῷ βασιλίσκον τῆς ἀσεβείας ἀναρρήξας ἀθρόως, ἐπειδὴ καιρὸν ἔλαβεν, ὁμοῦ τε Αὐτοκράτωρ ἀνάδειχνυται, καὶ κακὸς μὲν περὶ τὸν πιστώσαντα βασιλέα τὰ βασίλεια γίνεται, κακίων δὲ περὶ τὸν σεσωκότα Θεόν· καὶ διωγμὸν ἐννοεῖ τῷ πώποτε γενομένων ἀπανθρωπότατον, ὅσῳ τὸ πιθανὸν τῇ τυραννίδι μίξας (ἐφθόνει γὰρ τοῖς πάλαι καὶ τῆς ἐπὶ τοῖς ἄθλοις τιμῆς) ἀμφίβολον ἐποίει, καὶ τὸ τῆς ἀνδρείας φιλότιμον, τὰς ἐν τοῖς λόγοις τροφὰς καὶ πλοκὰς, ἐπὶ τὸν τρόπον μετενεγκών, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ἀπὸ τοῦ τρόπου καὶ περὶ ἐκεῖνα ἀποδάσας, καὶ τὸν σύνοικον αὐτῷ πονηρὸν, τῆς πολυτεχνίας μιμούμενος. Οὗτος μικρὸν μὲν ἔργον ἐνόμισεν εἶναι, τὸ πάντων Χριστιανῶν παραστήσεσθαι γένος, μέγα δὲ τὸ Ἀθανασίου κρατῆσαι, καὶ τῆς ἐκείνου περὶ τὸν λόγον ἡμῶν δυνάμεως· καὶ γὰρ ἑώρα μηδὲν ὂν αὐτῷ πλέον τῆς καθ' ἡμῶν ἐννοίας, διὰ τοῦτο τὸ ἀνδρὸς ἀντιπαράταξιν καὶ ἀντίθεσιν, ἀεὶ τὸ κενωμένου Χριστιανῶν ἀναπληρωμένου διὰ τῆς Ἑλληνικῆς προσθήκης, καὶ τῆς ἐκείνου συνέσεως, ὁ καὶ παράδοξον.

Ταῦτ' ἂν ἐννοῶν καὶ ὁρῶν ὁ δεινὸς ἐκεῖνος παραλογιστὴς καὶ διώκτης, οὐδὲ ἐπὶ τοῦ πλάσματος ἔτι μένει, καὶ τῆς σοφιστικῆς ἀνελεύθερίας, ἀλλὰ τὴν πονηρίαν γυμνώσας, φανερῶς ὑπεροράζει τὸν ἄνδρα τῆς πόλεως. Εἶδε γὰρ τείσι παλαίσμασι τὸν γενναῖον νικήσαντα, τελείας τυχεῖν καὶ τῆς ἀναρρήσεως. Μικρὸν τὸ ἐν μέσῳ, καὶ Πέρσαις μὲν ἡ δίκη δῶσα τὸν ἀλιτήριον, ἐκεῖ δικάζει, καὶ βασιλέα φιλότιμον παραπέμψασα,

νε-

νεκρὸν ἐπανάγει μηδ' ἐλεύμενον, ὡς δὲ ἐγώτινος ἤκου-
σα, μηδὲ τῷ τάφῳ προσλαμβανόμενον. Ἀλλ' ὑπὸ τῆς
σειθείσης δι' αὐτὸν γῆς ἀποσειόμενον καὶ ἀναβρασίμε-
νον, προοίμιον οἶμαι τῆς ἐκεῖθεν κολάσεως. Ἀνίσταται
δὲ Βασιλεὺς ἕτερος, οὐκ αἰδοὺς τῷ προσώπῳ κατὰ τὸν
προειρημένον, οὐδὲ τοῖς πονηροῖς ἔργοις καὶ ἐπιστάταις
ἐνθλίβων τὸν Ἰσραὴλ, ἀλλὰ καὶ λίαν δυσεβής τε καὶ ἄ-
μερος, ὃς ἵνα ἀεί σφιν ἑαυτῷ καταστήσεται τὴν τῆς Βα-
σιλείας κρηπῖδα, καὶ ὅθεν δεῖ τῆς δυνομίας ἄρξηται,
λύει μὲν τοῖς Ἐπισκόποις τὴν ἐξουσίαν τοῖς τε ἄλλοις
ἅπασι, καὶ πρὸ πάντων τῷ πρὸ πάντων τὴν ἀρετὴν, καὶ
προδήλως ὑπὲρ τῆς δυσεβείας πολεμηθέντι. Ζητεῖ δὲ
τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν ὑπὸ πολλῶν δια-
στραφεῖσαν καὶ συγχυθεῖσαν, καὶ εἰς πολλὰς δόξας καὶ
μοίρας νενεμημένην, ὥστε μάλιστα μὲν τὸν Κόσμον ὅ-
λον οἱόντι συμφωνῆσαι καὶ εἰς σὲ ἐλθεῖν τῇ συνεργείᾳ
τὸ Πνεύματος· εἰδ' ὅ, ἀλλ' αὐτόν γε μετὰ τῆς βελτίσης
γενέσθαι, κἀκείνῃ παραχεῖν τὸ κράτος, καὶ παρ' ἐκείνης
ἀντιλαβεῖν, λίαν ὑφηλῶς τε καὶ μεγαλοπρεπῶς ἐπὶ τῷ
μεγίσων διανοούμενος. Ἔνθα δὴ καὶ μάλιστα ἐδείχθη
τὸ ἀνδρὸς ἡ καθαρότης, καὶ τὸ στερέωμα τῆς εἰς Χρι-
στὸν πίστεως. Τῶν γὰρ ἄλλων ἁπάντων ὅσοι τὸ καθ' ἡ-
μᾶς λόγε, τριχῇ νενεμημένων, καὶ πολλῶν μὲν ὄντων
τῷ περὶ τὸν Υἱὸν ἀρρωστέντων, πλειόνων δὲ τῷ περὶ
τὸ Πνεῦμα τὸ Ἅγιον, ἔνθα καὶ τὸ ἧττον ἀσεβεῖν ἀσέ-
βεια ἐνομίσθη, ὀλίγων δὲ τῷ κατ' ἀμφότερα ὑγιαινόν-
των, πρῶτος καὶ μόνος, ἢ κομιδῇ σωὶ ὀλίγοις ἀποτολ-
μᾷ τὴν ἀλήθειαν, σαφῶς ὅπωσὶ καὶ διαῤῥήδην τῷ τριῶν
μίαν Θεότητα καὶ ὐσίαν ἐγγράφως ὁμολογήσας, καὶ ὃ
τῷ πολλῷ τῷ Πατέρων ἀριθμῷ περὶ τὸν Υἱὸν ἐχαρί-
σθη πρότερον, τοῦτο περὶ τὸ Ἁγίε Πνεύματος αὐτὸς ἐμ-
πνευσθεὶς ὕστερον, καὶ δῶρον βασιλικὸν ὄντως καὶ μεγα-
λοπρεπὲς τῷ Βασιλεῖ προσενεγκών, ἔγγραφον τὴν δυ-
σέβειαν κατὰ τῆς ἀγράφου καινοτομίας, ἵνα Βασιλεῖ
μὲν Βασιλεὺς, λόγῳ δὲ λόγος, γράμματι δὲ γράμμα

κα-

καταπαλαίηται. Ταύτην μοι δοκῶσιν αἰδούμενοι τὴν ὁμολογίαν οἵ, τε τῆς Ἑσπερίας καὶ τῆς Ἑῴας ὅσον βιώσιμον, οἱ μὲν μέχρι διανοίας ἄγειν τὸ δύσεβὲς (ἔτι λέγουσιν αὐτοῖς πιστεύτεον) περαιτέρω δὲ μὴ προάγειν, ὥς πέρ τι νεκρὸν νύμφα ταῖς μηδάσιν ἐναποθνῆσκον· οἱ δὲ μικρὸν ἐξάπτειν ὥς περ σπινθῆρα, ὅσον ἀφοσιοῦσθαι τὸν καιρὸν, ἢ τῷ ὀρθοδόξων τοὺς θερμοτέρους, ἢ τῷ λαῶν τὸ φιλόθεον· οἱ δὲ καὶ παῤῥησιάζεσθαι τὴν ἀλήθειαν, ἧς αὖ εἶην ἐγὼ μελίδος, ἐ γὸ τολμῶ τι πλέον καυχήσασθαι, μηκέτι τῳ ἐμῳ δειλίαν οἰκονομῶν, ὡς δὴ τῳ τῶν σαθροτέρων διανοίαν (ἱκανῶς γὸ ᾠκονομήσαμεν, μήτε τὸ ἀλλόξιον προσλαμβάνοντες, καὶ τὸ ἡμέτερον φθείροντες, ὃ καπῶν ὄντως ἐσὶν οἰκονόμων.) ἀλλ' εἰς φῶς ἄγων τὸν τόκον, καὶ μετὰ σπουδῆς ἐκτρέφων, καὶ ταῖς ἁπαίτων ὄψεσι προτιθεὶς, ἀεὶ τελειούμενον. Τοῦτο μὲν ἔν ἧττον ἐκείνε θαυμάζειν ἄξιον· ὁ γὸ ἔργῳ τῆς ἀληθείας προκινδυνεύσας, τί θαυμασὸν εἰ γράμματι ταύτῳ καθωμολόγησεν; ὃ δὲ μάλιστα τοῦ ἀνδρὸς θαυμάζειν ἔπεισι, καὶ ζημίᾳ τὸ σιωπᾶν διὰ τὸν καιρὸν μάλισα πολλὰς ποιῶν τὰς διαστάσεις, τοῦτο ἔτι προσθήσω τοῖς εἰρημένοις. Γένοιτο γὰρ αὖ τι παίδευμα καὶ τοῖς νῦν ἡ πρᾶξις, εἰ πρὸς ἐκεῖνον βλέποιμεν. Ὡς γὰρ ὕδατος ἑνὸς τέμνεται, ἐ τοῦτο μόνον ὅσον ἡ χεὶρ ἀφῆκεν ἀρυομένη, ἀλλὰ καὶ ὅσον τῇ χειρὶ περιεχέθη τῷ δακτύλων ἐκρέον, ἕπω καὶ ἡμῶν οὐχ ὅσον ἀσεβὲς χίζεται μόνον, ἀλλὰ καὶ ὅσον δύσεβέσερον, ἐ περὶ δογμάτων μόνον μικρῶν καὶ παροᾶσθαι ἀξίων (ἧττον γὸ ἂν ἦν τοῦτο δεινόν) ἀλλ' ἤδη καὶ περὶ ῥημάτων εἰς τὸ αὐτὸ φερόντων διανοίαν. Τῆς γὸ μιᾶς ἐσίας, καὶ τῷ τριῶν ὑποσάσεων λεγομένων μὲν ὑφ' ἡμῶν δύσεβῶς· τὸ μὲν γὸ τὴν φύσιν δηλοῖ τῆς Θεότητος, τὸ δὲ τὰς τῷ τριῶν ἰδιότητας, νοουμένων δὲ καὶ παρὰ τοῖς Ἰταλοῖς ὁμοίως, ἀλλ' οὐ δυναμένοις διὰ σκνότητα τῆς παρ' αὐτοῖς γλώττης καὶ ὀνομάτων πενίαν, διελεῖς ἀπὸ τῆς ἐσίας τὴν ὑπόσασιν, καὶ διὰ τοῦτο αὐτεισά-

σάγεσι τὰ πρόσωπα, ἵνα μὴ ξεῖς ὑσίας παραδεχθῶσι, τί γίνεται; ὡς λίαν γελοῖον κὴ ἐλεεινόν. Πίστεως ἔδοξε διαφορὰ, ἡ περὶ τὸν ἦχον μικρολογία. Εἶτα Σαβελλισμὸς ἐνταῦθα ἐπενοήθη τοῖς ξισὶ προσώποις, κὴ Ἀρειανισμὸς ταῖς τρισὶν ὑποσάσεσι, τὰ τῆς φιλονεικίας ἀναπλάσματα. Εἶτα τί; προσιθεμένε μικρᾶ τινὸς ἀεὶ τῆ λυπουῦπος, ὃ λυπηρὸν ἡ φιλονεικία ποιεῖ, κινδυνεύει συναποῤῥαγῶναι ταῖς συλλαβαῖς τὰ πέρατα.

Ταῦτ' οὖν ὁρῶν κὴ ἀκούων ὁ μακάριος ἐκεῖνος κὴ ὡς ἀληθῶς ἄνθρωπος τῆ Θεῆ κὴ μέγας τῆ ψυχῶν οἰκονόμος, ὐκ ᾠήθη δεῖν παιδεῖν τινὶ ἄτοπον ὄπω κὴ ἄλογον τῆ Λόγε κατατομὴν, τὸ δὲ παρ' ἑαυτῆ φάρμακον ἐπάγει τῆ ἀῤῥωστήματι. Πῶς ὖν τῆτο ποιεῖ; προσκαλεσάμενος ἀμφότερα τὰ μέρη ὅπω πρᾴως κὴ φιλανθρώπως, κὴ τὸν νῦν τῶν λεγομένων ἀκριβῶς ἐξετάσας, ἐπειδὴ συμφρονοῦντας εὗρε, κὴ ὁδὸν διεξῶπας κατὰ τὸν λόγον, τὰ ὀνόματα συγχωρήσας, σωδεῖ τοῖς πράγμασι, τῆτο τῆ μακρῶν πόνων κὴ λόγων λυσιτελέσερον, ὃς πάντες ἤδη λογογραφοῦσιν, οἷς τις καὶ φιλοτιμία συνέζευκται, κὴ διὰ τῆτο ἴσως τι κὴ καινοτομεῖται περὶ τὸν λόγον. Τῆτο τῆ πολλῶν ἀγρυπνιῶν καὶ χαμευνιῶν πρότιμότερον, ὧν μέχρι τῆ κατορθούντων τὸ κέρδος, τῆτο τῆ ἀοιδίμων ἐξοριῶν κὴ φυγῶν τῆ ἀνδρὸς ἐπάξιον. Ὑπὲρ γὰρ ὧν εἵλετο πάσχειν ἐκεῖνα, ταῦτα μετὰ τὸ παθεῖν ἐπαιδάζετο. Τὸ δ' αὐτὸ κᾆν τοῖς ἄλλοις ποιῶν διετέλει, τὰς μὲν ἐπαινῶν, τὰς δὲ πλήττων μετρίως· κὴ τῆ μὲν τὸ νωθρὸν διεγείρων, τῆ δὲ τὸ θερμὸν κατείργων· κὴ τῆ μὲν ὅπως μὴ πταίσωσι προμηθούμενος, τὰς δὲ ὅπως διορθωθεῖεν πταίσαντες, μηχανώμενος· ἁπλοῦς δὲ πᾶν ἔῤῥπεν, πολυειδὴς τοῖς κυβέρνησιν, σοφὸς τὸν λόγον, σοφώτερος τὴν διάνοιαν, πεζὸς τοῖς ταπεινοτέροις, ὑψηλότερος τοῖς μετεωροτέροις, φιλόξενος, ἱκέσιος, ἀποῤῥόπαιος, πάντα εἰς ἀληθῶς, ὅσα μεμεσισμένως τοῖς ἑαυτῆ θεοῖς Ἕλλήνων

παῖδες ἐπιφημίζωσι. Προθήσω δὲ καὶ ζύγιον, καὶ παρθενίον, καὶ εἰρηναῖον, καὶ διαλλακτήριον, καὶ πομπαῖον τοῖς ἐντεῦθεν ἐπειγομένοις. Ὦ πόσας μοι ποιεῖ κλήσεις ὁ τῶν ἀνδρῶν ἀρετή, πανταχόθεν καλεῖν ἐθέλουσα! Ζήσας δὲ ἔτι, καὶ παιδοθεὶς καὶ παιδώσας, ὥς τε ἔρον μὲν Ἐπισκοπῆς εἶναι τὸν ἐκείνου βίον καὶ ζῆλον, νόμον δὲ Ὀρθοδοξίας τὰ ἐκείνου δόγματα· τίνα μισθὸν τῆς δυσεβείας κομίζεται; οὐδὲ ᾧ τοῦτο παιδεῖν ἄξιον. Ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον, καὶ προσίθεται τοῖς πατράσιν αὐτοῦ, Πατριάρχαις, καὶ Προφήταις, καὶ Ἀποστόλοις, καὶ Μάρτυσι, τοῖς ὑπὲρ τῆς ἀληθείας ἠγωνισμένοις· καὶ ἵνα εἴπω τινὰ βραχυὺ ἐπιτάφιον, τιμᾶται τῇ εἰσοδίων τιμῶν τὴν ἔξοδιον πολυτελεστέραν· πολλὰ μὲν κινήσας δάκρυα, μείζονα δὲ τῶν ὁρωμένων τιμῶν περὶ αὐτοῦ δόξαν ταῖς ἁπάντων διανοίαις ἐναποθέμενος. Ἀλλ' ὦ φίλη καὶ ἱερὰ κεφαλή, ὁ καὶ λόγου καὶ σιωπῆς μέρα καὶ μετὰ τοῦ ἄλλων σου καλῶν διαφερόντως τιμήσας, ἡμῖν μὲν ἐνταῦθα σῆσαι τὸν λόγον, εἰ καὶ τῆς ἀληθείας ἐνδεέστερον, ἀλλά τοι γε τροῦ δύναμιν ἀλειπόμενον. Αὐτὸς δὲ ἄνωθεν ἡμᾶς ἐποπτεύοις ἵλεως, καὶ τὸν λαὸν τόνδε διεξάγοις τέλειον, τελείας τῆς Τριάδος προσκυνητικὸν, τῆς ἐν Πατρὶ καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι θεωρουμένης καὶ σεβομένης. Καὶ ἡμᾶς εἰ μὲν εἰρηνικῶς, κατέχεις καὶ συμποιμαίνοις, εἰ δὲ πολεμικῶς, ἐπανάγοις, ἢ προσλαμβάνοις, καὶ σῆσαι μετὰ σεαυτοῦ καὶ τοῦ οἵος σύ, κἂν μέγα ᾖ τὸ αἰτούμενον, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ᾧ πᾶσα δόξα, τιμὴ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ

ΕΙΣ ΤΑ ΘΕΟΦΑΝΙΑ

Εἰτ' ὲν Γενέθλια τῦ Σωτῆρος Λόγος.

Χριστὸς γεννᾶται, δοξάσατε. Χριστὸς ἐξ Οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἵν' ἀμφότερα συνελὼν εἴπω· εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, διὰ τὸν ἐπουράνιον, εἶτα ἐπίγειον. Χριστὸς ἐν σαρκὶ, βόμῳ καὶ χαρᾷ ἀγαλλιᾶσθε· βόμῳ διὰ τὴν ἁμαρτίαν, χαρᾷ διὰ τὴν ἐλπίδα. Χριστὸς ἐκ Παρθένου, γυναῖκες, παρθενεύετε, ἵνα Χριστὸν γεννήσητε μητέρες. Τίς ὁ φοροσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς ὁ δοξάζει τὸν τελευταῖον; πάλιν τὸ σκότος λύεται· πάλιν τὸ φῶς ὑφίσταται· πάλιν Αἴγυπτος σκότῳ κολάζεται· πάλιν Ἰσραὴλ στύλῳ φωτίζεται. Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Τὸ γράμμα ὑποχωρεῖ, τὸ Πνεῦμα πλεονεκτεῖ, αἱ σκιαὶ παραβέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται. ὁ Μελχισεδὲκ σωνάγεται, ὁ ἀμήτωρ ἀπάτωρ γίνεται, ἀμήτωρ τὸ φορότερον, ἀπάτωρ τὸ δεύτερον, νόμοι φύσεως καταλύονται. Πληρωθῆναι δεῖ τὸν ἄνω Κόσμον, Χριστὸς κελεύει, μὴ ἀντιτείνωμεν. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ὅτι παιδίον ἐγεννήθη ἡμῖν Υἱὸς, καὶ ἐδόθη ἡμῖν, ἧς ἡ ἀρχὴ ἐπὶ τῷ ὤμῳ αὐτῦ. Τῷ γὰρ Σταυρῷ συνεπαίρεται, καὶ καλεῖται τὸ ὄνομα αὐτῦ, μεγάλης βουλῆς τῆς τοῦ Πατρὸς Ἄγγελος. Ἰωάννης βοάτω· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίῳ· κἀγὼ βοήσομαι τῆς ἡμέρας τὴν δυνάμιν, ὁ ἄσαρκος σαρκῦται, ὁ λόγος παχύνεται, ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται, ὁ ἄχρονος, ἄρχεται, ὁ Υἱὸς τῦ Θεῦ υἱὸς ἀνθρώπου γίνεται. Ἰησοῦς Χριστὸς, χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Ἰουδαῖοι, σκανδαλιζέσθωσαν, Ἕλληνες διαγελάσωσαν, αἱρετικοὶ

γλωσσαλγείπωσαν. Τότε πιςδύσεσιν, ὅταν ἴδωσιν εἰς Οὐρανὸν ἀνερχόμενον. Εἰ δὲ μὴ τότε, ἀλλ' ὅταν ἐξ Οὐρανῶν ἐρχόμενον, καὶ ὡς Κριτὴν καθεζόμενον. Ταῦτα μὲν ὕςερον, τὰ δὲ νῦν Θεοφάνια ἡ παννύχεις, εἴτ' ἂν γενέθλια· λέγεται γὰρ ἀμφότερα, δύο κειμένων τοῖς πράγμασι. Ἐφάνη γὰρ Θεὸς ἀνθρώποις διὰ γεννήσεως, τὸ μὲν ὢν, καὶ ἀεὶ ὢν ἐκ τοῦ ἀεὶ ὄντος, ὑπὲρ αἰτίαν καὶ λόγον (οὐδὲ γὰρ ἰσῶ τῷ Λόγου λόγος ἀνώτερος) τὸ δὲ δι' ἡμᾶς, γενόμενος ὕςερον, ἵν' ὁ τὸ εἶναι δοὺς, καὶ τὸ εὖ εἶναι χαρίσηται. Μᾶλλον δὲ ῥύσασθαι ἡμᾶς ἀπὸ τοῦ εὖ εἶναι διὰ κακίαν, πρὸς αὐτὸ πάλιν ἐπαναγάγῃ διὰ σαρκώσεως. Ὄνομα δὲ τῇ φανῆναι μὲν Θεοφάνια, τῇ δὲ γεννᾶσθαι γενέθλια. Τοῦτό ἐςιν ἡμῖν ἡ παννύχεις, τοῦτο ἑορτάζομεν σήμερον, ἐπιδημίαν Θεοῦ πρὸς ἀνθρώπους, ἵνα πρὸς Θεὸν ἐκδημήσωμεν, ἢ ἐπανέλθωμεν· ἔτι γὰρ εἰπεῖν οἰκειότερον, ἵνα τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα. Καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριςῷ ζήσωμεν, Χριςῷ καὶ συγγενόμενοι, καὶ συναυρύμενοι, καὶ συνθαπτόμενοι, καὶ συναναςάμενοι. Δεῖ γάρ με παθεῖν τὸν καλὸν ἀντιπροφλῶ. Καὶ ὥσπερ ἐκ τῆς χειροτέρων ἦλθε τὰ λυπρὰ, οὕτως ἐκ τῆς λυπρῶν ἐπανελθεῖν τὰ χειρότερα. Οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ Χάρις. Καὶ εἰ ἡ γεῦσις κατέκρινε, πόσῳ μᾶλλον τὸ Χριςὸν παθεῖν ἐδικαίωσε; Τοιγαροῦν ἑορτάζωμεν, μὴ παννυχικῶς, ἀλλὰ θειικῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως· μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ ἡμετέρου, μᾶλλον δὲ τὰ τοῦ Δεσπότου· μὴ τὰ τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰαθείας· μὴ τὰ τῆς πλάσεως, ἀλλὰ τὰ τῆς ἀναπλάσεως. Ἔσαι δὲ τοῦτο πῶς; μὴ πρόθυρα στεφανώσωμεν, μὴ χορεὺς συςησώμεθα, μὴ κοσμήσωμεν ἀγυιὰς, μὴ ὀφθαλμὸν ἐσιάσωμεν, μὴ ἀκοὴν καταυλήσωμεν, μὴ ὄσφρησιν ἐνθηλυνώμεθα, μὴ γεῦσιν καταπορνεύσωμεν, μὴ ἁφῇ χαρισώμεθα ταῖς προχείροις εἰς κακίαν ὁδοῖς, καὶ εἰσό-

δοις

δοις τῆς ἁμαρτίας· μὴ ἐθῆτι μαλακιθῶμεν, ἀπαλῇ τε καὶ περῤῥεύσῃ, καὶ ἧς τὸ κάλλιστον ἀκρισία, μὴ λίθων διαυγείαις, μὴ χρυσῷ περιλάμψεσι, μὴ χρωμάτων σοφίσμασι ψιδομένων τὸ φυσικὸν κάλλος, καὶ κατὰ τῆς εἰκόνος ἐξθρημένων, μὴ κόμοις, καὶ μέθαις, οἷς κοίτας καὶ ἀσελγείας οἶδα σωεζδυγμένας· ἐπειδὴ κακῶν διδασκάλων κακὰ τὰ μαθήματα, μᾶλλον δὲ πονηρῶν σπερμάτων πονηρὰ τὰ γεώργια. Μὴ σιβάδας ὑψηλὰς πηξώμεθα, σκηνοποιοῦντες τῇ γαστρὶ τὰ τῆς θρύψεως, μὴ τιμήσωμεν οἴνων τὰς ἀνθοσμίας, ὀψοποιῶν μαγγανείας, μύρων πολυτελείας. Μὴ γῆ καὶ θάλασσα τὴν τιμίαν ἡμῖν κόπρον δωροφορείτωσαν, ὅπω δὲ ἐγὼ τιμᾶν οἶδα ψυχήν. Μὴ ἄλλος ἄλλον ἀκρασίᾳ νικᾶν σπεδάζωμεν· ἀκρασία δὲ ἐμοὶ παῦ τὸ περιττὸν, καὶ ὑπὲρ τὴν χρείαν, καὶ ταῦτα πεινώντων ἄλλων, καὶ δεομένων, τῷ ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος. Ἀλλὰ ταῦτα μὲν Ἕλλησι παρῶμεν, καὶ Ἑλληνικοῖς νόμοις, καὶ παννυχίσιν, οἳ καὶ Θεοὺς ὀνομάζουσι νίκας χαίροντας, καὶ ἀκολάθως τὸ θεῖον τῇ γαστρὶ θεραπεύσι, πονηροὶ πονηρῶν δαιμόνων, καὶ πλάσαι, καὶ μυσαγωγοὶ, καὶ μύσαι τυγχάνοντες. Ἡμεῖς δὲ, οἷς Λόγος τὸ φροσκυνούμενον, κἄντι δεῖ ψυχᾶν, ἐν λόγῳ ψυχήσωμεν, καὶ θείῳ νόμῳ, καὶ διηγήματι τοῖς τε ἄλλοις, καὶ ἐξ ὧν ἡ παροῦσα πανήγυρις, ἵν' οἰκεῖον ᾖ τὸ ψυχᾶν, καὶ μὴ πόῤῥω τοῦ συγκαλέσαντος. Ἢ βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑσιάπωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον, τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν, ὡς οἷόν τε δαψιλῶς τε καὶ φιλοτίμως, ἵν' εἰδῆτε πῶς δυνατὸν ξένον τὸν ἐγχώριον, καὶ τὸν ἀσυνὸν ὁ ἄγροικος, καὶ τὸν ψυχῶντας ὁ μὴ ψυχῶν, καὶ τὸν περισσὰ λαμπρὸς, ὁ πένης τε, καὶ ἀνέσιος. Ἄρξομαι δὲ ἐντεῦθεν, καί μοι καθήρασθε, καὶ νῦν, καὶ ἀκοὴν, καὶ διάνοιαν, ὅσοι ψυχᾶτε τὰ τοιαῦτα, ἐπειδὴ περὶ Θεοῦ, καὶ θεῖος ὁ λόγος, ἵν' ἀπέλθητε ψυχήσαντες ὄντως τὰ μὴ κενούμενα. Ἔσται δὲ ὁ αὐτὸς πλήρεσάτός τε ἅμα καὶ συν-

τομώτατος, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν πόρον.

Θεὸς ὢν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, μᾶλλον δὲ ἔστιν ἀεί. Τὸ γὰρ ἦν, καὶ ἔσται, τὰ καθ' ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥύσεως φύσεως. Ὁ δὲ ὢν ἀεί, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον, οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπίπτον ἔννοιαν καὶ χρόνου καὶ φύσεως, νῷ μόνῳ σκιαγραφούμενον, καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μερίως, οὐκ ἐκ τοῦ κατ' αὐτὸν, ἀλλ' ἐκ τοῦ περὶ αὐτὸν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς σύστημα τῆς ἀληθείας ἴνδαλμα, πεῖν κρατηθῶμεν, φεῦγον, καὶ πεῖν νοηθῶμεν, διαδιδράσκον, τοσαῦτα περιλάμπον ἡμῶν τὸ ἡγεμονικὸν, καὶ ταῦτα κεκαθαρμένων, ὅσα καὶ ὄψιν ἀκραιφνῆς πάχος οὐκ ἰσαμένης. Ἐμοὶ δοκεῖν, ἵνα τῷ λιπτῷ μὲν ἔλλειμμα πρὸς ἑαυτὸ, (τὸ γὰρ τελέως ἄλειπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον) τῷ δὲ ἀλείπτῳ θαυμάζηται· θαυμαζόμενον δὲ, ποθεῖται πλέον. Ποθούμενον δὲ, καθαίρῃ· καθαῖρον δὲ, θεοειδεῖς ἀπεργάζηται· τοιούτοις δὲ γενομένοις ὡς οἰκείοις ἥδη προσομιλῇ (τολμᾷτι κενωτικὸν ὁ λόγος) Θεὸς θεοῖς συμμενός τε καὶ γνωριζόμενος, καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. Ἄπειρον ἐν τῷ θείῳ, καὶ δυθεώρητον, καὶ τοῦτο πάντα καταλιπτὸν αὐτῷ μόνον ἡ ἀπειρία, κἄν τις οἴηται τὸ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄλειπτον εἶναι, ἢ τελέως λιπτόν. Τί γὰρ ὄν, ἁπλῆς ἐστι φύσεως ἐπιζητήσωμεν· οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλότης. Εἴπερ μηδὲ τοῖς σωθεῖσι, μόνον τὸ εἶναι σωθεῖσι. Διχῇ δὲ τὰ ἄπειρα θεωρεμένα, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις ἄπειρον) ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ Θεοῦ φαντασίαις, τὼ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν.

σεν. Ὅταν δὲ εἰς τὰ κάτω καὶ τὰ ἐξῆς, ἀθάνατον καὶ ἀνώλεθρον. Ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. Αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος, οὐδὲ γὰρ μετρητόν. Ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος, ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰῶσι, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. Ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τανῦν. Οὐδὲ γὰρ ὑπὲρ παύτα καιρὸς, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω, Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος. Οὔτε ὑπὲρ παῦτα τῆς Θεότητος χωρούσης, ἵνα μὴ δῆμον Θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τάπων ὁριζομένης, ἵνα μὴ πενίαν Θεότητος κατακεισθῶμεν, ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν Ἑλληνίζοντες. Τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις δύσκηται. Οὕτω μὲν ἓν τὰ Ἅγια τῷ Ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ Θεότητα, ἣ καὶ ἄλλῳ τινὶ τῷ πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα. Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεῖσθαί τὸ ἀγαθὸν καὶ ὀδοῦσαι, ὡς πλείονα εἶναι τὰ δεδημιουργημένα. Τοῦτο γὰρ τῆς ἄπρας δι' ἀγαθότητος, πρῶτον μὲν ἐννοεῖται ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους, καὶ τὸ ἐννόημα ἔργον διὰ Λόγου συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον. Καὶ ἔπως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος· εἴτε νοεραὶ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον, εἴτέ τινα φύσιν ἄλλην ἐγγυτάτω τῆς εἰρημένων ταύτας ὑπολειπτέον. Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτως πρὸς τὸ κακὸν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν ἔχουσας, καὶ τὰ πρῶτα ἐν Θεοῦ λαμπομένας· τὰ δὲ ἐνταῦθα, δευτέρας ἐλλάμψεως. Πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους, καὶ ὑπολαμβάνειν ταύτας, καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, ἀκόπως διὰ τὴν ἐ-

παρσιν ἢ γενόμενος καὶ λεγόμενος· ἅτε ὑπ' αὐτὸν ἀποσατικαὶ δυνάμεις, δημιυργοὶ τῆς κακίας τῇ τε καλῇ φυγῇ, καὶ ἡμῖν πρόξενοι. Οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ, καὶ διὰ ταῦτα ὑπέστη Κόσμος, ὡς ἐμὲ γε περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σαθμώμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ Κόσμον ὑλικὸν καὶ ὁρώμενον, καὶ ὃς ἐστι τὸ ἐξ Οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα. Ἐπαινετὸν μὲν τῆς καθ' ἕκασον δίφυΐας, ἀξιεπαινετώτερον δὲ, τῆς ἐξ ἁπάντων διαρμοσίας, καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς Κόσμου συμπλήρωσιν, ἵνα δείξῃ, μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντα ξυνίλω ὑποστήσασθαι δυνατὸς ὤν. Οἰκεῖον μὲν τῷ Θεότητος, αἱ νοεραὶ φύσειν, καὶ νῷ μόνῳ λητταὶ, ξυνὸν δὲ πανταπασιν ὅσαι ὑπὸ τινὶ αἴθησιν, καὶ τούτων αὖτῷ ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι.

Ἀλλὰ τί τούτων ἡμῖν τάχα ἂν εἴποι τις τῷ λίαν φιλεόρτων καὶ θερμοτέρων; κρότει τὸν πῶλον περὶ τὴν νύσσαν, τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει, καὶ οἷς προκαθεζόμεθα σήμερον. Τοῦτο δὲ καὶ ποιήσω· καὶ εἰ μακρὸν αὖωθεν ἠρξάμην, ὅπως τοῦ πόθου καὶ τοῦ λόγου βιασαμένων. Νοῦς μὲν ἓν ἦθι καὶ αἴθησις, ὅπως ἀπ' ἀλλήλων διακεισθείτα, τῷ ἰδίων ὅρων ἐντὸς εἰσήκεισαν, καὶ τὸ τοῦ δημιυργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλυργίας, καὶ διαφρίσιοι κήρυκες. Οὔπω δ' ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῷ ἐναντίων, σοφίας μείζονος γνώεισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώεισμος. Τοῦτο δὴ βυληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῶον σὺ ἐξ ἀμφοτέρων, ἀορά τε λέγω καὶ ὁρατῆς φύσεως, δημιυργεῖ τὸν ἄνθρωπον, καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα, ἦθι προϋποστάτης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθείς· ὃ δὴ, νοερὰ

ψυ-

ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ Λόγος, οἷόν τινα Κόσμον δεύτερον, ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν. Ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν, ἐποπτὴν τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοερᾶς, Βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος. Τὸν αὐτὸν, πνεῦμα καὶ σάρκα· πνεῦμα, διὰ τὴν χάριν, σάρκα, διὰ τὴν ἔμπαρσιν. Τὸ μὲν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν δημιουργήτην, τὸ δὲ, ἵνα πάσχῃ, καὶ πάσχων ὑπομιμήσκηται καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος. Ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαττόμενον, καὶ πέρας τὸ μυστήριον τῇ πρὸς Θεὸν νοήσει θεούμενον. Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέγιον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ συνδήσαντος καὶ λύσαντος, καὶ αὖθις σωσάντος, ὑψηλότερον, τοῦτον ἔθετο μὲν ἐν τῷ Παραδείσῳ, ὅς τίς ποτε ἦν ὁ Παράδεισος ἦτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν ἀχ ἧττον, ἢ τοῦ παραχόντος τὰ σπέρματα, φυτῷ ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως τῶν τε ἁπλουστέρων, καὶ τῷ τελεωτέρων, γυμνὸν τῇ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. Τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς. Καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ, ὁ δὲ νόμος, ὕλη ἐντολή. Ὧν τε μεταλητέον αὐτῷ φυτῷ, καὶ ὧν μὴ προσαπτέον· τὸ δὲ ὕλη τὸ ξύλον τῆς γνώσεως, ὅτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, ὅτε ἀπαγορευθὲν φθονερῶς (μὴ πεμπέπωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν) ἀλλὰ καλὸν μὲν, δικαίρως μεταλαμβανόμενον. Θεωρία γὰρ ὕλη τοῦ φυτοῦ, ὡς ἡ ἐμὴ θεωρία; ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς, τοῖς τὴν ἕξιν τελεωτέροις. Οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι, καὶ τὴν ἕφεσιν λιχνοτέροις· ὥς περ οὐδὲ τροφὴ τελεία λυσιτελὴς, τοῖς ἀπάλοις ἔτι καὶ δεομένοις γάλακτος. Ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ,

ρείᾳ, ἤν τε ἔπαθεν ὡς ἀπαλωτέρα, καὶ ἰῷ προσήγαγεν ὡς πιθανωτέρα, φεῦ τῆς ἐμῆς ἀθυμίας! (ἐμὴ γὰρ ἡ τοῦ Προπάτορος.) τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως, ὁμοῦ τε τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ Παραδείσου, καὶ τοῦ Θεοῦ διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τὰς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τινὶ παχυτέραν σάρκα καὶ ἀντίτυπον. Καὶ τοῦτο πρῶτον, γινώσκει τινὶ ἰδίαν αἰσχύνην, καὶ ἀπὸ Θεοῦ κρύπτεται. Κερδαίνει μέν τοι κἀντεῦθεν τὸν θάνατον καὶ τὸ διακοπῆναι τινὶ ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν, καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. Οὕτω γὰρ ἐγὼ πείθομαι νοεῖν Θεόν. Πολλοῖς δὲ παιδευθεὶς πρότερον, αὖτις πολλῶν δὴ ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε, κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, Προφήταις, διώρυξι, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ Οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σωθαζόμενον ἦν· τέλος ἰσχυροτέρᾳ δεῖται φαρμάκου, ἐπὶ δεινοτέροις τοῖς ἀῤῥωστήμασιν, ἀλληλοφαγίαις, μοιχίαις, ἐπιορκίαις, ἀνδρομανίαις, τὸ πάντων ἔσχατον δὴ κακῶν καὶ πρῶτον, εἰδωλολατρείαις, καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα, ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. Τὸ δὲ ἰῷ, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ὁ ἐν τῇ ἀρχῇ ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κιβδηλεύουσα σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ Πατρὸς ὅρος καὶ λόγος, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος.

πος. Κυηθεὶς μὲν ἐκ τῆς Παρθένε καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι (ἔδει γὰρ καὶ γενέσιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι) προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως οὐκ ἐκ δύο ἦν ἐναντίων σαρκὸς καὶ πνεύματος, ὧν τὸ μὲν, ἐθέωσε, τὸ δὲ, ἐθεώθη. Ὦ τῆς καινῆς μίξεως! Ὦ τῆς παραδόξε κράσεως! Ὁ ὢν, γίνεται, καὶ ὁ ἄπτιστος, κτίζεται, καὶ ὁ ἀχώρητος, χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης Θεότητι καὶ σαρκὸς παχύτητι, καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτε Θεότητα· καὶ ὁ πλήρης, κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτε δόξης ἐπὶ μικρὸν, ἵν' ἐγὼ τῆς ἐκείνε μεταλάβω πληρώσεως. Τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. Μεταλαμβάνει τῆς ἐμῆς σαρκὸς, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. Δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν, ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τὸ χείρονος. Τοῦτο τὸ προτέρε θεοειδέστερον, τοῦτο τοῖς νῦν ἔχουσιν ὑψηλότερον. Πρὸς ταῦτα τίφασιν ἡμῖν οἱ συκοφαῦται, οἱ πικροὶ τῆς Θεότητος λογισαὶ, οἱ κατήγοροι τῆς ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, καὶ τὰ τε πονηρε πλάσματα; Τοῦτο ἐγκαλεῖς Θεῷ τὴν δύναμιν; διὰ τοῦτο μικρὸς, ὅτι διὰ σὲ ταπεινός; ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ Ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἐπὶ τὰ ὄρη, καὶ τὰς βάτους, ἐφ' ὧν ἐθυσίαζες, καὶ πλανώμενον εἶρε, καὶ δέρων, ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον, καὶ λαβὼν, ἐπανήγαγεν ἐπὶ τὴν αὐτε ζωὴν, καὶ ἀναγαγὼν, τοῖς μύσταις συνεισέθηκεν; ὅτι λύχνον ἦψε τῇ ἑαυτε σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε, τῆς ἁμαρτίας τὸν Κόσμον ἀποκαθαίρων, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμέ-

μεύην τοῖς πάθεσι, καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆ ἀνέσει, καὶ κοινωνὸς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύσιδας, πεποίηται; ὅτι τῷ Προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον, καὶ τῇ φωνῇ ὁ Λόγος, καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι Κυρίῳ λαὸν περιούσιον, καὶ προκαθαίροντι ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος; Ταῦτα ἐγκαλεῖς τῷ Θεῷ; διὰ ταῦτα ὑπολαμβάνεις χείρονα; ὅτι λεντίῳ διαζώννυται, καὶ νίπτει τὰς πόδας τῷ Μαθητῇ, καὶ δείκνυσιν ἀείσω ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν; ὅτι διὰ τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ σύνανυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; ἐκεῖνο δὲ πῶς κατηγορεῖς; ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ. Τί τοῦτο; τῶν ἁμαρτωλῶν σωτηρίαν, εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτο τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη, δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγιείαν τοῖς κάμνουσι, καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος κατὰ τὸν νόμον ἀνασώσηται; ἀπεσάλη μὲν, ἀλλ' ὡς ἄνθρωπος, διπλοῦς γὰρ ἦν. Ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε νόμῳ σώματος· εἰ δὲ καὶ ὡς Θεὸς, τί τοῦτο; τὴν δόξαν τοῦ Πατρὸς, ἀποσολὼν εἶναι νόμισον, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ, καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι αἴτιόθεος. Ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται, καὶ ἐγηγέρθαι παρὰ τοῦ Πατρὸς, καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀνεσακέναι καὶ ἀνεληλυθέναι πάλιν. Ἐκεῖνα τῆς δόξας, ταῦτα τῆς ἐξουσίας. Σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ ὑψοῦντα δὲ παρατρέχεις· καὶ ὅτι μὲν ἔπαθε λογίζῃ, ὅτι δὲ ἐκὼν, οὐ προσίθης.

Οἷα πάσχει καὶ νῦν ὁ Λόγος! ὑπὸ μὲν τῶν, ὡς Θεὸς τιμᾶται καὶ συναλείφεται, ὑπὸ δὲ τῶν, ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. Τίσιν ὀργισθῇ πλέον; μᾶλλον

λον δὲ τίσιν ἀφῇ; τοῖς σωναιρῦσι κακῶς, ἢ τοῖς τίμιοις; καὶ δῶ κἀκείνους διαιρεῖν ἔδει, καὶ τύπτειν σωάπτειν, τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ Θεότητι. Προσκόπτεις τῇ σαρκί; τοῦτο καὶ Ἰουδαῖοι. Ἢ καὶ Σαμαρείτιδι ἀποκαλεῖς; καὶ τὸ ἐξῆς σιωπήσομαι. Ἀπιστεῖς τῇ Θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε, καὶ Ἰουδαίων ἀγνωμονέστερε. Ἐκεῖνοι τιμὴ τὸ Υἱὸ προσηγορίαν ὁμοτιμίας φωνὴ ἐνόμισαν. Οὗτοι τὸν ἐλαύνοντα Θεὸν ἤδεσαν· ἐπείθοντο δῶ ἐξ ὧν ἔπαχον. Σὺ δὲ οὐδὲ τὴν ἱστορίαν δέχῃ, οὐδὲ ὁμολογεῖς τὸν Θεόπτα. Κρεῖττον ἦν σοι περιτετμῆθαι καὶ δαιμονᾶν (ἵν' εἴπωτι καὶ γελοίως) ἢ ἐν ἀκροβυσίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονήρως καὶ ἀθέως. Μικρὸν μὲν ὕν ὕστερον ὄψει καθαιρόμενον Ἰησοῦν ἐν τῷ Ἰορδάνῃ, τὴν ἐμὴν κάθαρσιν, μᾶλλον δὲ ἁγνίζοντα τῇ καθάρσει τὰ ὕδατα (ὃ δῶ δὴ αὐτὸς ἐδεῖτο καθάρσεως ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου) καὶ χιζομένους τοὺς Οὐρανοὺς, καὶ ὑπὸ τοῦ συγγενοῦς Πνεύματος μαρτυρόμενον, καὶ πειραζόμενον, καὶ νικῶντα, καὶ ὑπὸ Ἀγγέλων ὑπηρετούμενον, καὶ θεραπεύοντα πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν, καὶ ζωοποιοῦντα νεκρὸς (ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον,) καὶ δαίμονας ἀπελαύοντα. Τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ διὰ τῶν Μαθητῶν· καὶ ἄρτοις ὀλίγοις τρέφοντα μυριάδας, καὶ πεζεύοντα πέλαγος, καὶ προδιδόμενον, καὶ σαυρούμενον, καὶ συσταυροῦντα τοῖς ἐμοῖς ἁμαρτίαις· ὡς ἀμνὸν προσαγόμενον, καὶ ὡς ἱερέα προσάγοντα· ὡς ἄνθρωπον θαπτόμενον, καὶ ὡς Θεὸν ἐγειρόμενον, εἶτα καὶ ἀνερχόμενον, καὶ ἥξοντα μετὰ τῆς ἑαυτοῦ δόξης. Πόσαι μοι παννυχίδες καθ' ἕκασον τῶν τοῦ Χριστοῦ Μυστηρίων; ὧν ἁπάντων κεφάλαιον σὺ, ἡ ἐμὴ τελείωσις καὶ ἀνάπλασις, καὶ πρὸς τὸν πρῶτον Ἀδὰμ ἐπάνοδος. Νῦν δέ μοι δέξαι τοῖν κίνησιν, καὶ προσκίρτησον, εἰ καὶ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρὸς, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ· καὶ τοῖν ἀποχαρὴν αἰδέσθητι, δι' ὧν εἰς Οὐρανοὺς ἐγράφης, καὶ τὴν γέν-

νησιν

νησιν σιβάθητι, δι' ὧν ἐλύθης τῶν δεσμῶν τῆς γεννήσεως· καὶ τῷ Βηθλεὲμ τίμησον τῇ μικρᾷ, ἥτε πρὸς τὸν Παράδεισον ἐπανήγαγε· καὶ τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὢν ἐβόσθης ὑπὸ τοῦ Λόγου. Γνῶθι ὡς βοῦς τὸν κτησάμενον (Ησαΐας διασαλεύεταί σοι) καὶ ὡς ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· εἴτε τῶν καθαρῶν τις εἶ, καὶ ὑπὸ τοῦ νόμου, καὶ μυρισμὸν ἀναγόντων τοῦ λόγου, καὶ πρὸς θυσίαν ἐπιτηδείων, εἴτε τῶν ἀκαθάρτων τέως, καὶ ἀβρώτων, καὶ ἀθύτων, καὶ τῆς ἐθνικῆς μοίρας. Μετὰ τοῦ ἀστέρος δράμε, καὶ μετὰ Μάγων δωροφόρησον, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν, ὡς Βασιλεῖ, καὶ ὡς Θεῷ, καὶ ὡς διὰ σὲ νεκρῷ. Μετὰ Ποιμένων δόξασον, μετὰ Ἀγγέλων χόρευσον, μετὰ Ἀρχαγγέλων ὕμνησον. Ἔσω κοινὴ πανήγυρις, οὐρανίων καὶ ἐπιγείων δυνάμεων· πείθομαι γὰρ κἀκείνας σωναγάλλεσθαι καὶ συμπανηγυρίζειν σήμερον, εἴπερ εἰσὶ φιλάνθρωποι καὶ φιλόθεοι· ὥσπερ ὡς Δαβὶδ εἰσάγει μετὰ τοῦ πάθους συνανιούσας Χριστῷ, καὶ προσυπαντώσας καὶ διασαλευομένας ἀλλήλαις τὴν τῶν πυλῶν ἔπαρσιν. Ἐν μίσησον τῶν περὶ τὴν Χριστὸν γένναν, τὴν Ἡρῴδου παιδοκτονίαν· μᾶλλον δὲ καὶ ταύτην αἰδέσθητι, τοῦ ἡλικιώτην Χριστὸν θυσίαν, τῷ καινῷ σφαγίῳ προθυομένου. Ἂν εἰς Αἴγυπτον φύγῃ, προθύμως συμφυγαδεύθητι· καλὸν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. Ἂν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου καλῶς ἐκεῖ προσκυνούμενον. Διὰ πασῶν ὄδευσον ἀμέμπτως τῆς ἡλικιώτου Χριστοῦ, καὶ δυνάμεων. Ὡς Χριστοῦ Μαθητὴς ἁγνίσθητι, περιτμήθητι, περιελοῦ τὸ ἀπὸ γονέσεως κάλυμμα. Μετὰ τοῦτο δίδαξον ἐν τῷ Ἱερῷ, τοὺς θεοκαπήλους ἀπέλασον. Λιθάσθητι οὗ τοῦτο δεῖ παθεῖν, λήσῃ τοὺς βάλλοντας, εὖ οἶδα, φεύξῃ καὶ διὰ μέσου αὐτῶν ὡς Θεός. Ὁ Λόγος γὰρ οὐ λιθάζεται. Ἂν Ἡρῴδῃ προσαχθῇς, μηδὲν ἀποκριθῇς τὰ πλείω, αἰδεσθήσεταί σου καὶ τῆς σιωπῆς πλέον, ἢ ἄλλων τοὺς μακροὺς λόγους. Ἂν φραγελλωθῇς, καὶ τὰ λειπόμενα

ζήτη-

ζήτησον. Γεῦσαι χολῆς, διὰ τὴν γεῦσιν, ὄξος ποτίσθητι, ζήτησον ἐμπτύσματα, δέξαι ῥαπίσματα, κολαφίσματα, ἀκανθαις στεφανώθητι, τῇ ξαχεῖ τὸ κατὰ Θεὸν βίᾳ, περιβαλοῦ τὸ πόκινον, δέξαι κάλαμον, φροσκυνήθητι παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν. Τέλος συσταυρώθητι, συνεκρώθητι, συνταφῆθι προθύμως, ἵνα καὶ συναναστῇς, καὶ συνδοξασθῇς καὶ συμβασιλεύσῃς, Θεὸν ὁρῶν ὅσον ἐστὶ, καὶ ὁρώμενος, τὸν ἐν Τριάδι προσκυνούμενόν τε καὶ δοξαζόμενον· οὗ καὶ ἡμᾶς τυχεῖν ἡμῖν εὐχόμεθα, ὅσον ἐφικτὸν τοῖς δεσμίοις τῆς σαρκὸς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΠΟΜΑΡΤΟΥ ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΑΣΤΕΡΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΜΑΣΙΑΣ

Ὁμιλία ῥηθεῖσα ἐν Πανηγύρει κατὰ πλεονεξίας.

Ἄνδρες Χριστιανοὶ καὶ κλήσεως ἐπουρανίου μέτοχοι ἄνδρες, ὑμεῖς ὁ χωρικὸς δῆμος, καὶ πάντες ὅσοι τῇ πόλεων ἐκφοιτήσαντες, πρὸς τὴν παροῦσαν συμφώνως ἑορτὴν συνεδράμετε· γνησίῳ γὰρ πάντας ὑμᾶς περιλαμβάνω κηρύγματι. Ἆρα ἕκαστος ὑμῶν ἐνεβάλετο τῇ διανοίᾳ φροντίδα; συνεῖδε δὲ καὶ κατενόησεν ὑπὲρ τίνος ἠθροίσθημεν; αὐθ' ὅτι δὲ τιμῶνται Μάρτυρες οἴκων περιφανῶν καταγωγαῖς, καὶ ταῖς ἐνιαυσίοις τούτοις συλλόγοις; καὶ πρὸς τίνα σκοπὸν βλέποντες οἱ Πατέρες ἡμῶν ἐνομοθέτησαν τὰ ὁρώμενα, καὶ ἰσχυρὸν ἀφῆκαν τὸν νόμον τοῖς μετέπειτα; ἢ πρόδηλον τῷ καὶ μικρὸν πυκνώσαντι τὴν διάνοιαν; ὡς ζήλῳ μὲν δυσεβείας ταῦτα διετυπώθη, καὶ κοιναὶ παιδαγωγεῖα τῇ ψυχῶν αἱ πανηγύρεις συνάγονται, ἵνα Μάρτυρας τιμῶντες, τὸ τῇ Μαρτύρων ὑπὲρ δυσεβείας καρτερὸν μιμησώμεθα· ἵνα τοῖς σωζομένοις παιδευταῖς ὑποθέντες τὸ ἔς, μάθωμέν τι χρηστὸν, ὃ πρὸ βραχέος οὐκ ἐγινώσκομεν, ἢ δόγματος ἀσφάλειαν, ἢ λύσιν ἀπορουμένης γραφῆς, ἤ τινα λόγον τοῦ τῇ ἡθῶν ἐπανορθοῦντα κατάστασιν. Ὑμεῖς δέ μοι δοκεῖτε τῆς ἀρετῆς ἐπιμέλειαν ἀφέντες, καὶ τῆς περὶ τοῦ ψυχοῦ σπουδῆς ἐκλαθόμενοι, ὅλῳ ἑαυτοὺς μεταθεῖκέναι τὴν μέριμναν πρὸς τὸν συρφετὸν τοῦ Μαμωνᾶ, καὶ τοῦ ἀσχολίαν τῇ πραττείων· οἱ μὲν αὐτοὶ συναλλάττοντες, οἱ δὲ κεχηνότες εἰς τὰ ἀλλότρια, καὶ τοὺς ἐπὶ τοῖς ὠνίοις φιλονεικοῦντας ἰσορροῦντες, ὅπως τὰ ἀλλήλων ἐπιδωνίζωσιν. Ἀλλὰ μεταθετέ μοι τὸν πόθον ἐπὶ τοῦ Ἐκκλησίαν, καταλείψατε τοῦ φιλαργυρίαν,

τοῦ

τὴν ἀγόραιον, τὴν μαινάδα, ἀποσράφητε αὐτὴν ὡς ἄκοσμον ἑταιρίδα, προσελθοῦσαν τῷ πλήθει, ταῖς ἀλλοδαπαῖς ὕλαις καλλωπιζομένην, καὶ τοῖς ἀνθεσι τοῦ φαρμακοπώλου. Ἐράσθητε ταύτης τῆς θείας, καὶ σώφρονος, ἐσαλμένης κοσμίως, σεμνὸν καὶ ἀμετεώριστον βλέπουσης. Οὕτω γὰρ Σολομὼν ἐν τῇ παροιμιακῇ βίβλῳ φησί· μὴ ἐγκαταλείπῃς αὐτὴν, καὶ ἀνθέξεταί σου· ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε. Μὴ παρέλθῃς καταφρονήσας, μὴ δὲ τὰ παρ' ἡμῖν ἐπὶ τῆς τραπέζης ταύτης προκείμενα, διὰ τοῦτο αὐτὰ νομίσῃς ἄτιμα, ἐπειδὴ φοϊνικά σοι ἔξεσι τὴν κτῆσιν περιποιήσασθαι. Ἀλλὰ καὶ μᾶλλον ἐπιθύμησον, ὅτι καθήμεθα κάπηλοι ζυγὸν, ἢ ξυτρώλην φέροντες, οὐ δὲ κέρδος ζητοῦμεν τὴν τῶν Μαθητῶν σωτηρίαν. Ἀνεγνώσθη ἡμῖν ἐκ τῆς πράξεων Παύλου λόγος πρὸς Φῆσον καὶ Ἀγρίππαν, Παύλου τοῦ πιστοῦ Ἀποστόλου καὶ σοφοῦ δημηγόρου. Εἶδες πάντως ὦ ἀκροατὰ, εἰ τὸν ἰδὼν ἐπέστησας, ὅπως καὶ τὴν ἀλήθειαν ἐκ προδίδωσιν ἐκ δειλίας, καὶ τὴν πρὸς Ἀγρίππαν θεραπείαν τῇ παῤῥησίᾳ κεράσας, τὸ ξαχὺ κριτήριον ἐκμαλάσσει πρὸς ἀγαθότητα, ὥσπερ θηρία τινὰ κατεπάδων ταῖς τοῦ λόγου μεταχειρίσεσι. Προφήτευσε καὶ σήμερον Ζαχαρίας, τῶν μεγάλων ἡμῖν Μυστηρίων τοὺς Μονογενοῦς ὑπανοίγων τὴν θύραν, διὰ τοῦ λίθου τοῦ τὰς ἑπτὰ βολὰς τῶν ὀφθαλμῶν κεκτημένου, διὰ τῆς χρυσῆς λυχνίας, ἐφ' ἧς οἱ ἑπτὰ λύχνοι, καὶ τὰ δύο ἐλαίκη τῶν ἐλαιῶν. Πολλαὶ αἱ ἐξῆς γραφαὶ, πλοῦτον τὸν θησαυρὸν τῆς ὠφελείας ἔχουσαι, αἷς ἐβουλόμην πάσαις ἐπελθεῖν, καὶ δεῖξαι ὑμῖν τὴν τῆς πνευματικῆς παννυχίδος ὠδηνίαν. Ἐπείγει δέ με πρὸς τὴν ἔκτισιν τοῦ λόγου ἡ τῆς ῥαστώνης ὑπόσχεσις. Ἀρξάμενοι γὰρ πολλῆς κατηγορίας τῆς πλεονεξίας καθάπτεσθαι, ἐπειδὴ μὴ ἔφθημεν αὐτῆς γυμνῶσαι τὴν ματαιότητα, εἰς τὴν παροῦσαν ἡμέραν τὸν ἔλεγχον τῆς κατηγορίας ὑπερθέμεθα. Ἀκούσατε οὖν καὶ γενέσθε δίγνωμονες τῆς ἀληθείας κριταὶ, ἐπειδὴ μήτε ἄλλοις τισὶν, ἀλλὰ τῇ

ἑαυτῷ σωτηρίᾳ δικάζετε, καὶ πάσας τὰς καταικρινέσας ψήφους ἐπὶ τὴν ὑπόδυνον φέρετε ἕκαστος τῆς ἰδίας ψυχῆς, ὥσπερ οἰκίας, ἢ πόλεως αὐτὴν ἀπελάσαντες.

Πλεονεξία τοίνυν ἐστὶν ὁ μόνον τῷ ἀργυρίῳ σὺν τοῖς ἄλλοις κτήμασιν ἐπιμαίνεσθαι, καὶ βέλεσθαι τοῖς παροῦσι τὰ μὴ προσόντα σωάπτειν, ἀλλὰ γενικώτερον εἰπεῖν, τὸ ἐπὶ παντὸς πράγματος πλέον ἔχειν βέλεσθαι τῶ ὀφειλομένω καὶ ἐπιβάλλοντος. Καὶ δὴ τοῦτο τὸ πλημμέλημα πρῶτος ἔπαθεν ὁ διάβολος, Ἀρχάγγελος μὲν ὢν, καὶ ἐπὶ τῆς καλλίστης ζωῆς καὶ τάξεως τεταγμένος, τυραννίδα δὲ καὶ ἐπανάστασιν κατὰ τῆς Θεότητος ἐννοήσας ὁ ματαιόφρων, εἶτα καταβληθεὶς, καὶ εἰς τὸν περίγειον τοῦτον ἀέρα καταπεσὼν, κακὸς γείτων τῆς ἡμετέρας ζωῆς. Οὔτε γοῦν κατέλαβεν ὃ ἐδίωκε, τὴν Θεότητα, καὶ ἀπώλεσεν ὃ ἐκέκτητο, τὸν Ἀρχάγγελον, δοῦλος ἄπιστος ταῖς καταμικρὸν τόλμαις εἰς λῆξιν ἐξελθὼν, κύων τὸ παρ' Ἕλλησι μύθω, καὶ τὸ κρεὼς ἐρασθεὶς, καὶ τῆς σκιᾶς ὁ ὀραξάμενος. Πῶς γὰρ ἀκαταλήπτου πράγματος; Μετὰ τοῦτον ὁ πρῶτος ἄνθρωπος εἰς ἡδυπάθειαν δελεασθεὶς ἀπηγορδυμένῃ βρώσει τὴν ἀθανασίαν ἀπώλεσεν, ὡς Ἡσαῦ ὕστερον διὰ φακὴν τὰ πρωτότοκα. Καὶ τὰς διαλέκτους δὲ πάντας, καὶ τὰς πολλὰς τῶν ἀνθρώπων φωνὰς, ἔρως τοῦ πλείονος εἰς τὸν βίον εἰσήγαγεν. Οἱ γὰρ τῇ ἀνθρωπίνῃ δυνάμει ὑπερμαζήσαντες, βατὸν δὲ ἑαυτοῖς ἔσεσθαι τὸν Οὐρανὸν προσδοκήσαντες, καὶ πύργον γελοῖον ἐπὶ τὴν ἐκείνου ματαιοποιοῦντες ἀνάβασιν, οὗτοι τὰς ὁμοφώνους ἀνθρώπους ἑτερογλώσσους ἐποίησαν· καὶ τὸ πλέον ἓ εἶχον ζητοῦντες, αὐτοί τε σωεχέθησαν, καὶ τῷ γένει τῶν ἀνθρώπων κατέλιπον κάμνειν ἐν ἀκοαῖς ἀσήμων φωνῶν, καὶ ἑρμηνειῶν ζητήσει. Τί δὲ ὁ Φαραώ; πόθεν ταῖς διαφόροις καὶ ποικίλαις περιέπεσε μάστιξιν; ὁ διὰ πλεονεξίαν, καὶ τὸ βέλεσθαι πλούσιος εἶναι ξένου λαοῦ, καὶ μηδαμόθεν τῇ ἐκείνου βασιλείᾳ προσήκοντος; καὶ διὰ τοῦτο τὰς ἀλλοβίους ἐκ οἰκείας τὰς ἰδίους ἀπώλεσε· τὰς μὲν ἐν πλημμῇ τῶν πρωτοτόκων, τὰς δὲ

ἐν

ἐν τῇ διώξει τῇ κῆ θάλασσαν. Ἀφίημι δὲ ποταμοὺς εἰς αἷμα ῥυέντας, καὶ βατράχων ἄπλετον γονέσιν, καὶ βρόχε λύμην, καὶ φλυκταινῶν ἐξανθήσιν, καὶ τῷ τετραπόδων τὸν θάνατον, καὶ πᾶσαν τὴν κάκωσιν, ὧν Αἴγυπτος κατεδικάσθη διὰ τὴν πλεονεξίαν τὸ ἄρχοντος. Ἀλλαχοῦ πάλιν τέλος τῆς ἁμαρτίας κατέμαθον, λέπραν ἀθρόον τῷ πλεονέκτῃ περιχυθεῖσαν. Καί μοι συνδιαμνημόνευσον εἴτις φιλοΐσωρ, καὶ τῷ κατορθωμάτων Ἐλισαίε φιλήκοος, ὅπως μὲν ὁ Σύρος Νεεμὰν ἐκαθαρίσθη τῆς λέπρας ἐν τῷ Ἰορδάνῃ λουσάμενος, ὅπως δὲ μετῆλθε τὸ πάθος εἰς Γιεζῆ τὸ παιδάριον, νεανίσκον πλεονέκτην καὶ ἀφιλόσοφον, πανδυματικὸν πωλήσαντα χάρισμα, καὶ τὴν ἄμισθον ἰατρείαν τὸ Διδασκάλε. Πόθεν ὁ Ἀβεσαλὼμ παρανοίας ἐγένετο, ὁ τὸ πρᾶε Παρὸς φλεγμαίνων καὶ θρασὺς νεανίσκος, οὐ πρὸ καιροῦ ζητήσας τὴν κληρονομίαν τῆς Βασιλείας, ἐπιπηδήσας δὲ τοῖς ἀλλοτρίοις ὡς ἅρπαξ; Τὸν Ἰούδαν δὲ πάλιν τί τὸ καταλόγε τῷ Μαθητῷ ἐξέβαλεν, ἐποίησε δὲ προδότην αὐτὸ Ἀποστόλε; οὐ τὸ γαζοφυλάκιον πρῶτον ῥαδιεργέμενον, εἶτα ἡ κτῆσις τῆς ἀτίμου τιμῆς; Ἀνανίαν καὶ Σάπφειραν διατὶ βαγῳδεῖ τῷ Ἀποστόλων αἱ Πράξεις; οὐκ ἐπειδὴ τῷ ἰδίων ἐγένοντο κλέπται, καὶ τῷ οἰκείων ἀναθημάτων ἱερόσυλοι. Ἐπιλείψει με πάχα καὶ ἡ ἡμέρα τὰς τῆς πλεονεξίας ὑπηρέτας ἀπαριθμέμενον. Ἀφέντες δὲ τὴν Παλαιὰν Ἱστορείαν, τὴν πεῖραν ἐξετάσωμεν τὴν παρακολαθοῦσαν τῷ βίῳ, οἷον εἶδε θηρίον τὴν πλεονεξίαν, καὶ ὧν οὐ λάβηται δυσαπάλακτον, ἀκμάζον ἀεὶ καὶ ἀμαυνόμενον, συγγηράσκον δὲ τοῖς ἄλλοις καὶ εἰς τέλος σωόν. Ὁ λάγνος καὶ σωμάτων ἐρασὴς, κἂν ἐπὶ πολὺ ταῖς ἐπιθυμίαις λυσήσῃ, ἢ αὐτὸς εἰς πρεσβυτικὴν ἡλικίαν ἐλθὼν, ἢ τὸ ποθούμενον ἑωρακὼς παλαιωθὲν, καὶ τὸ ἄνθος ἀποβαλὸν, πάσιν ἀρέσκει τῆς νόσε. Ὁ γαστρίμαργος ἀναχωρεῖ καὶ αὐτὸς τῆς φιληδονίας, ἢ τὸ πόρου πληρώσαντος, ἢ τῶν πεπτικῶν μοχλῶν ἀθετησάντων,

καὶ παυσάντων τὴν ἐπιτεταμένην ὄρεξιν. Ὁ φιλόδοξος πολλαῖς ἐγκομπάσας περιφανείαις, τὸ φαντιᾶν ἀπολήγει· ἡ δὲ τῆς πλεονεξίας νόσος κακόν ἐστι δυσαπάλλακτον. Καὶ ὥσπερ ὁ κισσὸς ἕπος, τὸ δένδρον φυτὸν καὶ ἀείφυλλον, ἐπὶ τὰ παραπεφυκότα τῶν δενδρων αἴρεται, ἰσχυρῶς περιελίττεται τοῖς ξύλοις, ὧν περ ἂν ὀράξηται, καὶ ὅτε πεποιθότων, οὔτε ξηραινθέντων ἀπαχαρεῖ, εἰ μή τις αὐτοῦ σιδήρῳ καθάπερ δράκοντος διατέμῃ τὰς ἕλικας, οὕτως ἐδὲ ποτε ψυχὴν ἐλευθεροῦσαι ῥᾴδιον, εἴτε νεάζοντος τοῦ σώματος, εἴτε καὶ ὑπομαραινθέντος, ἐὰν μή τις νηφάλιος λογισμὸς ἐπελθὼν, ὡς μάχαιρα διακόψῃ τινὰ νόσον. Τοῖς οἰκείοις ὁ πλεονέκτης ἐστὶν ἀηδής, οἰκέταις βαρὺς, φίλοις ἄχαρις, ξένοις δυσκέρδεια, γείτοσιν ὀχληρὸς, γυναικὶ μοχθηρὸς συνοικος, παίδων φειδωλὸς, καὶ μικρολόγος ζοφώδης, ἑαυτοῦ κακὸς ἐπίσκοπος, νύκτωρ φροντίζων, μεθ' ἡμέραν πεπυκνωμένος, διαλογιζόμενος ἑαυτῷ κατὰ τὰς ὀξυηκόους, ἢ παραφέροντας. Πάντων δύσθυμος καὶ σκυθρωπὸς ὡς ἐνδεής. Τῶν παρόντων οὐκ ἀπολαύων, ἀεὶ τὰ ἀπόντα ζητῶν, τοῖς ἰδίοις ἀχθόμενος, ἐπιφθαλμίαις δὲ τοῖς ἀλλοτρίοις. Πολύαρνον τὸ πιοὺν τὸ ποίμνιον, στενὰς τὰς συκὰς, ἐφ' ὧν καταπλείεται, καλύπτον τὰς πεδιάδας, ἐν αἷς νέμεται. Κἂν εὔσαρκον ὀφθῇ τοῦ φροσοίκου πρόβατον, ἀφεὶς τινὰ ἰδίαν ἀγέλην, τῷ ἑνὶ ἀεὶ ἀλλοτρίῳ τῇ ἐπιθυμίᾳ προσκάθηται. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν βοῶν, ὁμοίως ἐπὶ τῶν ἵππων, οὐκ ἄλλως ἐπὶ τῆς γῆς. Πάντα στενοχωρεῖ τὴν οἰκίαν, καὶ ἑδὼν ἐν τῇ χρήσει. Οὐδὲ ὃ ἀπολαυσικὸν οἷόν τε εἶναι πὼ ἄπληστον· ἀλλ' ἔσικε αὐτῷ οἰκία τόκος παραπλησία. Ἰδοὺ γὰρ οἱ τάφοι γέμουσι πολλάκις ἀργυρίου καὶ χρυσίου, ἀλλ' αἱ ὕλαι τοὺς χωμένους οὐκ ἔχουσι. Τὸ σῶμα δὲ τρέφεται, ψυχῆς οὐκ αὐξάνεται κέρδος. Οὐκ ἀθροίζει γὰρ ἐκ τῆς δεξιᾶς ἡ ἐλεημοσύνη. Τί δὲ τέλος τοῦ μόχθου, διδαξάτω με τὶς τῶν ταύτῃ προειλημμένων τῇ νόσῳ. Οἶδα δὲ πολλοὺς ἐγὼ γνωρί-

σας

σας ἐπὶ τῆς πείρας, ὡς καὶ ἐν νόσοις μᾶλλον τῆς ὑγείας ἀγαπῶσι τὰ χρήματα· κἂν μὲν ὁ ἰατρὸς διάτινος ὕλης δι' ὠνῆς τὸν τῆς θεραπείας εἰσηγήσηται τρόπον, οἷον διὰ σελίνου, ἢ θύμου, ἢ ἀνήθου, ὧν ἡ δι' ὀσφύος ἀδάπανος, δι' εὐπειθῶς τῆς συμβουλῆς ὑπακούοντας· ἂν δέ τινος φαρμάκου γένηται μνήμη, τῆς οἷα τὰ ποικίλα, καὶ πολυσύνθετα, καὶ ἐλθεῖν πρὸς τὸν φαρμακοπώλην, ἢ τὸ μυροπωλεῖον κελεύσθωσι, θᾶττον τοῦ ψυχοῦ ἀφιέντας, ἢ λύοντας τὸ βαλάντιον· γνήσιοι γὰρ ὄντες τὸ φρόνημα, τοῦ κτᾶσιν τῆς γνήσιων ὑλῶν νομίζουσι τοῦ ζωοῦ. Τύπους λυπεῖσιν ἄγαν καὶ αἱ κοιναὶ διαφοραί, διαφαίνουσι δὲ αἱ περισάσεις· εὔχονται καὶ φόρων ἀνυποίσων φοιτᾶν ἐπιτάγματα, ἵνα τόποις πλουτίσωσι τὸ ἀργύριον. Ἐπιθυμοῦσι βλέπειν τὰς παρὰ τῆς δανιστῶν ἀγχομένας, ἵνα κτήσωνται τὸν ἀγρὸν, ἢ τὸ σκεῦος, ἢ τὸ ζῶον, διώνου ἐκ τῆς ἀνάγκης ῥιπτόμενον. Συνεχῶς δὲ καὶ πρὸς τὸν Οὐρανὸν ἀναβλέπουσι κατὰ τὰς Φιλοσόφους τὰ μετέωρα φροντίζοντας, ἐκ ἀστέρος ἐντολοῦ ζητοῦντες, οὐδέ τις οἶκος, ἵνα τῆς πλανητῆς ἔχει περισκοπέμενοι, ἀλλὰ τὴν τοῦ ἀέρος πολυφαγμονοῦντες κατάσασιν, εἰ τὰ προφαινόμενα σημεῖα ὄμβρων ἐπιῤῥοὴν, ἢ αὐχμὸν ἐπαγγέλλεται· κἂν ἴδωσι τί τοῖς πολλοῖς δυσχερὲς προσδοκώμενον, διφαίνονται τῇ τῆς ἄλλων κακώσει. Πάντα συνάγουσιν ἐν τοῖς ταμείοις, ἀσφαλῶς κατασημαίνοντες, καὶ διαθοῖς κλείθροις κατασφαλίζονται, διαμεβοῦντες ἀληκτως ψηφίζουσιν. Ἀχολούμενος δὲ ὁ πλεονέκτης περὶ τοῦ τοιαύτου ἐλπίδα, καὶ τέως ὄναρ πλουτῆ ἐν τῇ σκιαγραφίᾳ τῆς ἐννοιῶν, ἐὰν ἐπιγένηται νέφος βαθὺ, φοβεῖται ὡς κινδυνεύσων. Ἂν ψεκάδες τὴν γῆν ἐπιῤῥαίνωσιν, ὑποδακρύειν ἄρχεται. Ἂν δὲ καὶ ὑετὸς ἐπιγένηται ἀρκῶν τὸν αὐχμὸν ἐξιάσασθαι, πένθος τέλειον τὸ πρᾶγμα. Περιστεῖ λοιπὸν πᾶσι συσκοπούμενος περὶ τῶ σίτου, ὡς ὑπὸ κινδυνεύοντος, τὶς ἴασις, τὶς μηχανὴ, ἵνα πρὸς πολὺν αὐταρκέσῃ χρόνον, ἵνα τῆς σιτῆ διαφύγῃ τὸ πάθος. Κἂν

αἴθηται καύσωνος, ὡς οἱ ἰατροὶ τὰς διαφορουμένας, διαπλώσας αὐτὴν καταμερίζει, καὶ καταψύχει, μοχθῶν προσκαθέζεται, σκέπην κατὰ τὴν μεσημβρίαν σοφίζεται, τὰς σκιὰς νυκτὸς ἀπογυμνοῖ, ἵνα ταῖς αὔραις ταῖς νυκτεριναῖς ὑποπνέηται. Ταῦτα αὐτῷ παλαιπωρῆντι ὁ πρίνης περίσαται ζητῶν ἐκ τοῦ κινδυνεύοντος σίτα, καὶ ἐ δίδωσιν, ἢ δὲς φειδωλῶς χαρίζεται, καὶ ἡμίθνητος, τὸ σίτα σφόδρα περιεχόμενος.

Μὴ τοίνυν ἀπέραντα μόχθει καὶ χαλεπὰ ὁ τοιοῦτος, παρακαλῶ. Ἐλέᾳ μὲν γὰρ ἄξιος, καὶ ὁ ξυφῶν πλεονέκτης, ὁ τῇ γαστρὶ καὶ ταῖς ἄλλαις ἡδοναῖς περιορίζων τὸν βίον, τοῦτο τέλος νομίζων τῆς ἀνθρωπότητος. Ὁ δὲ μικροπρεπὴς καὶ σμικρολόγος οὐδὲ μέτρον ἔχει τῆς ἀθλιότητος, λαμβάνων τὸ τῶν πολλῶν, καὶ ἑαυτῷ μὴ διδοὺς, εἰς ἐδὲν δὲ καταλήγων τὸ τῆς ἀσεθοῦς ἀποτέλεσμα. Τίς γὰρ οὐκ οἶδεν ὡς οὐδὲν τῶν γινομένων, πλὴν τῶν ἀρετῶν, αὐτὸ δι' αὐτὸ γίνεται; ἀλλ' ἕτερόν τι πράττομεν, ἵνα ἄλλο κατορθώσωμεν. Οὐδεὶς πλέων δι' αὐτὸ τὸ πλεῖν θαλαττεύει, οὐδὲ γεωργῶν διὰ αὐτὸ τὸ γεωργεῖν τοῖς πόνοις συζῇ· ἀλλὰ πρόδηλον, ὡς τοῖς λυπηροῖς ἐγκαρτεροῦσιν ἀμφότεροι, ὁ μὲν ἵνα τὴν ἐπικαρπίαν τῆς γῆς, ὁ δὲ ἵνα τὸν πλοῦτον τῆς ναυτικῆς ἐμπορίας κομίσηται. Σὺ δὲ τί τὸ σὸν πέρας, εἰπέ. Ἵνα συναγάγῃς; καὶ ποῖον τοῦτο τέλος τὸ ἄχηστον ὕλῃ σωρεύσαντα βλέπειν; Τέρπει μέ φησι καὶ ἡ θέα. Οὐκοῦν ἄλλως τὸ σαυτοῦ νόσημα μέτελθε. Ἔξεσι γὰρ καὶ τοῖς ἀλλοτρίοις χρήμασι προσαναπαύειν τὸν πόθον. Εἰ δ' ἔφαινεσε τὸ σιλπνὸν τῶ ἀργυρίῳ, προσκαθήμενος τοῖς ἀργυροχόοις, ἀπόβλεπε πρὸς τλῶ πυκνλῶ καὶ σίλβουσαν αὐγλῶ, ἢ καὶ τὰ πατήρια καταλαμβάνων, τέρπε τοῖς ποικίλοις σκεύεσιν ὀψοφόροις τε καὶ προχόοις. Προῖκα γάρ σοι καὶ ἀκώλυτος ἡ θέα. Ὅρα καὶ τὰς ἀργυρογνώμονας τὰς ἐπὶ τῶν τραπεζῶν ψηλαφῶντας, καὶ ἀριθμοῦντας σωεχῶς τὰ νομίσματα· μᾶλλον δὲ παραινέσει πεισθεὶς ἀγαθῇ, μετάθε τῆς γνώμης. Εὔκολος γὰρ ἡ διόρθωσις, ἐπειδὴ

πειδὴ μὴ φύσεώς ἐστιν ἀνάγκη πλεονεξία, ὁρμὴ δὲ προαιρέσεως, ἣν μεταβαλεῖν τοῖς τὸ συμφέρον ἐπιλογιζομένοις οὐ χαλεπόν. Ὑπέρκυψον τῷ λογισμῷ εἰς τὸν ἐξῆς χρόνον, ὅτε οὐκ ἔσῃ, ὅτε μικρὰ γῆ καθέξει σε τὸ σῶμα, διπλωμένον, ἀνάισθητον, πλὰξ δὲ ὀλίγων σπιθαμῶν καλύψει τὸ λείψανον. Πῦ τότε ὁ πλοῦτος, ἢ τὰ συναχθέντα κειμήλια; τίς ὁ τῶν καταλειφθέντων κληρονόμος; ἀ γὰρ πάντως ἐκεῖνος ἔσαι διάδοχος, ὃν σὺ προσδοκᾷς. Ἂν παῖδας καταλείπῃς, τυχὸν κονδυλισθήσονται, καὶ ὁμότροπός σου πλενέκτης θρηνοῦντας αὐτοὺς τῆς οἰκίας τῆς πατρικῆς ἀπελάσει. Κἂν ἄπαις ἐπίτινα τῶν φίλων παραπέμψῃς τὸν κλῆρον· μὴ πρόσεχέ σε τῇ διαθήκῃ ὡς ἀκινήτῳ νόμῳ, ὡς πράγματι ἀναντιρρήτῳ ἢ ἰσχυρῷ· ὀλίγη σποδὴ ἄκυρον ποιεῖ τὴν γραφήν. Ἢ οὐχ ὁρᾷς τοὺς συνεχῶς ἐν τοῖς διασπείροις κατὰ τῶν διαθηκῶν ἀγωνιζομένους, ὅπως αὐτοῖς ποικίλοις ἐγχειρήμασι παρακρούονται, τοὺς τῶν νόμων τεχνίτας προϊσάμενοι συνηγόρους, τοὺς δεινοὺς ῥήτορας ἐπαγόμενοι βοηθοὺς, ψευδομάρτυρας ζέφοντες, δικαστήρια διαφθείροντες; Καὶ διὰ τοῦτο ἐξ ὧν ὁρᾷς ζῶν, περὶ τῶν μελόντων τῶν μετὰ σὲ παιδίου. Εἰ δίκαιον ἔχεις τὸν πλοῦτον, εἰς δέον χρῆσαι ὡς ὁ μακάριος Ἰωβ. Εἰ ἄδικον, ἀνάλυσον αὐτὸν ἐπὶ τοὺς βιαθέντας κυρίους ὡς αἰχμάλωτον ἐκ πολέμου, ἢ αὐτὸν ὃν ἔλαβες, ἢ μετὰ προθήκης ὡς ὁ Ζακχαῖος. Εἰ μὴ ἔχῃς, μὴ κτήσῃ κακῶς· σοὶ μὲν γὰρ ἀπολεῖται πικρὸν ἐφόδιον ἡ ἁμαρτία, τὴν ἀναγκαίαν πορευομένῳ πορείαν, ἡ δὲ ἀπόλαυσις τῶν κτηθέντων, οἷς ἀ γινώσκεις καταλειφθήσεται· καὶ τότε τὸν Δαβὶδ θαυμάσεις λέγοντα· θησαυρίζει, καὶ ἀ γινώσκει τίνι συνάξει αὐτά. Γνωρίζεις δὲ γὰρ τὸν πλούσιον τὸν ἀντίθετον τῷ Λαζάρῳ, τὸν ἀρτίως ἡμῖν ἐκ τῶν Εὐαγγελίων ἀναγνωσθέντα, ἀ μῦθον συγκείμενον εἰς κατάπληξιν, ἀλλὰ τύπον ἀκριβῆ παραδοθέντα τῶν μελλόντων. Ἡ βύσσος ἐσάπη, ἡ βασιλεία μετῆλθεν εἰς ἕτερον, αἱ ζυ-

φαὶ καπρχήθησαν, ἡ ἀπ' ἐκείνων ἁμαρτία συνεξεδήμησεν ὡς σκιὰ παραμένουσα βαδίζοντι σώματι· καὶ διὰ τῦτο μετὰ τὴν πολυτέλειαν τῦ συμποσίου, καὶ τὴν ἀφροδίσιον ζάπεζαν, ὕδατος ῥανίδα ζητεῖ δακτύλου λειχοῦ ἀπεσάζεσαν· καὶ καλεῖ τὸν πτωχὸν τῆς τιμωρίας θεραπευτὴν, τὸν ὑδὲ χεῖρας ἔχοντα τάχα, ἡνίκα τῷ πυλῶνι προσερρίπτετο· ἦ γὰρ ἂν πύς κυσὶς ἀπεσόβησε τὰς ἐπιλειχομένους τὰ ζαύματα· ἐπιθυμεῖ δὲ καὶ συμμίξαι τῷ Λαζάρῳ ἐκ τοῦ κατάντικρυ βλεπομένῳ, καὶ μέσῳ διείργεται τῷ ὀρύγματι, ἢ τῷ χάσματι· ἐ βόθρε τινὸς ὄντος ὠρυγμένε, ὑδὲ τάφρε πεποιημένης, ὡς ἐπὶ τῦ ζραπτέδων ἐστὶν ἰδεῖν τὸ τοῦ πολέμε μεταίχμιον, ἀλλὰ τὸ κώλυμα οἶμαι τῶν ἁμαρτημάτων ὁ λόγος ἐνδείκνυται, ὃ τῷ κατεγνωσμένῳ τῆς πρὸς τὸν δίκαιον παρόδε ἀπετείχισε. Καί μα τοῦτο ἑρμηνείαν Ἡσαΐας ὁ Προφήτης ἐπισφραγίζεται πρὸς λαὸν ἄφρονα βαρέως ἀποτεινόμενος, καὶ λέγων· μὴ ἐκ ἰσχύει χεὶρ Κυρίε διασῶσαι, ἢ ἐβάρυνε τὸ ὠΐς αὐτε τὸ μὴ ἀκῦσαι; ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διίστασιν ἀνὰ μέσον ὑμῶν, καὶ ἀνὰ μέσον τε Θεε.

Εἰδὲ ἁμαρτήματα ἀνθρώπες χωρίζειν οἷόν τε Θεε, ὑδὲν ἂν πλεονεξίας ἁμαρτωλότερον ἂν γένοιτο, ἢ καὶ παρὰ τῆς ἀψύδες φωνῆς Παύλε τε τῆς ἀληθείας κήρυκος, εἰδωλολατρεία προσαγορεύεται, καὶ πάντων τῦ κακῶν ῥίζα καὶ μήτηρ. Πόθεν δὲ οἱ τῆς μερίδος ὄντες ποτὲ τῦ Χριστιανῶν, καὶ κοινωνοὶ τῦ Μυστηρίων, πρὸς τὴν τῦ δαιμόνων λατρείαν εἰλκύσθησαν; ἐκ ἔρωτι τε πολλὰ κτήσασθαι, καὶ κύριοι γενέσθαι τῦ ἀλογίων; λαβόντες δὲ ὑποχέσεις παρὰ τῦ ἀθέων καὶ ἀσεβῶν, ἢ ζωῆς ἀρχοντικῆς, ἢ περιεσίας τῆς ἐκ βασιλικῶν ταμιείων, ὥσπερ ἱμάτιον παχέως τὴν θρησκείαν μετεμφιέσαντο. Καὶ τὰ μὲν τῦ ἀνωτέρων χρόνων, τῆς ἡμετέρας ζωῆς μνήμη καὶ ἀκοὴ διεσάσατο καὶ ἐδίδαξεν· ἔσι δὲ ἃ καὶ ὁ καθ' ἡμᾶς βίος τῇ πείρᾳ παρέδωκεν. Ὅτε γὰρ ὁ Βασιλεὺς ἐκεῖνος ὁ τὸ πρόσωπεῖον τοῦ Χριστιανοῦ ἀθρόον ἀποθέμενος,

νος, γυμνώσας δὲ τὸ δρᾶμα τὸ πωμικὸν, ὃ ἐν πολλῷ τῷ χρόνῳ καθυπεκρίνατο, αὐτός τε ἀναιδῶς ἔθυε δαίμοσι, καὶ πᾶς τᾶτο βελομένοις ποιεῖν πολλὰ προετέθη τὰ γέρα· πόσοι τὴν Ἐκκλησίαν ἀφέντες ἐπὶ τὰς βωμὰς ἔδραμον; πόσοι δὲ τὸ τῆς ἀξιωμάτων δέλεαρ εἰσδεξάμενοι, μετ' ἐκείνου κατέπιον τὸ τῆς παραβάσεως ἄγκιστρον; νῦν δὲ στιγματίαι περινοστῶσι κατὰ τὰς πόλεις, μισούμενοι, δακτυλοδεικτούμενοι, προδόται καὶ ἔποι τᾶ Χριστᾶ δι' ὀλίγον ἀργύριον· ἐξόρκιστοι τᾶ καταλόγου τῆς Χριστιανῶν, ὡς Ἰούδας τῆς Ἀποστόλων, ἀπὸ τῆς προσηγορίας τᾶ παραβάτα γνωριζόμενοι, ὡς ἀπὸ τῆς σημαύρων οἱ ἵπποι, ἐλκυθρούντες μόνον εἰς τὴν χαλεπωτάτην παταγὴν πασῶν τῆς ἁμαρτιῶν, καὶ διὰ τὸ ἀκολουθήσαντες τῆς τᾶς βεβήλου καὶ μιαρᾶς δυσσεβείας μυσαγωγῷ. Οὕτω τοίνυν κατὰ τὸν Ἀπόστολον ἡ πλεονεξία, καὶ εἰδωλολατρεία γίνεται, καὶ ῥίζα πάντων τῆς κακῶν ἐστιν, ἀφ' ἑαυτᾶς ἀμυθήτως γεννῶσα κακίας. Ὡς γὰ οἱ τὸν χρυσὸν ἐπὶ τὸν κόλπον τᾶς γᾶς ἀναχλδίοντες φασὶ τὴν χρυσῖτιν γᾶν ἐπ' αὐτᾶς μὲν τᾶς ἀρχᾶς καὶ τᾶς κυριωτάτης γενέσεως σωρηδὸν ἀποκεῖσθαι, ἐκεῖθεν δὲ ὥσπερ φλέβας τινὰς ἀπότινος σῦθεν καὶ σῦθεν εἰς μακρὸν διήκειν, καὶ πολυχιδῶς ἀποτείνεσθαι κατ' αὐτάς πως τὰς ῥίζας τῆς δενδρων τὰς ἐκ τοῦ σπέρμνος διαπλεκομένας, οὕτω κἂν ταῦτα πολλὰς βλέπων τὰς ἀποφύσεις, μιᾶ ῥίζῃ τᾶς πλεονεξίας τὰς πάσας συνδεδεμένας διείσκω. Καὶ μέντοι καὶ ἐκ ἀνοίκειον εὗρεν ὁ λόγος τᾶς πλεονεξίαν ἐκ τᾶ χρυσᾶ τὸ ὑπόδειγμα. Ἐντεῦθεν ὁρῶ τὸν παχαλοίαν τᾶς κεφαλᾶς τᾶς γεννησάσης κατατολμῶντα, καὶ αἰδούμενον δὲ ὅτε τὴν πολιὰν, οὔτε τὸ παχικὸν ἀξίωμα, ἀλλὰ τῇ ἐπὶ πλέον ζωῇ τᾶ γέροντος βαρούμενον. Πάντα γὰ ὁρῶν ἐπὶ τᾶς οἰκίας ἄφθονα, καὶ τὴν ἐξουσίαν τῆς βλεπομένων ἐκ ἔχων, ἐπιθυμᾶν δὲ κύριος εἶναι αὐτῆς τε καὶ τᾶς περιουσίας, σενᾶται τῇ παχικῇ αὐθεντείᾳ, καὶ τὰ μὲν πρῶτα σιωπᾷ καὶ ἐν τῷ βάθει κατέχει τιν᾽ νόσον, τῷ χρόνῳ δὲ

τιν᾽

τὴν ἐπιθυμίαν πλεονάσας, καὶ πλησθεὶς τὴν ψυχὴν, ἀθρόον ἐκρήγνυσι τὴν κακίαν, ὡς ἐπὶ τῶν σωλήνων τὰ ὕδατα. Καὶ λοιπόν ἐστιν ἀφόρητος τῷ πρεσβύτῃ, μονονυχὶ συνελαύνων αὐτὸν πρὸς τὰς τάφρους ὑγιαίνοντα καὶ βαδίζοντα. Ἂν κέφως ἀναβῇ τὸν ἵππον, ὑπερθαυμάζει· αὖ ξοφῆς ἐρρωμενέστερον μεταλάβῃ, γογγύζει· αὖ τὰς οἰκέτας ἑωθινὸς διεγείρει πρὸς τὰς ὑπηρεσίας, τῇ ἐρρηγόρσει καὶ τῇ δυνάμει τὸ γέροντος ἄχθεται. Ἂν δὲ κ᾽ δωρήσηταί τι τῶν κειμηλίων, ἢ οἰκέτην ἀφῇ τῆς δουλείας, τότε δὴ τότε κ᾽ λῆρος καὶ παραπαίων, κ᾽ τὰς τῆς ζωῆς ὑπερβὰς ὅρας, κ᾽ τῶν ἀλλοτρίων ἀσωτικὸς, κ᾽ παῦ βλάσφημον ἀκούων ἐμπαροινεῖται, διατὶ μὴ παχέως ἀπέθανεν ἐγκαλούμενος. Σὸς οὗτος, ὦ μιαρὰ πλεονεξία, καρπός. Παρὰ σοῦ τὰ κοῖλα λαμβάνων ὁ παῖς, πολέμιος γίνεται τῷ γεννήσαντος. Σὺ πληροῖς τὴν γῆν λῃστῶν κ᾽ φονευτῶν, καταπονιστῶν δὲ τὴν θάλατταν, τὰς πόλεις θορύβων, τὰ δικαστήρια ψευδομαρτύρων, συκοφαντῶν, προδοτῶν, συνηγόρων, δικασῶν ἐπεῖ ῥεπόντων ὅπου δ᾽ αὖ σὺ καθελκύσῃς. Πλεονεξία μήτηρ τῆς ἀνισότητος, ἀνηλεὴς, μισάνθρωπος, ὠμοτάτη. Διὰ ταύτην ὁ τῶν ἀνθρώπων βίος ἀνωμαλίας γέμει. Καὶ οἱ μὲν ἐν τοῖς κόλποις ταυτιῶσι τὴν περιουσίαν τῶν κτημάτων, οἷον ξοφὴν ἄπλητον ἀποβλύζοντες· ἄλλοι δὲ λιμῷ καὶ ἐνδείᾳ πιεζόμενοι κινδυνεύουσιν. Οἱ μὲν ὑπὸ ὀρόφοις χρυσοπάστοις κατάκεινται, κ᾽ ὡς μικρὰς πόλεις οἰκοῦσι τὰς οἰκείας, λευκοῖς κ᾽ οἴκοις ποικίλοις κ᾽ σκιαῖς ἐπὶ μακρότατον διηκούσαις, κ᾽ παντοίᾳ πολυτελείᾳ κεκοσμημέναις· ἕτεροι δὲ δύο δοκῶν σκέπην οὐκ ἔχουσιν. Ἀλλ᾽ ὅταν ἐν ὑπαίθρῳ διαζῆν μὴ δύνωνται, ἢ πρὸς τὰς καμίνους καταφεύγουσι τῶν λευκῶν, ἢ καὶ τοῖς βαλανεῦσι κακοξένοις περιτυχόντες, παραπλησίως τοῖς χοίροις τὸν κόπρον ὀρύττοντες, τὴν ἀναγκαίαν θέρμην ἑαυτοῖς μηχανῶνται· καὶ τὸ ὁμότιμον ζῶον ὁ ἄνθρωπος τοσαύτην ἔχει τὴν διαφορὰν τῆς διαίτης πρὸς τὸ ὁμόφυλον, οὐκ ἄλλου τινὸς τῶν ἀταξίων

ταύ-

ταύτην καὶ τὴν ἀνωμαλίαν, ἢ τῆς πλεονεξίας ἐπισαγόσης. Ὁ μὲν, γυμνοῖς ἀχυρώνει μέλεσι, καὶ ὁ ἄλλος, πρὸς τῷ τοῦ αἰθῆτα δυσαρέστητον ἔχειν, πορφυραῖς πλαξὶ τὰς τοίχας ἐνδύει. Ὁ πεινῆς ἐπὶ ξυλίνης τραπέζης ἄρτον ἀπορεῖ διαθρύψαι, καὶ ὁ τρυφῶν ἀργυρᾶν τράπεζαν ἐλάσας εἰς πλάτος τῷ σίλβοντι ψυχαγωγεῖται τῆς ὕλης. Καὶ πόσῳ δικαιότερον ἦν, τὸν μὲν ἐσιᾶσθαι ἀρκούμενον τῇ ἄλλῃ τρυφῇ, τῆς τραπέζης δὲ τιμὴν τῷ ἀπόρων εἶναι τροφήν; Ἄλλος γηραιὸς καὶ βαδίζειν ἀδυνατῶν, ἢ διά τινα λοιβὴν χωλοῦσαν, ὄνον ἐκέκτηται ἀναγκαῖον τῆς χρείας ὄχημα, καὶ ἕτερος διὰ πλῆθος τὰς ἀγέλας ἐγνωρίζει τῷ ἵππων· τῷ μὲν ἔλαιον ἐνδεῖ πρὸς τὸ λύχνον ἀνάψαι, καὶ ἄλλος μόναις ταῖς λυχνίαις πλουτεῖ. Ὁ μὲν ἐπὶ τῶν ἐδάφους ἔρριπται, καὶ ὁ μάτην πλουτῶν τῷ κόσμῳ τῆς κλίνης περιαστράπτεται, ἀργυρᾶς σφαίρας ἐχούσης, καὶ ἀλύσεις αὐτὶ τῶν ἰόνων. Ταῦτα τῆς ἀκορέστου πλεονεξίας τὰ ἀποτελέσματα. Εἰ γὰρ μὴ εἰσήγαγεν εἰς τὸν βίον τὴν ἀνισότητα, ἐκ οὐ αὗται ἦσαν τῆς ἀνωμαλίας αἱ ὀξυχαὶ καὶ κοιλότητες, ἐφ' οὐ αἱ ποικίλαι συμφοραὶ ἀνθῆ καὶ πολύδακρυν τοῦ ζωὴν ἡμῶν ἀπεργάζονται· ἐντεῦθεν τὴν φυσικοῦ πρὸς ἀλλήλους φιλίαν ἀπώλεσαν οὐθρωποι, τὸν σίδηρον ἀκονῶσι, καὶ συγχροτοῦσι παρατάξεις, καὶ ὡς πέρ τινα θηρία μετὰ πολλῆς τῆς ἀγριότητος ἀλλήλοις συνάπτουσι. Τὰ δὲ ἀπόλεθα τούτοις πῶς οὖ τις καὶ ἐξηγήσαιτο; τείχη παρτερὰ τοῖς μηχανήμασι κατασείεται, καὶ πόλεις ἁλίσκονται, καὶ γυναῖκες ἄγονται, καὶ παῖδες ἀνδραποδίζονται, τέμνεται γῆ καὶ κείρεται, καὶ τὰ δένδρα πολεμοῦνται, ὡς ἀδικήσαντες οὐθρωποι. Φόνος δὲ τῷ ἐν ἀκμῇ πολὺς, καὶ οἱ τὰ αἵματος ῥύακες ἀπορρέουσι τῷ ἀθλίων σωμάτων. Ὁ δὲ πλοῦτος τῷ ἡττηθέντων, ἆθλον τῷ κρατησάντων. Ἐπὶ τούτοις ὀδυρμοὶ χηρείας, ὀρφανῶν δάκρυα καὶ πατέρας ὁμοῦ καὶ τὴν ἐλευθερίαν θρηνούντων· ὁ δὲ πρώτων κύριος πλούτου πολλοῦ, ἄρτου μεταιτεῖ τέμαχος, προτείνων τοῦ δεξιάν. Καὶ ὁ

πολ-

πολλὰς ἔχων δούλους, ὑφάντας, καὶ οἰκίας γεμούσας ἐθνῶν, ῥάκια περιβεβλημένος δουλεύει, ὕδωρ πρὸς ἀνάγκην πομίζων, καὶ τοῦ ἵππωνος ἀποξύων τὴν κόπρον, καὶ ταῖς αἰσχραῖς ὑπηρεσίαις διακονούμενος. Ἀλλα μυρία κακὰ, ἃ περιλαβεῖν ἀθρόως ἀδυνατον. Τούτων δὲ πάντων ἀρχὴ, καὶ αἰτία, καὶ ῥίζα ἡ τοῦ πλείονος ἐπιθυμία, ἔρως ἄδικος τῶν ἀλλοτρίων κτημάτων. Εἰ δέ τις τοῦτο τὸ πάθος τῆς ἀνθρώπων ἐξέκοψεν, ὁδὸν ἐκώλυσεν εἰρήνην μὲν τῷ βίῳ βαθεῖαν ἐμπολιτεύεσθαι, πολέμους δὲ καὶ ταραχὰς ἐξ ἀνθρώπων φυγαδεύεσθαι, ἐπανελθεῖν δὲ πάντας ἐπὶ τὴν κατὰ φύσιν στοργὴν καὶ φιλίαν.

Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν ἐπιμελῶς τοῖς παραγγέλμασι παύτην ἰᾶται τὴν νόσον, ποτὲ μὲν ἀποφαινόμενος, οὐ δυνάσθε Θεῷ δουλεύειν, καὶ Μαμωνᾷ· ποτὲ δὲ τὸν πλησίον ἐκεῖνον ἄθλιον ἀποφαίνων τὸν τῇ ἐξῆς τελευτᾶν μέλλοντα, καὶ τὴν μακροχρόνιον ἀπόλαυσιν τῆς ζωῆς ἑαυτῷ προτυπῶντα, καὶ ἀλλαχοῦ τὸν τέλειον ἐκεῖνον εἶναι διδάσκων, ὃς αὐ πάντων ὧν ἔχει τοῖς δεομένοις παραχωρήσας, πρὸς τὴν ἀκτήμονα φιλοσοφίαν αὐτομολήσει τὴν μητέρα τῆς ἀρετῆς καὶ ὁμόσκηνον. Ἀλλά μοι δοκῶ καὶ σιωπώντων ἀκούειν τῶν ἐκ συνηθείας τὰ τοιαῦτα φθεγγομένων πρὸς τοὺς διδάσκοντας· καὶ πῶς πρὸς τὸν βίον διατελέσωμεν, εἰ ἡ κτῆσις τῶν χρημάτων ἀμεληθείη; πῶς δὲ τὰς χρείας ἐπαρκέσωμεν; πῶς δὲ λυθήσεται δανείσμα; πῶς δὲ καὶ δοθήσεται δανὸς τῷ ζητοῦντι, αὖ πάντων ὦμεν διὰ τοὺς σοὺς παραίνεσιν ἄποροι; Ἀπίτω τὸ ῥῆμα, ἀσύνετος ἡ φωνὴ, οὐκ εἰδότες ὅτι δεσπότου ἔχομεν τὸν Θεὸν οἰκονόμον τοῦ βίου τῷ γνωμοσύνῳ ζώῳ παρ' αὐτοῦ χορηγοῦντα τὰ χρήσιμα, καὶ τὰς ἀναγκαίας πορισμὰς τῆς ζοφῆς καὶ τῶν σκεπασμάτων τὴν χρείαν. Ἡ γὰρ πρόνοια τοῦ Θεοῦ τῶν οἰκείων ποιμάτων ἐστὶ περιεκτική· καὶ τὸν ἐν πίστει πλουτοῦντα, πενίας οὐδεπώποτε κατέσχε συμφορά. Ἐν δὲ τῶν θείων προκομίσας λόγων εἰς ἀπόδειξιν τοῦ προκειμένου,

ἱκα-

ἱκανὴν ὡς οἶμαι, μαρτυρίαν παρέξω. Ἐν τῇ τῆ Βασιλειῶν ἱστορίᾳ, γυνή τις ἀναγέγραπται χήρα, βαρυνομένη λίαν τῇ συμφορᾷ τῆς μονώσεως. Ἐπολιόρκει δὲ αὐτὴν δυνάστης φιλάργυρος καὶ μισάνθρωπος, ἐνέχυρον τὰς υἱὰς ἀφαιρούμενος, ἃς μόνας εἶχεν ἀντὶ πάντων ἡ μήτηρ. Ἐπεὶ δὲ εἰς ἀμηχανίαν αὐτῇ περιέστηκε τὸ πρᾶγμα, καὶ ἐδεῖτο ἠλέει τῆ ἐχόντων χρυσίον, ἦλθε πρὸς τὸν ἔχοντα φιλανθρωπίαν, καὶ πίστιν. Ἐλισαῖος δὲ ἦτος ἦν ὁ Προφήτης, ἀνὴρ ἀκτήμων τῆ γηΐνων ὑλῶν, καὶ περισῳζόμενος τῆς ἀσωμάτῳ περιουσίας, φιλόσοφος ἐξ ἀροτήρων, ἄοικος, ἀνέστιος, μονοείμων, νεωστὶ μὲν κληρονομήσας, τὴν δὲ κληρονομίαν λαβὼν μηλωτὴν εὔωνον, καὶ δίλογίαν ἀόρατον τῶ πνεύματος ἅρματος ἐκπεσοῦσαν. Οὐ μὴν ἄφρακτον τὴν ἱκέτην ἀπέπεμψεν, ἐδὲ ἀπέγνω τῆς βοηθείας, ἐπειδὴ μὴ παρῆν τὸ ζητούμενον· ἐδὲ εἶπεν ἀγωνῆτινα, καὶ ἄπισα ῥήματα, ὡς εἰς τῆ πολλῶν· καὶ πόθεν ἐμοὶ ἀργύριον, ὥστε διαλῦσαι τὸ ὄφλημα; ὥσπερ δὲ ἄριστος ἰατρὸς καὶ φαρμάκων μὴ παρόντων, ἐξ ἐπινοιῶν παραδόξων εὗρε τῇ νόσῳ τὴν ἴασιν. Καί τί σοι φησὶν ἐπὶ τῆς οἰκίας, ὦ γύναι; μνημόνευσον εἴτι καὶ ὀλίγον ἔνδον τυγχάνει; ἐδεὶς γὰρ ἔπω πένης, ὡς παθάπαξ μηδενὸς Κύριος εἶναι. Ὡς δὲ εἶπεν, ὅτι περάμιόν ἐστι, καὶ λέγειν ἐν αὐτῳ βραχὺ ἔλαιον. Παρασκεύασόν μοι εἶπε, πλῆθος ἀγγείων. Καὶ ἡ μὲν ἠυξέπισεν, ὁ δὲ δι' αὐτῆς ἐπλήρωσε, καὶ τῳ δανειστῇ διελύθη τὸ ὄφλημα. Ἡ δὲ γυνὴ ἀπῆλθεν, ἐξ ἀπόρων δ' ῥᾳστα τὸν πόρον. Τὸ γὰρ ὀλίγιστον ἔλαιον, ὃ εἶναι παρ' αὐτῇ εἶπε πρὸς Προφήτου, ἐπήγασεν ἐκ τοῦ παραδόξου, καὶ πάντας τοὺς δεξαμενιαίους ἐπλήρωσεν. Ἔστι δὲ τότε τῆς ῥύσεως, ὅτε ἀγγεῖον ἐκ ἔτι ἦν τὸ δεχόμενον, καὶ τῇ χειρὶ συνεμετρήθη ἡ χάρις. Ἀληθῶς ἔλαιον ἐκεῖνο, ὃ φυτὸν οὐκ ἐκαρποφόρησεν, ἀλλ' οἱ τοῦ Θεοῦ οἰκτιρμοὶ ἐγεώργησαν. Ταύτῃ ὠνήσασθε τιμὴ ἐπιστήμῃ εἰ δυνάσθε, οἱ ἀπὸ ἡλίου ἀνίσχοντος μέχρι καὶ

δυο-

δυομένῳ, Βασιλεῖς, δυνάσαι, πλούσιοι, οἱ σοφοὶ τῆς ἐγκοσμίου σοφίας, κτήσασθε τὰ ἀπὸ ὀροτήρων Προφήτου τὸ χάεισμα, ὃ ἀναφαίρετον τῷ λαβόντι συνλῶ. Τὰ δὲ τῆς ὑμετέρας πανδῆς κτήματα, μυρίας ἔχει παρακειμένας τῆς ἀπωλείας κινδυνίους, λῃστὰς τοιχωρυχοῦντας, τυραννίδας ἁρπάζοντας, καὶ συκοφάντας ἐπιβουλεύοντας, θάλασσαν καταποντίζουσαν, καὶ γῆν ὑποῤῥηγνυμένην τοῖς χάσμασιν. Ἔσω τοίνυν ἐλπὶς καὶ ταμιεῖον ἀνθρώποις ἡ τοῦ Θεοῦ δεξιά, ἡ τὸν λαὸν Αἰγύπτου ἐξαγαγοῦσα, καὶ ἐν ἐρήμῳ χώρᾳ τιμὴ διδυμίαν τῶν ἀγαθῶν χορηγήσασα· ἡ τῷ Δανιὴλ ἀγαγοῦσα τὸν Ἀβακοὺμ, καὶ τὸν Ἰσμαὴλ σώσασα, τῆς μητρικῆς ἀγκάλης ἀποῤῥιφέντα, καὶ τοῖς καθ' ἑκάστην γενεὰν ἐπαρκέσασα· καὶ τελευταῖον πέντε κριθίνους ἄρτους εἰς ἄπειρον γεωργίαν πληθύνασα, ἵνα ὁ εἷς ἄρτος χιλίων ἀνδρῶν πεινώντων ἐμπλήσῃ γαστέρα, καὶ ῥόφημα γένηται τῷ λειψάνῳ· τῷ δὲ Θεῷ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΥ-

ΚΥΡΙΛΛΟΥ

Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Ὁμιλία κγ΄ Νεστορίῳ, ῥηθεῖσα ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ.

Φαιδρὸν ὁρῶ τὸ σύσημα τῆς Ἁγίων, πάντων συνελη-
λυθότων προθύμως, κεκλημένων ὑπὸ τῆς Ἁγίας, καὶ
Θεοτόκου Μαρίας, τῆς Ἀειπαρθένου. Ἀλλὰ δὴ ἐν λύ-
πῃ με διάγοντα πολλῇ, εἰς χαρὰν μετέβαλεν ἡ τῆς Ἁ-
γίων Πατέρων παρουσία. Νικᾷ ἐπληρώθη πρὸς ἡμᾶς τὸ
τῆς ὑμνῳδοῦ Δαβὶδ γλυκερὸν ῥῆμα. Ἰδοὺ δή τι κα-
λὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ
αὐτό; Χαίροις τοίνυν παρ' ἡμῶν Ἁγία μυστικὴ Τριὰς,
ἡ πάσας ἡμᾶς πάντας συγκαλεσαμένη ἐπὶ τιμῇ δὲ τὴν
Ἐκκλησίαν τῆς Θεοτόκου Μαρίας. Χαίροις παρ' ἡμῶν
Μαρία Θεοτόκε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰ-
κουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ στέφανος τῆς παρ-
θενίας, τὸ σκῆπτρον τῆς ὀρθοδοξίας, ὁ Ναὸς ὁ ἀνα-
πάλυτος, τὸ χωρίον τὸ ἀχωρήτου, ἡ μήτηρ καὶ Παρθένος,
δι' ἧς ὀνομάζεται ἐν τοῖς Ἁγίοις Εὐαγγελίοις, εὐλο-
γημένον ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Χαίροις, ἡ τὸν
ἀχώρητον χωρήσασα ἐν μήτρᾳ ἁγίᾳ παρθενικῇ. Δι'
ἧς Τριὰς Ἁγία δοξάζεται καὶ προσκυνεῖται. Δι' ἧς
Σταυρὸς τίμιος ὀνομάζεται, καὶ προσκυνεῖται εἰς πᾶ-
σαν τὴν οἰκουμένην. Δι' ἧς ὁ Οὐρανὸς ἀγάλλεται. Δι'
ἧς Ἄγγελοι καὶ Ἀρχάγγελοι εὐφραίνονται. Δι' ἧς δαί-
μονες φυγαδεύονται. Δι' ἧς διάβολος πειράζων ἔπεσεν
ἐξ Οὐρανοῦ. Δι' ἧς τὸ ἐκπεσὸν πλάσμα εἰς Οὐρανοὺς
ἀναλαμβάνεται. Δι' ἧς πᾶσα ἡ κτίσις, εἰδωλομανία
κατεχομένη, εἰς ἐπίγνωσιν ἀληθείας ἐλήλυθε. Δι' ἧς
Βάπτισμα ἅγιον γίνεται τοῖς πιστεύσι. Δι' ἧς ἔλαιον
ἀγαλλιάσεως. Δι' ἧς εἰς πᾶσαν τὴν οἰκουμένην Ἐκ-
κλησίαι τεθεμελίωνται. Δι' ἧς ἔθνη ἄγονται εἰς μετά-

νοιαν·

νοιαν. Καὶ τί πολλὰ λέγω; Δι' ἧς ὁ μονογενὴς Υἱὸς τῷ Θεῷ φῶς ἔλαμψε τοῖς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένοις. Δι' ἧς Προφῆται προεμήνυσαν. Δι' ἧς Ἀπόστολοι κηρύττουσι σωτηρίαν τοῖς ἔθνεσι. Δι' ἧς νεκροὶ ἐγείρονται, δι' ἧς Βασιλεῖς βασιλεύουσι διὰ Τριάδος Ἁγίας... καὶ τίς δυνατὸς ἀνθρώπων, λέγειν τὴν πολυύμνητον Μαρίαν; ἡ μήτρα ἡ παρθενική. Ὦ τοῦ θαύματος! Ἐκπλήττει με τὸ θαῦμα. Τίς ἤκουσε πώποτε οἰκοδόμον, Ναὸν ἴδιον οἰκοδομήσαντα, καὶ κωλυόμενον οἰκεῖν ἐν αὐτῷ; τίς ἰδίαν δέλτον μητέρα προσκαλεσάμενος, ἐνυβρίζεται; Ἰδὲ τοίνυν χαίρει τὰ σύμπαντα· θάλαττα δὲ ὑπεπάγη, τοὺς ἰδίους συνδούλους ἐπιγνοῦσα, καὶ σκιρτώντων κυμάτων ἀγρίων, ἡ τῶν Ἁγίων ἐπίβασις εἰς γαλήνιον μετέβαλεν. Ἐμέμνητο γὰρ τῆς τοῦ Σωτῆρος φωνῆς ἡ δέλτη ἐπαναστασμένη, λέγοντος· σιώπα, πεφίμωσο· γαῖαν δὲ, τὴν ποτε ὑπὸ λῃστῶν διοδευομένην, ἡ τῶν Πατέρων ὁδοιπορία εἰς εἰρήνην μετέβαλεν. Ὡς ὡραῖοι γὰρ οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. Ποίαν εἰρήνην; Ἰησοῦν τὸν Κύριον ἡμῶν, ὃν ἔτεκε Μαρία, ὡς αὐτὸς ἠθέλησε. Τί μοι γὰρ πολυφραγμονεῖν, καὶ μὴ φιλοφρονεῖν περὶ τὴν γραφήν; ἀλλ' ἐρεῖς μοι Ἰουδαίων τὴν ἄρνησιν; Οἱ Προφῆται τοῦτο ἀπεκήρυξαν ἐξ ἀρχῆς, οἰκοθεν τὸ χριστοκτονεῖν ἐπανορθώσαντας, καὶ τοῦτο Θεῷ ἄρνησιν προσεκαλέσαντο. Ἀλλ' Ἀρείου τὸ πικρὸν νόσημα; φιλοκαθεδρείας λοιμικῆς τὸ ἐπιθύμημα. Ἀλλ' Ἑλληνικῆς ἀσεβείας τὸ αὐώνυμον, καὶ ἄθεον φρόνημα; ἀγνωσίας τὸ ἐπιτήδευμα. Καὶ τί δεῖ λέγειν; παῦ ἔθνος πορθούμενον ἀθεμίτοις νώμοις, ἕτος τῇ κακίᾳ ὑπερῆρεν. Ἔθνη γὰρ πολλάκις ἀγνοοῦντα τὴν γραφὴν, Θεὸν δυσφημοῦσιν οὐχ ἑκόντα· ἕτος δὲ γραφὴν ἅπασαν κεκτημένος, τολμῶ δὲ λέγειν, τάχα καὶ μαγικῆς ἐμπαίγματα μελετήσας, οὐκ ἐνέκυψε γνησίως πρὸς τὴν θεόπνευστον γραφὴν, ἀλλ' ἐνέκυψεν εἰς ἄργυρον, καὶ χρυσόν.

Τυφλωθεὶς, καὶ κωφωθεὶς τῇ μανίᾳ περὶ πρᾶγμα δυσ-

δυσφημίας, σεαυτὸν βουλόμενος ἀλλοτριῶσαι τὸ θρόνε, καὶ τὸ καταλόγε τῆς ἀδελφῶν σεαυτὸν ἐξήλειψας, μὴ ἐπιγνὺς τὸν σοι χαρισάμενον Ἀρχιερωσύνης κλῆρον. Ἆρα γὰρ οὐκ ἐπείθης Παύλῳ λέγοντι; κἂν Ἄγγελος ἐξ Οὐρανοῦ εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω; Παῦλος οὐκ ἔπαυσέ σε τὸ κενὸν φρόνημα; ἀλλ' Ἡσαΐας εἶπών· ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός; Εἰδὲ καὶ αὐτὸς, διανοίαν γὰρ ἐκτήσω δεινῆς κακοφροσύνης, ἄκουσον κἂν τῶν δαιμόνων λεγόντων· τί ἡμῖν, καὶ σοὶ Υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. Τίς δέ σοι τοῦτον τὸν δίτελῆ λογισμὸν συνεβάλετο κηρῦξαι; τίς ὁ συμπονήσας τῷ ἀκαίρῳ νοσήματι; οὐκ ἠδέσθης Θεὸν ἑξομοιοῦν Περσικῇ Βασιλείᾳ; οὐκ ἐνεδράπης, ἀθετεῖν βουλόμενος Πατέρων, καὶ Εὐαγγελιστῶν, καὶ Προφητῶν παραδόσεις, καὶ νομίσας ἄρχειν πασῶν τῆς Ἐκκλησιῶν; καὶ οὐκ ἐμνήσθης τοῦ ἀπὸ κοπείας εἰς ὕψος ἀνίον ἀγαγόντος σε; καὶ τοῖς ἔργοις προσέχων, οὐκ ἐπέγνως τὸν Δημιουργόν; βουλόμενος ἀνάσατον καταςῆσαι τὴν οἰκουμένην ἀπατηλοῖς λόγοις, ἐφυβρίζων τὸν Ναὸν τοῦ Θεοῦ, καὶ τὸν κυηθέντα ἐκ Παρθένε Μαρίας ἀπομειρίζειν βουλόμενος, δόγμα πονηρὸν καὶ λύσαι τῷ Κόσμῳ διεγείρων μήτε λυομένην, μήτε φανερυμένην· ἀλλά γε μὴ ζητήσας πρὸ καιροῦ, Βελίαρ μιμησάμενος, ἐνόμισας σειραῖς τῆς σῶν ἀνόμων ἐννοιῶν πείθειν Βασιλέα φίλον ὀρθοδοξίας καὶ προσκυνητὴν ὁμοουσίε Τριάδος, δι' ἧς διηνεκῶς βασιλεύει, δι' ἧς ἔθνη τὰ πολέμια σωτρίβει, δι' ἧς χορὸς ἀεὶ παρθένων βασιλεύει, δι' ἧς Κόσμον ἐν εἰρήνῃ καθίςησι. Τοῦτον λόγοις σοῖς ἀπατηλοῖς ἐνόμισας ἀποσάτην γενέσθαι· καὶ λαὸν θεοφιλῆ πορθεῖν ἐβουλήθης, καὶ Πατέρων πλῆθος εἰς ἀναπνοὴν τυγχάνοντας διέσκυλας. Οὐκ ἠρυθρίασας σαυτὸν ὀλέσαι, δυσφημήσας Θεὸν, ἀλλὰ καὶ τὴν οἰκουμένην πᾶσαν διεθρύλλησας, Ἀλλ' ἰδοὺ

ἐπληρώθη ἐπὶ σοί· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν συνελήφθη ὁ ἁμαρτωλός· κλῆρον Ἅγιον Πρεσβυτέρων καὶ Διακόνων ἀποσυναγώγους ἐποίησας, ἐλέγχοντάς σε τῶν ἄκαιρον μανίαν, μὴ τὰ Ἀρείου φρονεῖν. Καὶ νῦν οὐ τὸν πεσόντα καταβάλλω, οὐδὲ τὸν κλυδωνιζόμενον καταποντίζω, ἀλλὰ τῶν αὐόμων συμβουλιῶν κόπτω τὴν ματαίαν συκοφαντίαν. Τίς εἶδε πλοῖον εἰς εὔδιον λιμένα ἐν γαλήνῃ διάγον, ναυάγιον ὑπομένον; τίς εἶδεν ἀθλητὴν ἐπὶ τὸ σκάμμα πεσόντα, καὶ μὴ ἀνορθούμενον; ἀλλ' ἆρά σοι πεσόντι, ἢ ναυαγήσαντι περὶ τὴν πίστιν, ἡμεῖς χεῖρα οὐκ ὠρέξαμεν; Μάρτυρα δέχε τὸν τίμιον καὶ Ἅγιον Ἀρχιεπίσκοπον τῆς μεγάλης Ῥώμης Καιλεστῖνον συνεχῶς γράφοντά σοι ἀποστῆναι τῆς ματαίας καὶ ἀνωφελοῦς καὶ ἀσυστάτου δόγματος. Ἔτι μὴν καὶ τὴν ἡμετέραν πτωχείαν διὰ γραμμάτων βραχέων τὸν αὐτὸν τρόπον παρακαλοῦντας δέξασθαι ἡμᾶς περὶ Θεοῦ λέγοντας. Σὺ δὲ οὐκ ἐλογίσω ἡμᾶς, ἀσπλαγχνίαν τινὰ καὶ ὑπόνοιαν περιβεβλημένος, κακίᾳ ἐγκαυχώμενος, ὡς δυνατὸς ἄνομα διαλογιζόμενος· καὶ ξυρὸν γέγονας κατὰ σεαυτοῦ ὀξυνόμενον, μέλλων ἐργάζεσθαι δόλον. Διὰ τοῦτο ὁ Θεὸς, ὃν παρελογίσω, καθεῖλέ σε, καὶ ἐξέτιλε τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων, διότι οὐκ ἐφρόνησας περὶ Θεοῦ. Καὶ ταῦτα μὲν παρ' ἡμῶν ἀρκείτω τὰ πρὸς τοῦτον. Θεός ἐστι κριτὴς καὶ ἀποδότης ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Γένοιτο δὲ ἡμᾶς βλέπειν καὶ προσκυνεῖν τὴν σιότητα, καὶ Βασιλεῖ θεοφιλεστάτῳ ὑπηκόους γίνεσθαι, καὶ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, καὶ βλέπειν καὶ σέβειν τὴν ἀδιάσπαστον Τριάδα, ὑμνοῦντας τὴν Ἀειπάρθενον Μαρίαν, δηλονότι τὸν ἅγιον τοῦ Θεοῦ Ναὸν, καὶ τὸν ταύτης Υἱὸν καὶ Νυμφίον ἄμωμον· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ
ΘΕΑΝΘΡΩΠΟΥ ΣΩΤΗΡΟΣ

Ὁμιλία ἐν Ἐφέσῳ ῥηθεῖσα.

Οἱ τοῖς ἱεροῖς προσέχοντες γράμμασι, σεσοφισμένην ἔχουσι τὴν καρδίαν ἔργων τε ἀγαθῶν ἐπισήμονα, καὶ ὀρθῇ πίστει λελαμπρυσμένῳ. Τὸ δὲ τῆς γνώσεως τῆς ἀληθοῦς ἐράν, ζωὴ ἔχει τὸ τέλος. Καὶ πληροφορήσει πρὸς τοῦτο ἡμᾶς αὐτὸς ὁ Σωτὴρ, πρὸς τὸν ἐν Οὐρανοῖς Πατέρα καὶ Θεὸν, ὅπω λέγων· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· ἑκοῦν συμπαρίζηται τῇ περὶ τοῦ Πατρὸς γνώσει καὶ ἡ περὶ τοῦ Υἱοῦ, καὶ ὅπως ἐστὶ τὸ πρᾶγμα ζωοποιοῦν· ὅταν δὲ χωρίζηται τοῦ ἑτέρου τὸ ἕτερον, χωλδίει πάντως ἡ γνῶσις. Οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς Ἰουδαίων δήμοις προσεφώνει, λέγων· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου· εἰ ἐμὲ ἤδειτε, καὶ τὸν Πατέρα μου ἂν ἤδειτε· Καὶ πάλιν ἐνόμιζον οἱ Ἰουδαῖοι τὸν ἑαυτῶν Πατέρας ἐν τῷ ὄρει τὸν φύσει καὶ κατ' ἀλήθειαν ἑωρακέναι Υἱὸν καὶ Θεὸν, ὅτε καταβέβηκεν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ· ὥουτο γὰρ κατὰ ἀλήθειαν ἀκηκοέναι τῆς φωνῆς αὐτοῦ. Ταύτης οὖσης τῆς αἰτίας τεθαυμάκασι μὲν τὸν Ἱεροφάντην Μωϋσέα· καταμικρύνοντες δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τὸ ἀνθρώπινον, ἀνοσίως ἔφασκον· ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. Τί οὖν πρὸς ταῦτα ὁ Χριστός· ἀμὴν ἀμὴν, λέγω ὑμῖν; ὅτε εἶδος αὐτοῦ πώποτε ἑωράκατε, ὅτε τινὶ φωνὴν αὐτοῦ ἠκούσατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν. Ὅτι οὖν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ἡμεῖς οὐ πιστεύετε. Ἀληθεύει δὲ πάντως ἡ ἀλήθεια· οὐ γὰρ ἦν ἐν τῷ ὄρει Σινᾷ φύσις Θεοῦ ἡ ὁρωμένη, πῦρ δὲ μᾶλλον. Ἐγίνοντο δὲ καὶ φωναὶ σάλπιγγος, καπνοὶ ἦσαν ἐξαπτόμενοι, καὶ τῆς ἀληθείας οἱ τύποι προανα-

φαίνοντες τὴν ἀλήθειαν. Κατέβη μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ. Καὶ διὰ ποίαν αἰτίαν ἐν εἴδει πυρός; ἐπειδὴ ἔμελλον ὀρίζειν αὐτοῖς τὸν νόμον, ἐν εἴδει πυρὸς τότε μάλιστα χρησίμως ἐφαίνετο καταβεβηκώς, ἵνα γνῶσιν οἱ παραβαίνοντες, ὅτι πῦρ ἔχουσιν. Οὕτω καὶ ὁ μακάριος Μωϋσῆς, σωφρονεστέρας ἀποτελῶν τῷ φόβῳ τὰς ἁμαρτάνοντας, προσεφώνει πλειστάκις· ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. Ἐγίνοντο δὲ καπνοὶ, καὶ σκότος· τὸ μὲν σκότος τὸ ἀκατάληπτον τῆς περὶ Θεοῦ γνώσεως ἀσφαλῶς ἡμῖν ὑπεμφαίνοντος· τὸ δὲ καπνὸ διδάσκοντος αἰνιγματωδῶς, ὅτι τοῖς καταφρονεῖν ἐθέλουσι τῶν θείων νόμων, παύσεται καὶ πάντως ἀπολουθήσει τὸ δάκρυον· δακρύειν γὰρ ἀνάγκη τὸν τοῦ σώματος ὀφθαλμὸν ἐν καπνῷ. Οὐκοῦν Ἰουδαῖοι μὲν ἐτυφλώθησαν τὸ εἶδος τοῦ Παρρός, ἡμεῖς δὲ αὐτὸ τεθεάμεθα ἐν Χριστῷ. Ἔστι γὰρ αὐτὸς τὸ ἀπαραλλοίωτον κάλλος τοῦ γεγεννηκότος, ὁ χαρακτὴρ, καὶ τὸ ἀπαύγασμα. Εἰ δὲ καὶ ἐπελάβετο σαρκὸς δι' ἡμᾶς, καὶ αἵματος, Θεὸς ὢν ὁ Λόγος, καὶ κεχρηματίκεν Υἱὸς ἀνθρώπου, οὐκ ἄψυχον, οὐδὲ ἄνουν σῶμα λαβὼν, καθάφησιν ὁ φρενοβλαβὴς, καὶ αἱρετικὸς Ἀπολλινάριος, ἀλλ' ἔμεινε καὶ ὅπερ Θεός· ὅπερ τοῖς Ἁγίοις Πατράσιν ἀπεκάλυπτε κατὰ καιροὺς τὸ ἑαυτοῦ Μυστήριον. Καὶ πολλὴ μὲν λίαν ἡ τούτων ἀπόδειξις ἐν τοῖς Ἁγίοις Προφήταις· ἐπειδὴ δὲ χρὴ παραβίεσθαι κατὰ μέρος, φέρε, δεικνύωμεν ἐκ τῆς γενέσεως βιβλίου, ἄνθρωπον ὁρώμενον τὸν Υἱὸν, καὶ Θεὸν ὀνομαζόμενον.

Οὐκοῦν ὁ μακάριος Ἰακὼβ, τὴν Μεσοποταμίαν ἀφεὶς, ἐπὶ τὴν τοῦ Πατρὸς οἰκίαν αὖθις ἠπείγετο. Καὶ δὴ καὶ τὰς δύο τοῦ Λάβαν ἀναλαβὼν θυγατέρας, καὶ τὰ ἐξ αὐτῷ αὐτῷ γεγονότα παιδία, διεβίβασεν αὖτε τὸν Ἰακώβ· ὄνομα δὲ τοῦτο χειμάρρου. Ἀλλ' ὡς φησιν ἡ θεόπνευστος Γραφὴ, διαβιβασθέντων τῶν τέκνων, καὶ τῶν γυναικῶν, ἀπελείφθη Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ. Καὶ εἶδεν ὅτι ὁ δυνάτα-

τας

ται πρὸς αὐτὸν, καὶ ἥψατο τῆς πλάτης τῆς μηρᾶς αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τῆς μηρᾶς Ἰακὼβ, ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. Καὶ εἶπέ φησιν, ὁ ἄνθρωπος, ὁ παλαίων μετ' αὐτοῦ· ἀπόλυσόν με, ἀνέβη γὰρ ὁ ὄρθρος. Ὁ δὲ εἶπεν· οὐ μή σε ἀπολύσω, ἐὰν μή με εὐλογήσῃς. Καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου εἶδος Θεοῦ. Εἶδον γάρ φησι, Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. Ὦ σοφίας ἁγιοπρεποῦς! ἄνθρωπον ὁρᾷ, τὸν παλαίοντα μετ' αὐτοῦ, καί φησιν ὁ Πατριάρχης· εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή· συνῆκε γὰρ διὰ τῆς ἐνανθρωπήσεως τὸ Μυστήριον, ἀποκαλύπτοντος αὐτῷ τοῦ Ἁγίου Πνεύματος. Πλὴν ἐκεῖνο ἐπιτήρει· ὅλην τὴν νύκτα ἐπάλαιε μετ' αὐτοῦ. Ὡς δὲ ἐγένετο ὄρθρος, ἀπόλυσόν με, φησίν, ἀνέβη γὰρ ὁ ὄρθρος. Τί ἂν ἄρα σημαίνει τὸ αἴνιγμα; τοῖς ἐν σκότει καὶ νυκτὶ διάγουσι, καὶ τὴν τῆς ἁγιωσίας ἀχλὺν εἰς νοῦν ἔχουσι καὶ καρδίαν, παλαίει, καὶ μάχεται Χριστός· ἐχθρὸς γὰρ ἡγεῖται. Ὅταν δὲ αὐτοῖς ἀνατείλῃ κατὰ τὸν νοῦν ὁ νοητὸς Ἑωσφόρος, ὅταν οἱάτις ἡμέρα τὸ τῆς ἀληθοῦς θεογνωσίας αὐτοῖς διαυγάσῃ φῶς, τότε καταλύει τὴν μάχην. Παλαίει μὲν γὰρ, καὶ μάχεται τοῖς ὡς ἐν νυκτὶ, καὶ σκότῳ, τοῖς ἀφεγγεῖ, καὶ ἀφώτιστον ἔχουσι τὴν καρδίαν. Οὐ μάχεται δὲ τοῖς ἐν φωτὶ γεγονόσι, τοῖς τὸν νοητὸν ὄρθρον ἔχουσι κατὰ νοῦν. Δέχου τοίνυν ἄνθρωπε, τὸν νοητὸν Ἑωσφόρον· διαυγαζέτω σοι τῆς ἀληθείας τὸ φῶς· παῦσαι μαχόμενος τῷ Χριστῷ. Οὐκ οἶδεν ἡττᾶσθαι· νικᾷ δὲ ἀεὶ, καὶ πάντως. Εἰ καὶ γέγονεν Υἱὸς ἀνθρώπου ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι φύσει Θεὸς, ἄτρεπτός τε, καὶ ἀναλλοίωτος ὤν. Ὁ αὐτὸς ἦν ἄρα καὶ ἐκ Πατρὸς ὡς Λόγος, καὶ ἐκ γυναικὸς ὡς ἄνθρωπος κατὰ σάρκα. Εἷς γὰρ Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ τὸ Πνεῦμα Ἅγιον, ἐν ᾧ τὰ πάντα. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΤΟΥ
ΘΕΑΝΘΡΩΠΟΥ ΙΗΣΟΥ

Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ ἐν τῷ Ναῷ, καὶ τῇ ἡμέρᾳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ.

Τῆς μὲν τῶν Ἁγίων ἀκλείας τε καὶ δόξης ἐλάσσων ἐστὶ πᾶς λόγος· γεγόνασι γὰρ φωστῆρες ἐν Κόσμῳ λόγον ζωῆς ἐπέχοντες. Ὅταν δὲ τὰ θεῖα λαλῶσι Μυστήρια, κρεῖττον ἂν εἴη παρὰ πάντων λέγεσθαι κρὸς αὐτούς· καὶ γὰρ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς, τὸ λαλοῦν ἐν ὑμῖν· διεκήρυξαν γὰρ ἡμῖν τὸν Ἰησοῦν, τὸ φῶς τὸ ἀληθινὸν, τὴν ζωὴν τὴν αἰώνιον· ᾧ καὶ ἡμεῖς λέγομεν κατὰ τὴν φωνὴν τοῦ Μακαρίου Δαβίδ· πᾶσα ἡ γῆ κροσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, Ὕψιστε. Ἔτι μὲν γὰρ τῆς διὰ Μωσέως κρατούσης ἐντολῆς, ὅκου τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσκεκωμισμένων, γνωστὸς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Ἰχνόφωνος γὰρ καὶ βραδύγλωσσος ὢν ὁ Μωσῆς, διὰ τοῦτο καὶ κατὰ μόνων ἠκούετο τῶν Ἰουδαίων ὁ νόμος. Ἐπειδὴ δὲ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἀληθινὸν, καὶ κραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς Θεὸς ὢν ὁ Λόγος, μεσὰ γέγονε τὰ πάντα αὐτοῦ. Πανταχοῦ Ναοὶ καὶ Θυσιαστήρια· κανταχοῦ χορεύεται καὶ κροσκυνεῖται, καὶ ποιμένες ἀγαθοὶ, καὶ λογικῶν θρεμμάτων ἀγέλαι, σεσὰς ἀποφαίνουσαι τῷ πλήθει τὰς ἱερὰς αὐλάς. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἐπὶ γῆς, ἐπλανᾶτο τὸ γένος ἡμῶν. Ἐλάχιστον τῇ κτίσει κρὸ τὸν κτίσαντα· κροσκεκυνήκασι γὰρ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ τῶν κλασμένων ἑκάστῳ Θεὸς ἦν τὸ δοκεῖν· ἀλλ' ἐπέφανε ἡμῖν, ὡς ἔφην, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ἀμνὸς ὁ ἀ-

λη-

ληθινός, ὃν ἡ Ἁγία Θεοτόκος ϗ ἀπειρόγαμος Μαρία ἐκ παρθενικῶν ἡμῖν λαγόνων ἀπεκύησε, τὸ ζωοποιὸν βλάστημα, τὸν ἐνανθρωπήσαντα Θεόν· τὸν ἐλεύθερον ἐν δούλου μορφῇ· τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, ϗ ὑπὲρ πᾶσαν τὴν κτίσιν δι' ἑαυτόν· τὸν ἐν υφέσει τῇ καθ' ἡμᾶς, ϗ ἐν δόξῃ θεοπρεπεῖ· τὸν ἑαυτὸν ταπεινώσαντα, ϗ σύνθρονον τῷ Πατρί· τὸν ἑαυτὸν κενώσαντα, ϗ ἐκ τοῦ ἰδίου πληρώματος διανέμοντα τοῖς ἰδίοις τὰ ἀγαθά· τὸν προσκυνοῦντα μεθ' ἡμῶν ἀνθρωπίνως, ϗ προσκυνούμενον ὡς Θεὸν οὐκ ἐν γῇ μόνον, ἀλλὰ ϗ ἐν τοῖς Οὐρανοῖς. Ὅταν γάρ, φησιν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· ϗ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. Τίς ἂν ἀρα εἶν ὁ εἰσβεβηκὼς εἰς τὸν οἰκουμένην; τίνα δὲ ὅλως εἰσηκόμισαι τρόπον; Μυσαγώγησον Εὐαγγελιστὰ, εἰπὲ ϗ νυῦ ὦ μακάριε Ἰωάνη. Τίς ἐπεπλήθης βροντῆς· μέγατι ϗ ἐξαίσιον καπετύπησας τὸν ὑπ' Οὐρανόν· ἀθανάτας ἔχεις φωνὰς, ϗ λήθη ϗ χρόνος τοῖς σοῖς παραχωρεῖσι λόγοις. Ἰδοὺ τοσαύτη Ποιμένων ἄθροισις ἦλθε παρὰ σοί. Ἀποκύλισον ἡμῖν τὸν λίθον, ὡς ὁ μακάριος Ἰακὼβ τοῖς Ποιμέσιν· ἀποκάλυψον τὸ φρέαρ τῆς ζωῆς· δὸς ἀρύσασθαι ϗ νῦν ἐκ τοῦ τῆς Σωτηρίας πηγῶν· μᾶλλον δὲ τὸν σὸν παράθες ἡμῖν πηγήν· ἀκοῦν ἀκούσωμεν λέγοντος· Ἐν ἀρχῇ ἦν ὁ Λόγος, ϗ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, ϗ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· ἀλλ' ὅτι μὲν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἀπόῤῥητον ἔχει τὴν ἐκ Πατρὸς ὕπαρξιν, πεπιστεύκαμεν· πρόσθει τὸ λοιπὸν, ὦ Εὐαγγελιστά. Ἄκουε πάλιν λέγοντος· ϗ ὁ Λόγος σὰρξ ἐγένετο. Οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ἀλλὰ σὰρξ γέγονε, τουτέστιν ἄνθρωπος· γέγονε δὲ ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, οὐκ ἀποβεβληκὼς τὸ εἶναι Θεὸς, ἀλλὰ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν· ἄτρεπτος γάρ ἐστι ϗ ἀναλλοίωτος ἡ τοῦ Λόγου φύσις, ϗ οὐκ οἶδε παθεῖν ὃ πῆς ἀποσκίασμα. Ταῦτα φρονεῖν ἐδίδαξεν ἡμᾶς ὁ μα-

μακάριος Εὐαγγελιστὴς, τὸ ἄστρον ἀληθῶς τὸ μέγα καὶ περιφανέστατον, ἄστρον χρησιμώτατον οὐ τοῖς τῷ αἰσθητῷ διαπορθμεύοις θάλατταν, ἀλλὰ τοῖς τῆς δυσσεβείας ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθῷ ἐθέλουσιν ἔχειν καὶ ἁπλανῆ πίστιν. Εἴτις οὖν ἐρᾷ τὸν ναυτίλλεσθαι τὸν τρόπον, ὥσπερ ἄστρον εἰς νοῦν ἐχέτω τὰς τὸ Θεολόγου φωνάς. Οὕτω τὰ πικρὰ τῆς αἱρέσεων διαπεδήσει κύματα· ὅπως εἰς εὔδιον καταστήσει λιμένα, καὶ πρὸς αὐτῷ ἥξει τῷ ἀληθείαν, τουτέστι Χριστόν· μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, καὶ τὸ κράτος σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΜΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΓΕΡΜΑΝΟΥ

Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

Ἐγκώμιον εἰς τὴν Ὑπεραγίαν Θεοτόκον
ῥηθὲν ἐν τῇ Κοιμήσει αὐτῆς.

Παυσάθωσαν τῶν αἱρετικῶν οἱ ἀμαθεῖς καὶ ἐμβρόντητοι λόγοι· ἐμφραττέσθωσαν τὰ τέκνων ἄδικα χείλη· ἀγαλλιάσθωσαν καὶ εὐφραινέσθωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Θεοτόκε, καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλωνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες μεγαλύνειν κατὰ χρέος τὸν Ὄνομά σου, ὅτι σὸμα τῶν Χριστιανῶν μελετήσει τὴν δικαιοσύνην σου καὶ τὴν παρθενίαν σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινον τῆς ἁγιωσύνης τοῦ τόκου σου· εἶδον οἱ πτωχοὶ τὸν διὰ σοῦ τῆς χρηστότητος τὸ Θεῖον πλοῦτον· εἶδον καὶ εἶπον· τῆς ἐλέους Κυρίου πλήρης ἡ γῆ· ἐξεζήτησαν οἱ ἁμαρτωλοὶ διά σοῦ τὸν Θεὸν, καὶ ἐσώθησαν· εἶπον καὶ αὐτοί· εἰμὴ ὅτι Κύριος ἐβοήθησεν ἡμῖν ἐκ Παρθένου σαρκωθεὶς, παρὰ βραχὺ παρῴκησαν ἂν ἐν τῷ παμφάγῳ τῆς ἀπονεκρώσεως ἅδῃ τῶν ψυχῶν ἡμῶν αἱ καταδύσεις. Δυνατὴ τοιγαροῦν πρὸς σωτηρίαν ἡ βοήθειά σου Θεοτόκε, καὶ μὴ χρήζουσα τινὸς ἑτέρου πρὸς τὸν Θεὸν παραθέτου. Σὺ γὰρ εἶ τῆς ὄντως ἀληθινῆς ζωῆς ἡ Μήτηρ· σὺ εἶ τῆς ἀναπλάσεως τοῦ Ἀδὰμ ἡ ζύμη· σὺ εἶ τῶν ὀνειδισμῶν τῆς Εὔας ἡ ἐλευθερία. Ἐκείνη μήτηρ νεκρὸς, σὺ μήτηρ φωτός· ἐκείνης ἡ μήτρα μήτηρ φθορᾶς, ἡ δὲ σὴ γαστὴρ ἀφθαρσίας· ἐκείνη θανάτου κατοίκησις, σὺ μετάστασις ἀπὸ θανάτου· ἐκείνη βλεφάρων καταχθονισμὸς, σὺ χρηγορούντων ὀφθαλμῶν ἀκοίμητος δόξα· ἐκείνης τὰ τέκνα λύπη, ὁ δὲ σὸς Υἱὸς παγγενὴς χαρά· ἐκείνη ὡς γῆ ὅσα εἰς γῆν παρῆλθε, σὺ δὲ ζωὴν ἡμῖν ἔτεκες, καὶ πρὸς τὴν ζωὴν ἐπανῆλθες, καὶ ζωὴν τοῖς ἀνθρώποις καὶ μετὰ θάνατον προξενεῖν κατίσχυσας. Οὐκ ἔστι τῆς ἀντιλήψεώς σου κόρος,

καὶ δὲ

ὐδὲ τῆς ζωοποιμήτορος μεταθέσεως ἐπιζήμιος, ὡς εἰπεῖν, ὑποδέχεσα τοῖς ἀνθρώποις ἡ αἴσθησις· διότι καὶ ἡ προσασία σου ζῶσα, καὶ ἡ προσβεία σα ζωὴ, ἐκ τῆς σκέπης σα διηνεκής· εἰ μὴ γὰρ σὺ προηγᾶ, ὐδεὶς πνευματικὸς ἀπεπλεῖτο· ὐδεὶς ἐν Πνεύματι τὸν Θεὸν προσεκυνεῖ. Τότε γὰρ πνευματικὸς ὁ ἄνθρωπος, ὅτε σὺ Θεοτόκε, Πνεύματος Ἁγίου κατοικητήριον ἐγένου. Οὐδεὶς θεογνωσίας ἀνάμεσος, εἰμὴ διὰ σᾶ, Παναγία· ὐδεὶς ὁ σωζόμενος, εἰμὴ διὰ σᾶ, Θεοτόκε· οὐδεὶς κινδυνῶν ἐλεύθερος, εἰμὴ διὰ σᾶ, Παρθενομῆτορ· ὐδεὶς ὁ ἐλεήμενος δωρεαὶ, εἰμὴ διὰ σᾶ Θεοχάριτε. Τίς γὰρ τῶν ἁμαρτωλῶν ἐπὶ πλεῖστον ὑπερμαχεῖ; τίς τῷ ἀδιορθώτων καὶ πλεῖστον αὐτιφωνητικῶς ὑπερασπολογεῖται; πᾶς γὰρ τῷ δυναμένῳ εὐθὺς ὅτε καὶ βοηθεῖν, τῆς παραβολικῆς συκῆς τὴν ἐκτομὴν ἐν ἡμῖν δι' λαβόμενος, ἐνεβάλλετο αὖ τὴν ὑπὲρ ἡμῶν ἱκεσίαν τῷ Θεῷ προσαναπέμψαι, ἵνα μὴ τῆς ἀποφάσεως διὰ τὸ ἄκαρπον τῆς ὑποχέσεως δοθείσης, ἄδεκτος ἡ ἀντιφώνησις ὠφθῇ. Σὺ δὲ μηδὲν ἔχουσα πρὸς τὸν Θεὸν τλῶ ἰσχύ, καὶ τοῖς καθ' ὑπεροχὴν ἁμαρτάνουσι καθ' ὑπερβολὴν τὴν συγχώρησιν ἐξαιτεῖς. Οὐδὲ γὰρ ἐνδέχεταί σε ποτὲ παρακουσθῆναι, ἐπειδὴ πειθαρχεῖ σοι κατὰ πάντα καὶ διὰ πάντα, καὶ ἐν πᾶσιν ὁ Θεός, ὡς ἀληθινῇ αὐτᾶ καὶ ἀκαίτῳ Μητρί. Ὅθεν ὁ θλιβόμενος, δι' λόγου πρὸς σὲ καταφεύγει· ὁ ἀθυμῶν σοὶ προσκολλᾶται· ὁ πολεμούμενος σὲ τοῖς ἐχθροῖς ἀνθοπλίζει. Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποσολὴν δι' Ἀγγέλων πονηρῶν, σὺ μεταβάλλεις. Ἀπειλὴν δικαίαν καὶ ψῆφον ἀξιοπαθοῦς καταδίκης σὺ μεταστρέφεις, ἀγαπῶσα μεγάλως τὸν ἐπικεκλημένον τῷ ὀνόματι τᾶ Υἱοῦ σε λαόν. Ὅθεν καὶ ὁ Χριστιανὸς λαός σου τὰ καθ' ἑαυτὸν ἀνακείνων, πρὸς μὲν τὸν Θεὸν ὑποστέλλεται, σοὶ δὲ παῤῥησιαστικῶς τὰς δεήσεις προσφέρει. Σὲ γὰρ δυσωπεῖν ἀνενδοιάστως διὰ τὴν πεῖραν καὶ τὰ πλήθη τῶν εἰς ἡμᾶς ἀγαθῶν σε, καὶ παραβιάσασθαί σε πολλάκις ἐν ἱκεσίαις πεπίσθηκε.

Λιθ'

Ἀνθ' ὧν τίς σε μὴ μακαρίσει τὴν τῶν Ἀγγέλων ὑπὲρ φύσιν θεωρίαν, τὴν τῶν ἀνθρώπων ὑπέρφυον ἐπιτυχίαν, τὴν ὑπόληψιν τῶν Χριστιανῶν, τὸ ὀχλούμενον τῶν ἁμαρτωλῶν προσφύγιον, τὴν καθ' ὥραν ἐν τῷ σώματι τῶν Χριστιανῶν φερομένην; μόνον γὰρ εἰ θροηθῇ Χριστιανὸς, εἰ κὴ πρὸς λίθον τὸν ἑαυτῦ προσκόψῃ πόδα, τὸ σὸν ἐπικαλεῖται πρὸς βοήθειαν ὄνομα. Σὲ τοιγαροῦν τίς δοξάζων, ἀπαύστως ὐ μὴ δοξάσει; δοξάζειν σε μᾶλλον ἐπιθυμεῖ, ἐαν κὴ ἀπόρως ἐνάρξηται. Ἀδύνατον γὰρ ἐπαξίως ὑμνῆσαί σε. Τὸ διὰ παντὸς μεγαλύνειν σε ποθεῖ, διὰ τῦ διηνεκῶς δοξολογεῖν σε, παραψυχὴν τῶν χρέως ἀπολαμβάνων. Ἐπαὶ γὰρ πολλὰ χρεωστῶν, ὐδὲν ἀποδίδωτί σοι, πλημμύνει τὴν εὐχαριστίαν ὡς ἐν ἀρχῇ, καὶ ταύτην ἀεὶ ὡς ἀεὶ τὸ ἀγαθὸν ποιοῦσα προσάγει. Σὲ τίς μὴ θαυμάσει τὴν ἀμετάθετον σκέπην, τὴν ἀμετάστατον καταφυγήν, τὴν ἀκοίμητον πρεσβείαν, τὴν ἀδιάλειπτον σωτηρίαν, τὸ ἀπόρθητον τεῖχος, τὸν θησαυρὸν τῶν ἀπολαύσεων, τὸν ἀνέγκλητον Παράδεισον, τὸ ἀσφαλὲς ὀχύρωμα, τὸ κραταιὸν περιχαράκωμα, τὸν ἰσχυρὸν τῆς ἀντιλήψεως πύργον, τὸν λιμένα τῶν χειμαζομένων, τὴν γαλήνην τῶν τεταραγμένων, τὴν τῶν ἁμαρτωλῶν ἐγγυητήν, τὴν τῶν ἀπεγνωσμένων προσαγωγήν, τὴν τῶν ἐξοριθέντων ἀνάληψιν, τὴν τῶν ἐκδιωχθέντων ὑποστροφήν, τὴν τῶν ἀλλοξιωθέντων οἰκείωσιν, τὴν τῶν κατακεκριμένων παράθεσιν, τὴν τῶν κατηραμένων εὐλογίαν, τὴν δρόσον τῆς ψυχικῆς αὐχμηρίας, τὴν σταγόνα τῆς ἐκπαιδεύσεως βοτάνης (τὰ γὰρ ὅσα ἡμῶν, ὡς γέγραπται, καθάπερ βοτάνη ἀνατελεῖ) τὴν τῶν ἁμνῶν καὶ Ποιμένος μητέρα, κὴ πάντων τῶν ἀγαθῶν γνωριζομένην πρόξενον; Ὅσα τὰ σὰ, παράδοξα, ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτὸ, ἐπιθυμητά τε πάντα, κὴ γλυκύτερα ὑπὲρ μέλι κὴ κηρίον. Καὶ γὰρ οἱ δοῦλοί σε ποθοῦμεν αὐτά. Ἐν τῷ ποθεῖν αὐτὰ, ἀπάμειψις ἐκ σοῦ πολλή. Τὰ ἐλέη σε τίς σωπήσει; ἀλλ' ἀρκεῖ σοι πρὸς ἔπαινον ἀξιάγαστε,

τὸ

τὸ μὴ δύπορεῖν ἡμᾶς ἐγκωμιάσαι τὰ σά. Ἔχεις ἐκ Θεοῦ τὸ μέγα πρὸς θείαμβον ὕψος· διότι λαὸν αὐτῷ χρισιανικὸν ἀπὸ σαρκὸς τῆς σῆς σωεσήσω, καὶ τὸ ὁμογενές σε σύμμορφον τῆς θείας αὐτῷ καὶ ὁμοιωτικῆς εἰκόνος ἀπεργάσω· δίλογημένον τοίνυν διὰ τοῦτο τὸ ὄνομά σε εἰς τοὺς αἰῶνας. Πρὸ τοῦ ἡλίου τὸ φῶς σου. Ὑπερτέρα πάσης τῆς κτίσεως ἡ τιμή σου· πρὸ τῶν Ἀγγέλων ἡ ὑπεροχή σου· ὑψηλοτέρα σὺ τοῦ Οὐρανοῦ, ἀλλὰ καὶ πλατυτέρα τοῦ Οὐρανοῦ τῶν Οὐρανῶν, καὶ τοῦ γραφικῶς παράτινος Ἁγίου αὐτιφερομένου ἑβδόμου οὐδοώτερε, ἢ εἴ ἔσι τίς ἕτερος, ἢ ὑπερέκεινα τούτου λέγειν, Οὐρανέ. Εὐλογημένη σὺ ἐν γενεαῖς γενεῶν. Ἀλλὰ ἢ δίλογήθησαν ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Οὐδὲ γάρ ἐσι τόπος, οὗθα σὺ μὴ δοξάζῃ, οὐδὲ φυλή, ἐξ ἧς οὐκ ἐβλάσησαν διὰ σὲ καρποὶ τῷ Θεῷ· ὥστε ἢ τὰ μὴ ἐπεγνωκότα σε ἢ τὸν Κόσμον τοῦτον ἔθνη, καιρῷ δεκτῷ ἢ αὐτὰ μακαριοῦσί σε, Παρθένε. Ὅταν γὰρ ὁ ἐκ σοῦ γενηθεὶς ἥξει κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ὄψονται καὶ πόψονται οἱ μὴ Θεοτόκον σε πιστῶς ὁμολογήσαι θελήσαντες· καὶ τότε γνώσονται ποίᾳ θησαυρῷ ἑαυτοὺς κακοβούλως ἐζημίωσαν.

Ἀλλ' ἡμῖν τοῖς Χρισιανοῖς, καὶ χρισιανικῇ Θεοτόκον σεβομένοις σε πίστει, παράτεινον τῆς ἀμεταθέτου σου προσασίας τὸ ἔλεος. Καὶ δὴ τὴν Κοίμησίν σου Θεοτόκε, ζωὴν ἡγούμεθα δικαίως, καὶ συνοικόν σε πνευματικῶς ἔχειν πεπισεύκαμεν. Καὶ ὅταν θλίψις ἐγγύς, ζητοῦντές σε λυτρούμεθα. Καὶ ὅταν πάλιν χαρᾶς καιρὸς, σὺ εἶ ταύτης πρόξενος. Καὶ ὅταν ἐν ὅλοις ὑπὸ σοῦ μεριμνώμεθα, μεθ' ἡμῶν σε διάγειν πισοφορούμεθα· ὃν τρόπον δὴ ὁ διψῶν πρὸς τὴν πηγὴν καταπαύδεται, ἵνα καὶ πᾶσα ψυχὴ πισοπάτωρ πρὸς σὲ κατατρέχει, ἐμπλησθῆναι τῆς σῆς φλεγομένη βοηθείας. Καὶ πάλιν ὥσπερ τὸ τοῦ ἀέρος ἄσθμα ζωτικὴν τοῖς ἀνθρώποις ἐμπνέει τὴν ὄσφρησιν, ἵνα καὶ σὲ παντὸς ὀρθοδόξου Χρισιανοῦ ἐπὶ στόματος προφέρει πνοή. Οὐ

δὲ

δὲ ϗ τοσοῦτον τῆς τοῦ ἀέρος ἀνιμώμεθα ψυχαγωγίας, ὅσον τῆς τοῦ ὀνόματός σου ἀρυόμεθα σκέπης, ὡς ἐν Χριστῷ καὶ ἐν σοὶ τὸ γεγραμμένον πληροῦσθαι. Ἀναπνοή φησι μυκτήρων ἡμῶν σὺ εἶ. Ἐν τῇ σκέπῃ σε ϗ πνοῇ ζήσομεν. Ποῖον ϗ γένος ἀνθρώπων, πάρεξ εἰπεῖν Χριστιανῶν, τοιαύτης ἐπέτυχε δόξης, τοιαύτης ὑπόρησεν ὑπολήψεως; Ἄγγελοι ταῖς ὑραναίαις ἐγγαυριοῦται καταμοναῖς, ἡμεῖς τοῖς τῶν ἁγιοβάτων σου Ναῶν διφραινόμεθα χολασμοῖς. Εἰ ϗ ὁ Σολομώντιος Ναὸς πάλαι τὸν Οὐρανὸν ἐπὶ τῆς γῆς ἐσκιαγράφει, πόσῳ μᾶλλον ἐμψύχου σε Ναὸν γεγονυίας τοῦ Χριστοῦ, μὴ καὶ τὰς Ἐκκλησίας ὡς ἐπιγείους Οὐρανοὺς δικαίως ἐσὶν ἀνακομπάζειν; Ἀσέρες λαμπηδογλωασσοῦσιν ἐν τῷ σερεώματι τοῦ Οὐρανοῦ, αἱ σωματικαί σε τῆς εἰκόνων, Θεομῆτορ, χρωματουργίαι, τὴν ἐπίδοσιν τῆς σῶν ἡμῖν ἀναστράπτουσι δωρεῶν. Ἥλιος ϗ Σελήνη τὸν σὸν τοῦ κυκλώματος δαδουχοῦσι πόλον. Πᾶς οἶκος ϗ πᾶσα πόλις ϗ χώρα τὸ σὸν ἐκ τοῦ σοῦ γεννηθέντος φωτὸς ἀγλαΐζεται φῶς. Διὰ τοῦτο, μακάριος κἂν ἁμαρτωλὸς ὁ ἄνθρωπος, ὅτι περ συγγενή σε κατ' οὐσίαν κτησάμενος διρέθη, ϗ θείας φύσεως διὰ σὲ κοινωνός. Μακάριος ἀληθῶς, ϗ καλῶς αὐτῷ γέγονε, μᾶλλον δὲ καὶ ἔσαι καλῶς. Οὐ διαλείψει ϗ τοῖς τὴν σὴν ἀντίληψιν ἕως τέλους ἔχειν ἀξιωμένοις. Ἐρρέτω θανάτος ἐπὶ σοὶ Θεοτόκε, ὅτι ζωὴν τοῖς ἀνθρώποις προσήγαγες. Ἐρρέτω πάφος ἐπὶ σοὶ, ἐπειδήπερ ὕβρις ἀκαταφράστου θεῖος ἐγένου θεμέλιος. Ἐρρέτω χάος ἐπὶ σοὶ, ἀνάπλασις ϗ εἶ, ὅτι τοῖς ἐν ὕλῃ πηλοῦ διαφθαρεῖσι κεχρημάτικας Δέσποινα. Οἰκουμένη πίσει σε μεθ' ἡμῶν σωσιπάτροφον ἔχειν ὁμολογοῦμεν. Εἰ μὴ ϗ ἐν τούτῳ παρηγορήμεθα, ἐξέλιπεν ἂν τῇ ἐπιθυμίᾳ τῆς πρὸς σὲ τὸ ἡμέτερον πνεῦμα. Καὶ πίσει τοὺς Οὐρανοὺς, ὡς γέγραπται, καπρτίσθαι νοοῦμεν· ὅπου καὶ σὲ μεπελθοῦσαν, συνδιάχωγον καὶ μετὰ τὴν ἐκδημίαν τοῦ σώματος πισεύομεν ἀναθεωρεῖν· ὁ ϗ ὀδύνη τοσαύτη τῇ ψυχῇ τῆς σαρκὸς

ὅταν

ὅταν ἀποσταθῇ, ἔσον ἐδυνηρόν σὲ σερηθῆναι, Παναγιωτε· ὅθεν καὶ τὸ γεγραμμένον, κἂν τὸ σῶμά σε καθεύδῃ, ἡ καρδία σε ἀγρυπνεῖ· καὶ κἂν τὸ ἀπαραίτητον τῦ θανάτου παραδέξω φύσει, ἀνυσάζει, οὐδὲ ὑπνώσει ὁ φυλάσων ἡμᾶς ὀφθαλμός σε· οὐκ ἀμάρτυρος ἡ μετάσασίς σε, οὐδὲ ψευδὴς ἡ κοίμησις. Ὁ Οὐρανὸς πᾶν ἐπὶ σοὶ τότε σωδραμόντων διηγεῖται δόξαν. Ἡ γῆ τιὼ περὶ αὐτῷ παρίσησιν ἀληθειαν. Αἱ νεφέλαι τὴν ἐξ αὐτῷ σοι διακομισθεῖσαν βοῶσι τιμήν, καὶ Ἄγγελοι τιὼ εἰς σὲ τότε γενομένω ἀπαγγέλλουσι δορυφορείαν. Τὸ πῶς φημὶ κατὰ τὴν Ἱερουσαλήμ οἱ Ἀπόστολοι παρεγένοντο πρὸς σὲ, καθάπερ καὶ Ἀββακοὺμ ὁ Προφήτης ἐκ μερῶν τῆς ὀρεινῆς ἐν ὥρᾳ μιᾷ διὰ νεφέλης ἁρπαγείς, καὶ Ἀγγελικῆς δεξιᾶς ὑπολημφθεὶς ἐν τῇ Περσικῇ Βαβυλῶνι εἰς τὸν λάκκον τῦ Δανιὴλ παρέση. Ἀλλ' ὥσπερ ῥανὶς εἰς θάλασσαν ἐπιχεομένη οὐδὲν προσίθησιν, οὐδὲ βαλάντιον πτωχῦ, πλουσίῳ θησαυρὸν ἀποκενοῖ· οὕτω οὐδὲ τὰ ὕμνη σε τῷ ἐγκωμίων ἱκανός τις ἐν λόγων κατδυναστεῦσαι φωναῖς. Ἔχεις σὺ παρ' ἑαυτῆς τὸν ἴδιον ὕμνον, ὅτι περ Θεοτόκος ἀπεδείχθης. Οὐδὲ γὰρ ὅτι τοῖς ὠσὶν ἡμῶν παρὰ γραφικῆς ἐξηγήσεως τῦτο μόνον ἠκούσθη, οὐδὲ πάλιν ὅτι περ οἱ Πατέρες ἡμῶν ἀπήγγειλαν ἡμῖν τοῦτο παναληθεύσῃ διηγήσει, τιὼ προσηγορείαν ἐκληρώσω τῆς Θεοτόκου, ἀλλ' ὅτι τὸ ἔργον, ὃ εἰργάσω ἐν ἡμῖν, πυρίως καὶ ἀψευδῶς Θεοτόκον σε δι' αὐτῷ βεβαιοῖ τῷ πραγμάτων· καὶ τότε χάριν τὸ θεοδόχον σου σῶμα παρὰ νεκροποιῦ καταφθορᾶς ἔφρεπεν ὅπως μὴ συγκλεισθῆναι, ἀλλὰ καὶ τὸν τάφον ὡς ἀνθρώπινον ὑποδέξασθαι τὸ ἴδιον φύραμα, καὶ σὲ ζωοτελῶς πρὸς τὰ ὑραία τῆς οἰκείας μεταστάσης ζωῆς, κενὸν μὲν αὐτὸν δειχθῆναι τῆς σαρκός σε, ἀχώριστον δὲ τῆς τῷ ἀνθρώπων συναναστροφῆς δίρεθῆναι τὸ Πνεῦμά σε, ὁράτῳ ἐνεργείᾳ τὲ ὑπὸ σοῦ παρθενικῶς γεννηθέντος Χριστῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῷ αἰώνων. Ἀμήν.

ΑΝΑ-

ΑΝΑΣΤΑΣΙΟΥ

Ἀρχιεπισκόπου Ἀντιοχείας

Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Θεοτόκου.

Τί πάλιν ἐπὶ τῆς γῆς ὁ μέγας βάλλεται Γαβριὴλ ἡμῖν; ἆρα φῶς ἡμᾶς ἄυθις ἀφίκετο; ποίοις ἀποκρύφοις ὑπηρετεῖ μυστηρίοις Θεός; οὐκ ἐπὶ μικροῖς. Φοβεροῖς ὄντως ὁ Ἄγγελος διακονεῖται τοῖς προσάγμασι. Μεγάλα ἐστὶν ἅπερ πιστεύεται· ἄλλῳ ὀδενὶ εὔλαπτα τὰ δι' αὐτῆς δηλούμενα. Μόνος θαρρεῖται τὰς ἀῤῥήτους τῆς τοῦ Θεοῦ σοφίας θησαυρὰς, καὶ τὸ βάθος τῷ αὐχενιάσωνι αὐτοῦ κειμάτων φωτίζεται. Ἀφίκετό ποτε πρὸς ἡμᾶς, ἵνα τὸν ἄνδρα τῷ ἐπιθυμιῶν συνετίσῃ Δανιὴλ, καὶ Βασιλέων διδάξῃ διαδοχὰς, καὶ Κόσμου τέλος, καὶ δηλώσῃ αὐάσασιν, καὶ κρίσιν προμηνύσῃ κατὰ τὴν τάξιν ἑκάστῳ ἀποδιδομένην, καὶ τῷ μελλόντων φανερώσῃ τινὶ ἀποκάλυψιν. Ἦλθε πάλιν, τὴν παράδοξον τοῦ θείου Βαπτιστοῦ γένησιν τῷ Πατρὶ διαγγελιζόμενος, καὶ τινὶ δι' αὐτοῦ πρὸς Θεὸν τῷ ἀνθρώπων συναφείαν ὑποφαίνων. Καὶ νῦν εἰ πιστόθειός τι μέγα παρεγένετο, οἱ τοῖς γεγραμμένοις πιστεύειν ἄξιοι κατανοήσατε, ὅτι σεῖραι τεκνογονοῦσι, γραλέοι παιδοποιοῦσι, ἔμβρυα σκιρτῶσιν, Ἱερὶς δὲ ἀπισίαν σιωπῇ καταπείνεται. Ἄλλος ἄλλοτι τῶν Ἁγίων Ἀγγέλων πιστεύεται. Μόνος δὲ οὗτος τὸ πάντων θαρρεῖται κεφάλαιον, Θεὸν ἀπόρως ἐν γαστρὶ κυοφορούμενον μίξᾳ, Πνεῦμα Ἅγιον τῷ τόκῳ συνεργαζόμενον, τὸν ἐπὶ πάντων Πατέρα καὶ Θεὸν τῇ Παρθένῳ λέγειν κελεύοντα· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ! Ὦ φιλοτίμου καὶ θείας φωνῆς! ὦ φιλανθρωπίας ὑπερβολῆς καὶ ἀγαθότητος! ὦ λειτουργίας ὄντως Ἀγγελικῆς! ὦ μακαρίας Παρθένου τοιούτων κα-

τα-

ταξιωθείσης ῥημάτων, μᾶλλον δὲ τοιούτοις διακονήσασθαι πράγμασιν! Ἀσυνδυάστως ἐκυοφόρησας· ἀσυμφόρως ἀπέτεκες· μόνη Μήτηρ ὁμοῦ καὶ Παρθένος ἐγένου. Οὐ δὲ διέκοψε τὴν παρθενίαν ὁ τόκος, οὐδὲ διέλυσε τὴν ἀφθορίαν ἡ σύλληψις. Ἄσυλον τὸ τῆς παρθενίας κειμήλιον καὶ μετὰ τόκον ἐφύλαξας. Ἐγαλακτοτρόφησας ὡς νήπιον, τὸν διδόντα τροφὴν πάσῃ σαρκί. Ὑπὸ τὴν σὴν θηλὴν ἤγαγες ὡς βρέφος τὸν πηγάζοντα γάλα ταῖς τιτθάσαις πρὸς διατροφὴν τῶν τικτομένων βρεφῶν. Καὶ δὲ μήτηρ ἐγένου ἀνθρώπου φιλοῦ, ἢ Προφήτου τινός, ἢ Θεὸν ἔνοικον ἔχοντος, ἀλλὰ μήτηρ ἀληθῶς τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ποῖον ἐς χωρῆσαι δυνήσεται; ποῖος δὲ λόγος ἀρεθήσεται ἄξιος τῶν νοουμένων ἑρμηνεύς; Μέχρι σοῦ ἦκον γυναῖκες, ἐν λύπαις τέξεσθε τέκνα, καὶ κατ' ἀνδρῶν ὥσπερ τις κλῆρος διαδοχὴ τὸ θεϊκὸν ἔτρεχε πρόσαγμα, ἄλυτον καὶ ἀμετάθετον διαμένον. Ἀπὸ σοῦ λοιπὸν τὸ θῆλυ γένος ἀκούσει, χαίρετε γυναῖκες, ἀρχοῦ τοῦ χαίρειν λαβοῦσαι τὴν μόνην ἐν Παρθένοις κεχαριτωμένην, τὴν καλὴν, τὴν ἄσπιλον, τὴν Ἁγίαν, τὴν Θεομήτορα Μαρίαν.

Ὁ μὲν οὖν μέγας Ἄγγελος τοιαῦτα τῇ Παρθένῳ διαγγελίζεται· καὶ ὁμοῦ τοῖς λόγοις ὁ τοῦ Θεοῦ Μονογενὴς τὴν παρθενικὴν ὑπέδυ νηδύν· καὶ ἐχώρησε γαστήρ, ὃν Οὐρανὸς οὐκ ἐχώρησεν ὅλος. Ἔμβρυον δὲ ἡμᾶς γέγονεν ὁ ὑπὲρ ἡμᾶς, καὶ μέρος αὖξων, καὶ σωματικῶς τελειούμενος ὁ παντέλειος τοῦ Θεοῦ Λόγος, καὶ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Χρόνων ἀρχὴν λαμβάνει ὁ χρόνων Ποιητὴς, καὶ ὑπάρχων πρὸ τῶν αἰώνων. Ἄνθρωπος ἐγένετο ὁ τῶν ἀνθρώπων δημιουργὸς, μητέρα κτησάμενος ἐξ ἡμῶν ὁ μόνος τοῦ Θεοῦ κατὰ φύσιν Υἱὸς, σάρκα ἐξ αὐτῆς λαβὼν τὴν ἡμῖν ὁμοούσιον. Ἀλλ' ἐπειδή περ ὁ λόγος οὐ σωναναβαίνει τοῖς θαύμασιν, οὐδὲ θνητὴ γλῶσσα κατ' ἀξίαν τὰς μεγαλουργίας τοῦ Θεοῦ ἐξαγγέλλει, δεῦρο τῆς Προφητῶν δὶ τονώτατε καὶ μεγαλοφωνότατε

Ἡ-

Ἡσαΐα, δεῦρο δίδαξον ἡμᾶς τὰ μεγαλεῖα τοῦ Θεοῦ· ὕμνησον διὰ τὸ Πνεύματος τὰ γεγενημένα· προθέσπισον, ἵνα ἀκουσθῇ τὰ μηνυόμενα· δοξολόγησον τὸν φωτίζοντα ὃς βέλεται· πιστοποίησαι τῇ προαγορεύσει τὰ ἄπιστα. Ἰδού φησιν, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Λέγε πάλιν Προφῆτα, τῆς ἐπὶ τούτοις δοξολογίας τὸν ὕμνον. Κύριος ὁ Θεός μου, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὰς ἀρχαίας ἀληθινάς. Γένοιτο Κύριε. Τίς δὲ ἦν ἀρχαία βουλὴ τοῦ Θεοῦ καὶ Πατρός; τὸ σωθῆναι πάντας ἡμᾶς· ὁ γὰρ τὸ εἶναι δοὺς, πῶς οὐκ ἂν μᾶλλον τὸ εὖ εἶναι δέδωκε; τὸ ἴδιον ἀνακαλούμενος πλάσμα ἐπὶ τὸ ἀρχαῖον ἐνδιαίτημα, καὶ ἐπὶ τὴν τῆς ἐντολῆς φυλακήν, δι' ἣν ἀπελύπητος ἐν ἡμῖν ἡ τῆς ζωῆς ἐπαγγελία, ἣν ἀπωλέσαμεν εἰκότως, τὴν ἐντολὴν μὴ φυλάξαντες. Ἀλλ' ὦ θεία καὶ μακαρία Παρθένε, ἡ πρὸς Οὐρανὸν ἐκτεταμένη κλίμαξ, ἡ πύλη τοῦ Παραδείσου, ἡ πρὸς ἀφθαρσίαν εἴσοδος, ἡ τῶν ἀνθρώπων πρὸς Θεὸν σύνωσίς τε καὶ συνάφεια, σὺ ἡμῖν ἐπισφράγισον τὸν λόγον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι' οὗ, καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΝΔΡΕΟΥ

Ἀρχιεπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου

Λόγος εἰς τὸν Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου.

Ἀρχὴ μὲν ἡμῖν ἑορτῆς ἡ παροῦσα πανήγυρις, πρώτη δὲ μετὰ τὸν νόμον καὶ τὰς σκιὰς, καὶ μύστοι καὶ τῆς πρὸς τὸν Χριστὸν καὶ ἀληθείαν εἴσοδος. Ἔστι δὲ αὕτη καὶ μέση καὶ τελευταία, ἀρχὴ μὲν ἔχουσα τοῦ τὸν νόμον περαίωσιν, μεσότητα δὲ τοῦ πρὸς τὰ ἄκρα συναφείαν, τέλος δὲ τὴν τῆς ἀληθείας φανέρωσιν. Τέλος γὰρ νόμου Χριστὸς, οὐ μᾶλλον ἡμᾶς ἀπάγων ἀπὸ τοῦ γράμματος, ὅσον ἐπανάγων ἐπὶ τὸ πνεῦμα. Τοῦτο γὰρ ἡ τελείωσις, καθ' ἣν αὐτὸς ὁ τοῦ νόμου δοτὴρ ἅπαντα συμπεράνας, ἐπὶ τὸ πνεῦμα τὸ γράμμα μετήνεγκεν, ἀνακεφαλαιώσας εἰς ἑαυτὸν τὰ σύμπαντα, καὶ διαιτήσας νόμῳ καὶ χάριτι. Καὶ τὸ μὲν ὑποζεύξας, τοῦ δὲ συναφῆς ἐναρμονίως, οὐ φύρας τὰ θατέρου πρὸς θατέρου ἴδια, μετοχετεύσας δὲ καὶ λίαν θεοπρεπῶς ἐπὶ τὸ κοῦφόν τε καὶ ἐλεύθερον ὅσον δυσαχθές τε καὶ δοῦλον καὶ ὑποχείριον, ἵνα μηκέτι ὦμεν ὑπὸ τὰ στοιχεῖα τοῦ Κόσμου δεδουλωμένοι, καθὼς φησὶν ὁ Ἀπόστολος, μηδὲ ζυγῷ δουλείας τοῦ νομικοῦ γράμματος ἐνεχώμεθα. Τοῦτο γὰρ τῆς περὶ ἡμᾶς φιλανθρωπίας Χριστοῦ τὸ κεφάλαιον. Τοῦτο καὶ τοῦ μυστηρίου φανέρωσις· τοῦτο καὶ κενωθεῖσα φύσις, Θεὸς καὶ ἄνθρωπος, καὶ καὶ τοῦ προσλήμματος θέωσις. Ἀλλὰ τῆς ὕπερ λαμπρᾶς τε καὶ περιφανεστάτης Θεοῦ πρὸς ἀνθρώπους ἐπιδημίας ἔδει τι παντὸς εἶναι καὶ χαρᾶς εἰσόδιον, δι' οὗ τὸ μέγα τῆς σωτηρίας εἰς ἡμᾶς προέισι δῶρον. Τὸ δέ ἐστιν ἡ παροῦσα πανήγυρις, προοίμιον ἔχουσα τῆς Θεοτόκου τὴν Γένεσιν, συμπέρασμα δὲ τῆς τοῦ Λόγου πρὸς σάρκα συμπλοκῆς τὴν ἀπόρροιαν, καθ' ὃν τὸ καινότατον ἁπάντων ἐν θαύμασιν ἄκουσμα διὰ

παν-

παντὸς ἐκλαλήμενον δύσληπτον μενέι καὶ δυσθεώρητον, ὅσῳ κρύπτεται φανερούμενον, καὶ ὅσῳ φανερῦται κρυπτόμενον. Ἐντεῦθεν ἄρα τῆς παρθενίας τὸ φῶς ὑπὲρ κεφαλῆς φέρουσα, καὶ οἷον ἐξ ἀκηράτων αἰθέων τῶν πνευματικῶν τῆς γραφῆς λειμώνων ἐρανιζομένη τὸν στέφανον ἡ θεοχαρίτωτος αὕτη καὶ ὡρώτη τῶν ἑορτῶν ἡμέρα, κοινωνὸν τῇ κτίσει τὴν εὐφροσύνην προτίθεται· θαρσεῖτε, λέγουσα, γενέθλιος ἡ πανήγυρις, καὶ τοῦ γένους ἀνάπλασις· Παρθένος γὰρ ἄρτι γεννᾶται, καὶ τιθηνεῖται, καὶ πλάττεται, καὶ Θεῷ τῷ παμβασιλεῖ τῷ αἰώνων ἀπειρογάμως ἑτοιμάζεται Μήτηρ. Καὶ τοῦτο ἡμῖν ἐκ Δαβὶδ σὺν Δαβὶδ τὸ πνευματικὸν συγκεκρότηκε θέαζον· Ἡ μὲν ὡς Θεομήτορος τὴν ἑαυτῆς προθεῖσα θεόσδοτον γένησιν, ὁ δὲ τὸ γένος τὴν διπλοείαν παραδεικνὺς, καὶ τὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους καινοπρεπεστάτην συγγένειαν. Βαβαὶ τοῦ θαύματος! Ἡ μὲν μεσιτεύει Θεότητος ὕψει, καὶ σαρκὸς ταπεινότητι, καὶ γίνεται Μήτηρ τοῦ πλάσαντος ὑπὲρ ὅλα τὰ πλάσματος· ὁ δὲ προφητεύει τὸ μέλλον ὡς ἤδη παρὸν, καὶ ὅρκῳ λαμβάνει παρὰ Θεοῦ τὴν εὐκλεᾶ τοῦ γένους ἐξ ὀσφύος διαμονὴν καὶ σωτήρησιν.

Πανηγυρητέον οὖν εἰκότως τὸ τῆς ἡμέρας Μυστήριον, καὶ δωροφορητέον τῇ τοῦ Λόγου Μητρὶ τοὺς λόγους αὐτοὺς, ὅτι μὴ φίλον αὐτῇ τῆς ἄλλων ὕδε; πλὴν λόγος καὶ τῆς ἐκ λόγων τιμῆς. Ἐπεὶ καὶ διπλοῦν ἡμῖν ἐντεῦθεν προσέσαι ποιουμένοις τὸ κέρδος, τὸ μέν τοι πρὸς τὴν ἀλήθειαν ἡμᾶς ἐπανάγον, τὸ δέ τοι τῆς νομικῆς ἐν γράμματι δουλείας καὶ πολιτείας ἀπάγον. Πῶς, καὶ τίνα τρόπον; ὑποχωρήσης δηλαδὴ τῆς σκιᾶς τῇ τοῦ φωτὸς παρουσίᾳ, καὶ τὴν ἐλευθερίαν τοῦ γράμματος ἀντεισφερούσης τῆς χάριτος· ὧν ἡ παροῦσα πανήγυρις μεθόριος ἵσταται, τὴν ἀλήθειαν τῆς τυπικῶν συμβόλων ἀντιπαραζευγνύσα, καὶ τὰ νέα τῆς παλαιῶν ἀντεισφέρουσα. Τοῦτο καὶ ὁ Παῦλος ἡ θεία τοῦ Πνεύματος σάλπιγξ ἀνακέκραγε λέγων· εἴτις ἐν Χριστῷ καινὴ

ἡ κτίσις, ἀνακαινίζεθε. Τὰ ἀρχαῖα παρῆλθεν· ἰδὲ γέγονε τὰ πάντα καινά. Ἐπειδὴ γὰρ μηδὲν ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ τῆς χάριτος, ἐξεφάνθη ξαυτῶς ἡ ἀλήθεια, αὐτὸς ἑαυτὸν καθεὶς ὁ τοῦ νόμου δοτὴρ ἀφράσως εἰς κενώσιν, οἰκονομικῶς ἄνθρωπος προελήλυθεν, ἵνα πληρώσῃ τὸ λεῖπον, καὶ ἀντιδῷ τῶν χειρόνων τὰ κρείττω καὶ τελεώτερα· ὃ δὴ καὶ ὁ ὑψηλὸς βέλοιτ' ἂν Ἰωάννης, ὁ Θεολόγος τῷ Λόγῳ βροντὴ διασημαίνειν σαφέσατα, ἐκ τοῦ πληρώματος αὐτοῦ, λέγων, ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· αὐτοῦ γὰρ κενωθέντος, εἶτα καὶ μορφωθέντος ὑπερφυῶς ἐξ ἡμῶν τὸ ἡμέτερον, ἡμεῖς τὸ πλῆρες ἐλάβομεν, καὶ τὴν ἀντιδοθεῖσαν τοῦ ληφθέντος φυράματος κατεπλουτίσθημεν θέωσιν. Οὐκοῦν ἀγαλλιάσθω τὰ σύμπαντα σήμερον, καὶ ἡ φύσις σκιρτάτω. Εὐφραινέσθω ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. Σαλαξάτω τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ἀγαλλίασιν, ὅτι ἐπέβλεψε Κύριος τὸν λαὸν αὐτοῦ, ἐγείρας κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, τὴν ὑπεράμωμον ταύτῃ καὶ ἄναδρον, ἐξ ἧς ὁ Χριστὸς ἡ σωτηρία τῷ ἐθνῶν καὶ ἡ προσδοκία. Χορευέτω δὴ τοίνυν πᾶσα νυνὶ διγνώμων ψυχὴ, καὶ συγκαλείτω τὴν κτίσιν ἡ φύσις πρὸς καινισμὸν ἑαυτῆς καὶ ἀνάπλασιν. Στεῖραι συντόνως συνεχέτωσαν, ἡ γὰρ ἄπαις καὶ στεῖρα τὴν θεόπαιδα Παρθένον ἐπαιδοποίησε. Παρθένοι χαιρέτωσαν, τὴν γὰρ ἄσπορον γῆν, ἧς ὁ καρπὸς ἀγεώργητος, ἡ ἄκαρπος ἐξεβλάστησεν ἄρουρα. Μητέρες σκιρτησάτωσαν, ἡ γὰρ ἄγονος μήτρα τὴν ἄφθορον Μητέρα καὶ Παρθένον ἀπέτεκε. Γυναῖκες κροτείτωσαν, γυνὴ γὰρ ἡ πάλαι τῆς ἁμαρτίας τὴν ἀφορμὴν χειδιάσασα, τὴν ἀπαρχὴν ἄρτι τῆς σωτηρίας εἰσκεκόμικε· καὶ ἡ πάλαι κατάκριτος ἐδείχθη θεόκριτος, Μήτηρ ἄνανδρος ἐκλελεγμένη τοῦ πλάσαντος, καὶ τοῦ γένους ἀνόρθωσις. Πᾶσα τοίνυν ἡ κτίσις ὑμνείτω, καὶ χορευέτω, καὶ συν-

εισ-

εισφερέπω τι τῆς ἡμέρας ἑπάξιον. Γενέθω μία κοινὴ σήμερον οὐρανίων καὶ ἐπιγείων πανήγυρις· καὶ συνεορτάζέτω πᾶν ὅσον ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον σύγκεκμα. Σήμερον ὃν τῶν πάντων κτίσε τὸ κτισὸν ᾠκοδόμηται τέμενος, καὶ τὸ κτίσμα τῷ κτίσῃ θεῖον ἐναύλισμα καινοφρεπῶς ἑτοιμάζεται. Σήμερον ἡ πρὶν ἀπογεωθεῖσα φύσις ἀρχὴν λαμβάνει θεώσεως, καὶ φρὸς δόξαν ὁ χὸς τὸ ἀνωτάτω μετάρσιος ἀναξέχειν ἐπείγεται. Σήμερον ἐξ ἡμῶν αὖθ' ἡμῶν ἀπαρχὴν ὁ Ἀδὰμ τῷ Θεῷ φροσφέρων, τὸ Μαρίαν ἀπάρχεται, καὶ τὸ ὅλκ φυράματος ἡ ζύμη φροφυραθεῖσα, δι' αὐτῆς ἀρτοποιεῖται φρὸς τὴν τὸ γενὸς ἀνάπλασιν. Σήμερον ὁ μέγας κόλπος τῆς παρθενίας ἀνακαλύπτεται, καὶ τὸν ἄσυλον μαργαρίτην τῆς ἀληθοῦς ἀφθορίας ἡ Ἐκκλησία νυμφικῶς περιτίθεται. Σήμερον ἡ καθαρὰ τῷ ἀνθρώπων διγένεια τῆς φρώτης θεοπλασίας ἀπολαμβάνει τὸ χάρισμα, καὶ φρὸς ἑαυτὸν ἀνατπαίσισ· καὶ λῶ ἀπημαίρωσε τὸ κάλλος διγενείαν ἡ τῆς κακίας δυσγένεια, ταύτην ἡ φύσις τεχθεῖσα τῇ Μητρὶ τὸ ὡραῖκ φροσάγκσα, πλάσιν ἀρίστην τε καὶ θεοφρεπεστάτω δέχεται· καὶ γίνεται κυρίως ἡ πλάσις ἀνάκλησις, καὶ ἡ ἀνάκλησις θέωσις, ἡ δὲ φρὸς τὸ ἀρχέτυπον ὁμοίωσις. Σήμερον ἡ σεῖρα, Μήτηρ παρ' ἐλπίδα δείσκεται, καὶ τόκκ Μήτηρ ἀπάτορος ἐξ ἀγόνων λαγόνων βλασάσκσα, τὰς γονὰς ἁγιάζει τῆς φύσεως. Σήμερον ἡ διφρεπὴς τῆς θείας ἀλκργίδος κατεχρώθη βαφὴ, καὶ τῷ βασιλικὴν ἀξίαν ἡ πενιχρὰ τῷ ἀνθρώπων ἀμφισύνυται φύσις. Σήμερον ἡ Δαβιτικὴ φροφητικῶς ἐξεβλάστησεν ὄρπηξ, ῥάβδος Ἀαρὼν ἀνθαλὴς χρηματίσασα, καὶ ῥάβδον δυνάμεως ἡμῖν τὸν Χριστὸν ἐξανθήσασα. Σήμερον ἐξ Ἰούδα καὶ Δαβὶδ Παρθένος Κόρη φροέρχεται, Βασιλείας καὶ ἱερατείας ὑπογράφουσα φρόσωπον, τὸ κατὰ τὴν τάξιν Μελχισεδὲκ χρηματίσαντος, ἀλλ' ὁ κατὰ τὴν τάξιν Ἀαρὼν ἱερατδύσαντος. Σήμερον τὸ μυστικὸν τῆς θείας ἱερατείας ὕφασμα ἡ χάρις λαβκπάσα Λαβϊτικῷ τυ-

τυπικῶς προεξύφανε σπέρματι, καὶ τὴν βασίλειον ἀλκυ-
γίδα βάψας Δαβιτικῷ Θεὸς ἐπορφύρωσεν αἵματι· καὶ
συνελόντα φάναι· Σήμερον ἡ τῆς φύσεως ἡμῶν ἀναμόρ-
φωσις ἄρχεται, καὶ ὁ γράσας Κόσμος θεοειδεστάτῳ
λαμβάνων στοιχείωσιν, δευτέρας θεοπλασίας προοίμια
δέχεται. Ἐπειδὴ γὰρ ἡ πρώτη τῶν ἀνθρώπων διάπλασις
ἐκ καθαρᾶς γῆς καὶ ἀσπίλου δεδημιούργητο, ἠφάνισε δὲ τὸ
προσφυὲς ἡ φύσις ἄξίωμα, συλησᾶσα τὴν χάριν τῷ
τῆς παρακοῆς ὀλισθήματι, δι' ἧς ἐξερρίφημεν τοῦ ζωη-
ροῦ χωρίου, καὶ τῆς ἐν Παραδείσῳ τρυφῆς, ἡ φύσις τῷ
ἐπίκηρον ζωὴν ἀντιλάξατο πλῆρον ὥσπερ τινα παγῶν
εἰς ἡμᾶς καταντήσασαν, ἐξ ἧς ὁ θάνατος, καὶ ἡ ἐν-
τεῦθεν τοῦ γένους καταφθορά. Εἶτα εἰς τοῦτο κάτω χώ-
ραν τῆς ἄνω πάντων ἀνθελκομένων, πᾶσα μὲν ἀφῄρητο
σωτηρίας ἐλπὶς, ἐδεῖτο δὲ βοηθείας ἡ φύσις τῆς ἀνω-
τάτω, νόμος τε ἦν ὑδεὶς πρὸς ἀρετὴν τοῦ ἀῤῥωστήματος,
οὐχ ὁ ἐν γράμματι κείμενος, οὐχ ὁ τῶν Προφητῶν πυεί-
πνους καὶ διαλακτήριος λόγος, οὐχ ὅσα τοῦ ἀνθρωπί-
νου οἶδεν ἐπανορθοῦν φύσιν, καὶ οἷς ἂν τάχα ῥαδίως
ἀνεκομίσθη πρὸς τὴν προτέραν ὑγίειαν, πυθόμενος ἄρ-
τι ὁ τῶν ὅλων ἀεισοτέχνης Θεὸς, οἷόν τινα παναρμό-
νιον καὶ νεοπαγῆ Κόσμον ἄλλον ἀρτιτελῶς ἐπιδείξασθαι,
καὶ τοῦ ἐγκαταστήσασθαι πάλαι τῆς ἁμαρτίας ἐπιφο-
ρᾶν, δι' ἧς ὁ θάνατος, ἀναχαιτίσαι τέως, εἶθ' οὕτω
ξενίσαι τινὰ καὶ ἀδόκητον καὶ ὄντως ἀπαθεστάτῳ ὑμῖν
παραδεῖξαι ζωὴν τοῖς ἀναγεννωμένοις διὰ τοῦ τῆς
θεογενεσίας βαπτίσματι. Πῶς ἂν ἔδει παύτην εἰς ἡ-
μᾶς προελθεῖν τοῦ ἐργασίαν, μεγάλου τε ὄσαν καὶ
παραδοξοπάτου καὶ νόμοις θείοις ἐμπρέπουσαν; ἢ οὐχὶ
Θεοῦ διὰ σαρκὸς ἡμῖν ἐπιφανέντος καὶ νόμοις φύσεως εἰ-
κόντος, καὶ τοῖς καθ' ἡμᾶς, ὡς οἶδε, λόγοις ἐμπολι-
τεύεσθαι καινοπρεπῶς ἐπινεύοντος; Τοῦτο δὲ τίνα ποτὲ
εἰς πέρας ἄγοιτο, ἢ Παρθένου καθαρᾶς, καὶ ἀνεπάφου
διακονουμένης τῷ μυστηρίῳ πρότερον, εἶτα κυοφορούσης τὸν
ὑπερούσιον, νόμῳ τοὺς νόμους ὑπερνικῶντι τῆς φύσεως;

Αὖτη

Αὕτη δὲ τίς ἂν νοοῖτο, πλὴν μόνης ἐκείνης τῆς πρὸ πασῶν γενεῶν ἐκλελεγμένης τῷ παγγενέτῃ τῆς κτίσεως. Αὕτη ἐστὶν ἡ Θεοτόκος Μαρία τὸ θεόκλητον ὄνομα, ἧς ἐκ νηδύος μετὰ σαρκὸς ὁ ὑπέρθεος προελήλυθεν, ὃν αὐτὸς ἑαυτῷ ναοποιήσας ὑπερφυῶς ἐπήξατο, ὅτι μὴ διέφθειρε τὴν νηδὺν ἡ τεκοῦσα, μηδὲ σποράς τὸ τεχθὲν ἐδέδεκτο. Θεὸς γὰρ ἦν, εἰ καὶ σαρκικῶς γεννηθῆναι προείλετο, λοχείας αὖθι καὶ ὠδίνων χωρὶς, ὡς αὖ καὶ τὰ Μητέρων ἡ Μήτηρ ἐκφύγοιτο, παραδόξως ἐκφέρουσα γάλακτι, ὃν ἀνάνδρως ἐπαιδοποίησε. Καὶ ἡ Παρθένος ἄσπορον ἀποκυήσασα γέννημα, μένει Παρθένος ἀγνεύουσα, σῶα καὶ μετὰ τόκον τῆς παρθενίας τὰ σήμαντρα φέρουσα. Ὧ δὴ τρόπῳ καὶ Θεοτόκος εἰκότως κηρύττεται, καὶ παρθενία σεμνύεται, καὶ γέννησις προσκυνεῖται, καὶ Θεὸς ἀνθρώποις ἐοικὼς, εἶτα σαρκὶ φανερούμενος, τῆς οἰκείας δόξης χαρίζεται τὸ ἀξίωμα. Τῆς γὰρ πρώτης ἐκείνης ἁρπαγῆς δι' ἣν ἡ γυναικεία φύσις τὴν διόρθωσιν δέχεται, ὥσπερ ἐνήρξατο τῆς ἁμαρτίας, ἀπαρξαμένη τῆς σωτηρίας. Ἦλθε τοίνυν ἡμῖν ὁ Λόγος ἐπ' αὐτὸ τὸ κεφάλαιον. Κἀντεῦθεν ἐγὼ σήμερον πανηγυριστὴς καὶ λαμπρὸς ἑστίαρ τῆς ἱερᾶς ταύτης παιδαισίας ἡμῖν προελήλυθα, τὴν διφρασίαν κοινὴν προτιθέμενος. Βεληθεὶς γὰρ ὡς ἔφην, τὸ γένος ὁ Λυξωτὴς νέαν ἀνεπιδείξασθαι τῆς προτέρας γένησιν καὶ ἀνάπλασιν, ὥσπερ ἐκεῖ πρότερον ἐκ παρθενικῆς καὶ ἀνεπάφου γῆς πηλὸν αἱρόμενος, τὸν πρῶτον Ἀδὰμ ἐπλασούργησεν, ὅπω καὶ νυῦ ἐνταῦθα τὴν οἰκείαν σάρκωσιν αὐτουργῶν, αὖτ' ἄλλης, ὡς αὖ εἴπομεν, γῆς τὴν καθαρὰν τε καὶ ὑπεράμωμον ταύτην Παρθένον τῆς ὅλης φύσεως ἐκλεξάμενος, τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ἐν αὐτῇ καινοποιήσας, νέος Ἀδὰμ, ὁ πλασουργὸς τὸν Ἀδὰμ ἐχρημάτισεν, ἵνα τὸν παλαιὸν ὁ πρόσφατος ὑπέρχρονος, ἀνασώσηται. Ἀλλὰ τίς ἔσα, καὶ τίνων ἔφυ γονέων, λέγωμεν ἐπιβοχάδην, τὴν Ἱσορίαν ἐπιδραμόντες εἰς δυύαμιν.

Αὕτη τοίνυν τὸ πάντων ἀνχημάτων ἐξαίρετον αὔχημα, θυγάτηρ μὲν ἔφυ τοῦ Δαβὶδ, σπέρμα δὲ τοῦ Ἰωακείμ, ἀπόγονος μὲν Εὔας, γένημα δὲ τῆς Ἄννης. Ἰωακείμ γὰρ ἀνὴρ φρόνιμος, ἐπιεικὴς, καὶ νόμοις ἐντεθραμμένος Θεοῦ, σωφρόνως μὲν βιοὺς, Θεῷ δὲ προσκαιρῶν. Οὕτω δὲ διατελῶν ἅπαις καταγήρα τὸν βίον, ἀκμαζούσης τῆς φύσεως, ἀλλ' οὐκ ἐχούσης τοῦ γένους αὐτίδωρον. Ἄννα, καὶ αὐτὴ φιλόθεος, σώφρων μὲν, ἀλλὰ στεῖρα, φίλανδρος, ἀλλ' ἄτεκνος, καὶ μηδὲν ἔτι, πλὴν τὸν νόμον Κυρίου ἐμμελέτημα φέρουσα. Αὕτη τῆς στειρώσεως περιυττομένη τοῖς κέντροις ὁσημέραι, καὶ οἷα πάσχειν τὰς ἀτεκνούσας εἰκὸς, ἐδυσφόρει, λυπᾶτο, ἤχαλλε, τὴν ἀπαιδίαν ἐ φέρουσα. Οὕτω δὲ λύπης κατεχόμενοι Ἰωακείμ, καὶ ἡ σύνοικος, ὅτι μὴ παῖς ὑπῆν ἐκείνοις τὰ γένους ἔπίκληρος, τέως μὲν τῆς ἐλπίδος αὐτοῖς οὐκ ἐσβέθη τελείως ἡ θρυαλλίς. Εὐχὴ δὲ λῳ ἀμφοτέρων παραχθλιῶαι τέκνον αὐτοῖς εἰς ἀνάσασιν σπέρματος. Καὶ δὴ τὴν ἐξάκουσον Ἄνναν παραζηλοῦντες ἑκάτεροι, τῷ ἱερῷ προσανεῖχον. Λιταῖς τὸν Θεὸν ἐξεμείλιουν δοῦναι λύσιν τῇ ἀτεκνίᾳ, καὶ καρπὸν τῇ στειρώσει· οἳ οὐ πρότερον ἀπῆκαν, πρὶν τὰ ποθούμενα τύχωσι, καὶ δὴ καὶ τετυχήκασιν. Οὐ γὰρ μεθῆκε τῆς ἐλπίδος τὸ δῶρον ὁ τὰ δώρα δοτήρ. Οὕτω γὰρ ποτνιωμένοις καὶ λιπαροῦσι τὸν Θεῖον, ἔπεσε θᾶττον αὐτοῖς ἡ ὑ βραδυύουσα δυώαμις, καὶ τὸν μὲν εἰς καρπογονίαν, τὴν δὲ εἰς παιδοποιΐαν ἐνδίρωσε· καὶ τὰς ἐξηραμμένας τέως τῆς γεννητικῶν ἐργαίων πόρας ἰκμάσι σπερμογονίας ἐπινοτίσας ἐξ ἀγόνως γονίμους εἰργάσατο. Καὶ δὴ λοιπὸν ἐξ ἀκάρπων τε καὶ ξηρῶν ὡς ἐνύδρων ξύλων καρπὸς ἀνέλειὴ ἡ παράμωμος αὐτῆς Παρθένος ἡμῖν ἐξεβλάστησε. Καὶ λέλυτο δὴ τὰ δεσμὰ τῆς στειρώσεως, καὶ γόνιμος ἡ δίχα παρ' ἐλπίδας ἐδύκνυτο, καὶ παιδοτόκος ἡ ἄγονος, καὶ καλλίπαις ἡ ἄτεκνος. Ἐπεὶ δὲ προῆλθεν ἐκ τῆς ἀγόνου μήτρας ἡ ἐκ μήτρας τὸν σάκυν τῆς ἀφθαρσίας ἐκφύσασα, τῷ Νικῷ παύτιν

τῆς

τῆς ἡλικίας τὸ φρῶτον ἄγουσαν αὖθος, οἱ τεκόντες φροσαγαγόντες ἀνέθεσαν. Ἧς ὁ τὼ ἐφημερείαν τότε τῆς ἱερατείας ἐπιτελῶν Ἰερὼς τὰς παρθενικὰς ὡς εἶδε χορείας ἐπίφροθεν φροπορθομένας τε, καὶ συνεφεπομένας, ἔθητε κὴ λίαν ἐγεγήθει ὡς τῇ ἐλπίδι ἤδη τὰς θείας ἐναργῶς ἐπβάσεις τεθεαμένος, καὶ οἷόν τι σεπτὸν καλλίφημα τὸ θεῖον ἀνάθημα τῷ Θεῷ καθιέρωσεν, εἰς αὐτὰ τὰ τῇ Ἁγίων ἄδυτα τοῦτο τὸ μέγα τῆς σωτηρίας θησαύρισμα καταθέμενος. Ἐν οἷς τὸν παῖδα λόγος οἱονεὶ θαλάμοις νυμφικοῖς ἐμβατεύσαντα σιτεῖσθαι ζοφὴν, μέχρις ὁ μνησείας ἐπέστη καιρός· ὃς φρὸ παντὸς αἰῶνος διώρισται αὐτῷ τε καὶ τῷ ἐξ αὐτῆς φυῆτι δι' ἀπλαγχνίαν ἄῤῥητον, καὶ τῷ φρὸ πάσης κτίσεως, κὴ χρόνε, καὶ διασήματος θεϊκῶς αὐτὸν φύσαντι, καὶ τῷ συμφυεῖ καὶ συνθρόνῳ καὶ φροσκυνητῷ αὐτῆ Πνεύματι· ὧν ὡς μία Θεότης, ὅπω κὴ φύσις καὶ βασιλεία, μὴ μειζομένη, μηδὲ ἀπαλλοτριουμένη, μηδὲ τινί πε φρὸς ἑαυτὴν διαλάττουσα, πλὴν τῇ τῇ θεαρχικῶν ὑποστάσεων ἰδιότητι. Διὰ τοῦτο χορδῶν πανηγυρίζω καὶ σοφίδομαι, καὶ τῇ Μητρὶ τοῦ Λόγου φροσάγω δῶρον ἑόρτιον, ὅτι μοι τῆς εἰς Γεννάδος Πίστεως τὸ κεφάλαιον ὁ ταύτης τόκος ἐγνώρισε. Τὸ γὰρ ἀνάρχε Λόγε κὴ Υἱῆ τὼ οἰκίαν σάρκωσιν αὐτεργάνητος, κὴ ὁ γεννήσας Πατὴρ συνδόκων φαίνεται, κὴ τὸ Πνεῦμα τὸ Ἅγιον φροπηδῶν τε κὴ τὼ νηδυὼ ἁγιάζον τῆς συλλαβέσης τὸν ἀπαπάλλπτον.

Ἀλλ' ὥρα νυῦ τὸν Δαβὶδ ἐρωτῆσαι, τί φρὸς αὐτὸν ἐκεῖνον ὁ τῇ ὅλως διομνὺς ἔφησε Θεός. Ἄγε δὴ οὖν ὑμνοχάφε, ἴθι Προφῆτα, τίνα σε τὼ κινύραν, κίνει τὰ κρούσματα, λέγε τρανῶς, τί σοι ὤμοσε Κύριος; Τί μοι ὤμοσεν; ἐκ καρπὸς τῆς ὀσφύος με θήσειν ἐπὶ τὸν θρόνον με· τοῦτό μοι ὤμοσε, κὴ οὐκ ἠθέτησεν· ὤμοσε, κὴ τοῖς ἔργοις τὰς λόγας ἐσφράγισεν. Ἅπαξ γὰρ ὤμοσά φησιν ἐν τῷ Ἁγίῳ με, εἰ τῷ Δαβὶδ ψεύσωμαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρό-

θρόνος αὐτῷ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. Καὶ ὁ μάρτυς ἐν Οὐρανῷ πιστός· ταῦτά μοι ὠμωμοκὼς ἐξεπλήρωσεν ἔργῳ· ταῦτα θεασάμενος ἐκύρωσεν· ἀδύνατον γὰρ ψεύσασθαι Θεόν. Ἰδοὺ δὴ ἓν ὁρᾶται κατὰ σάρκα Χριστὸς, ἐμὸς Υἱὸς κηρυττόμενος καὶ Κύριος ἐμὸς, καὶ Θεοῦ Υἱὸς προσκυνούμενος ἅδεται, καὶ πάντα τὰ ἔθνη αὐτῷ προσκυνεῖ. Ὁρῶσι δὲ αὐτὸν παρθενικοῖς ἐνθρονιζόμενον κόλποις, ὡς αὖ ἐπὶ τοῖς ἐμοῖς ἐφεζόμενον θρόνοις. Ἰδοὺ καὶ ἡ Παρθένος αὕτη τῷ ἐμῶν μηρῶν ἄρτι ἐξέφυ· ἧς ἐκ νηδύος ὁ πρὸ αἰώνων πρὸς τῷ τέλει τῶν αἰώνων σαρκωθεὶς προελήλυθε, καὶ τὸ τῷ ἀνθρώπων ἀνεκαίνισε σύγκειμα· καὶ ταῦτα μὲν οὗτος. Ἡμεῖς δὲ ὁ τοῦ Θεοῦ λαὸς, δῆμος ἅγιος, σύστημα ἱερὸν, χορεύσωμεν πάτρια· τιμήσωμεν τὴν Μυσηρίων τῷ δυνάμιν. Ἕκαστος καθ' ὃ δοθὲν αὐτῷ χάρισμα συνεισφερέτω τῇ πανηγύρει δῶρον ἐπάξιον. Οἱ Πατέρες τὴν εὐκλεῖαν τοῦ γένους, αἱ Μητέρες τὴν εὐτεκνίαν, αἱ χεῖρες τῆς ἁμαρτίας τὸ ἄγονον, αἱ Παρθένοι τῷ διπλῷ ἀφθορίαν, ψυχῆς λέγω καὶ σώματος, αἱ ὑπὸ ζυγὸν τῷ ἐπαινετῷ συμμετρίαν. Εἴτις Πατὴρ ἐν ἡμῖν, μιμείσθω τὸν τῆς Παρθένου Πατέρα· κἂν ἄπαις ᾖ, φυγάτω γόνιμον τὴν εὐχὴν, ἐκ φιλοθέου βίου ταύτην καρπούμενος· εἴτις Μήτηρ θηλάζουσα, συγχαιρέτω τῇ Ἄννῃ θηλαζούσῃ παιδίον κατ' εὐχὰς μετὰ χεῖρωσιν· εἴτις χεῖρα καὶ ἄγονος καρπὸν ἐκ ἔχουσα εὐλογίας, προσίτω πιστῶς τῷ Θεοσδότῳ τῆς Ἄννης βλαστῷ καὶ ἀποκειρέσθω τῷ χείρωσιν· εἴτις Παρθένος ἁγνεύουσα, γενέσθω Μήτηρ τοῦ Λόγου, λόγῳ κοσμοῦσα τῆς ψυχῆς τὴν κατάσασιν· εἴτις ὑπὸ ζυγὸν, προσαγέτω τῷ Θεῷ κάρπωμα λογικὸν, ἐξ ὧν δι' εὐχῆς ἐποείσατο. Ἐπὶ τὸ αὐτὸ πλήσιος καὶ πόνης, νεανίσκοι καὶ Παρθένοι, πρεσβύται μετὰ νεωτέρων, Ἱερεῖς καὶ Λευῖται, Βασιλεῖς καὶ Σατραπαι, Βασιλίδες καὶ Ἄρχουσαι, πάντες ὁμοῦ καὶ πᾶσαι, λαμπροφορήσωμεν τῇ Νεανίδι καὶ Μητρὶ τοῦ Θεοῦ καὶ Προφίτιδι,

τιδι, ἐξ ἧς ὁ Προφήτης, ὃν ἔγραψε Μωσῆς, ἐπεδήμησε Χριστὸς ὁ Θεὸς ἡ ἀλήθεια. Φθάσωμεν τὸ Ναὸ τὰ προπύλαια, συνδράμωμεν ταῖς προεχούσαις Παρθένοις, εἰς αὐτὰ τῷ Ἁγίων συνεισέλθωμεν ἅγια· ἐκεῖ γὰρ τὰ σπάργανα, μετὰ γενέσιν, μᾶζον, μετὰ νηπίασιν εἰς ἄνδρας ὥραν ἠβώσῃ, πασάδος δίκην ἡτοίμασεν αὐτῇ ὁ Θεὸς τὸ θρεπτήριον, φυλάξας ἑαυτῷ τὸ σεβάσμιον. Διὰ τοῦτο Παρθένοι χορεύουσιν αἱ πλησίον αὐτῆς, προοδοποιοῦσαι τὰ μέλλοντα· ὅθεν αἱ τῆς Σιὼν θυγατέρες, ὡς Βασιλίδος προτρέχουσαι εἰς ὁσμὴν τῷ μύρων αὐτῆς προεξάρχουσιν. Αὐτόθεν καὶ ὁ Ναὸς ἔτος πὰς ἱερὰς ἀναπετάσας ἀνερρίπισε πύλας, ἵνα τὴν βασίλειον τοῦ παντὸς ὑποδέξηται δόξαν. Τότε δὴ τότε καὶ τὰ τῷ Ἁγίων ἀνεῴγνυτο ἅγια, τῶν παναγίαν τοῦ Ἁγίᾳ Μητέρα εἴσω τῷ ἀδύτων ἐγκολπωσάμενα. Τροφὴ δὲ παύτῃ προσφέρεται πρόσφορος, καὶ τρέφει τέως ἀχειροδότως τῶν τρέφουσαν, ὁ μετ' ὀλίγον τῷ παύτης τρεφόμενος γάλακτι, καὶ γίνεται τιθηνὸς τῆς Παρθένου τὸ Πνεῦμα τὸ Ἅγιον, μέχρις ἀναδείξεως αὐτῆς ἐν τῷ Ἰσραήλ· ὅτε δὴ καὶ τῆς μνηστείας ὁ καιρὸς ἐπεφαύη, καὶ τὴν ἐκ Δαβὶδ Ἰωσὴφ ἐμνηστεύσατο, καὶ τοῦ Γαβριὴλ τὴν φωνὴν αὐτὶ πορᾶς εἰσεδέξατο· καὶ γέγονε κυοφόρος ἐπειραθεῖσα κρίτης· καὶ γεγέννηκεν Υἱὸν, ὃν ἐκ ἔπειρε Πατήρ· καὶ μεμένηκεν ἁγνὴ μὴ συληθεῖσα τῶν νηδύν, σῶα καὶ μετὰ τόκον φυλάξαντος αὐτῇ τοῦ τεχθέντος τῆς παρθενίας τὰ σήματρα. Οὗτός ἐστι Χριστὸς Ἰησοῦς ὁ Ναζωραῖος, ὁ εἰς τὸν Κόσμον ἐρχόμενος· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος. Αὐτῷ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΩΑΝΝΟΥ

Τοῦ Δαμασκηνοῦ

Ἐγκώμιον εἰς τὴν Μετάστασιν τῆς Θεοτόκου.

Μνήμη Δικαίων μετ' ἐγκωμίων γίνεται φησιν ὁ σοφώτατος Σολομών. Τίμιος γὰρ ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, ὁ θεοπάτωρ προεφη Δαβίδ. Εἰ τοίνυν ἁπάντων δικαίων ἡ μνήμη μετ' ἐγκωμίων γίνεται, τῇ πηγῇ τῆς δικαιοσύνης, καὶ τῷ τῆς ὁσιότητος θησαυρῷ, τίς οὐ προσοίσει τὸν ἔπαινον; οὐχ ἵνα δοξάσῃ, ἀλλ' ἵνα δοξασθῇ δόξαν διαιωνίζουσαν. Ἀνενδεὴς γὰρ τῆς παρ' ἡμῶν δόξης Κυρίου τὸ σκήνωμα, ἡ Πόλις τοῦ Θεοῦ, περὶ ἧς δεδοξασμένα ἐλαλήθη, καθώς φησι πρὸς αὐτὴν ὁ θεῖος Δαβίδ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ λέγων, ἡ Πόλις τοῦ Θεοῦ. Ποίαν γὰρ ἐκλεψώμεθα Πόλιν τοῦ ἀοράτου καὶ ἀπεριγράπτου Θεοῦ τὸ πάντα τῇ ἰδίᾳ δρακὶ περιέχοντος, ἀλλ' ἢ τὴν μόνην ὄντως ὑπερφυῶς, καὶ ὑπερκοσίως τὸν ὑπερούσιον τοῦ Θεοῦ Λόγον καὶ Θεὸν ἀπεριγράπτως χωρήσασαν, περὶ ἧς δεδοξασμένα ὑπ' αὐτοῦ τοῦ Κυρίου λελάληνται; Τί γὰρ ἐπιδοξότερον τοῦ δέξασθαι τὸν τοῦ Θεοῦ βουλὼ ἀρχαίαν ἀληθινὼ; Ταύτην καὶ ἀνθρωπίνη γλῶττα, οὐκ Ἀγγέλων νοῦς ὑπερκόσμιος κατ' ἀξίαν ἀφυμνῆσαι δύναται, δι' ἧς ἡμῖν δίδοται τὴν δόξαν Κυρίου πλαυγῶς ἐνοπτρίζεσθαι. Τί τοίνυν; σιγήσομεν, ὅτι μὴ πρὸς ἀξίαν ἀφυμνῆσαι δυνάμεθα, τῷ φόβῳ συσχόμενοι; ἥκιστα. Ὑπερβάθμιον δὲ τὸν πόδα τενοῦμεν, τὸ δὴ λεγόμενον, καὶ τὰς οἰκείας ἀγνοήσομεν ὄρας, καὶ τῆς ἀθύπτων αἰδοῦς ἀφώμεθα, τοῦ φόβου τὸν χαλινὸν ἀποπτύσαντες; ὄδαμῶς. Πόθῳ δὲ μᾶλλον τὸν φόβον περάσαντες, καὶ σύνθετον ἐξ ἀμφοῖν σῦα πλέξαντες στέφανον, μετ' ἱερᾶς ἀλαβείας ξε-

μά-

μάσῃ χειρὶ καὶ ποθάσῃ ψυχῇ, τῆς ἡμετέρας διανοίας τὸ ἀτελὲς ἀκροθήνιον τῇ βασιλίδι Μητρὶ, τῇ δυεργέτιδι πάσης τῆς φύσεως, δικαιωμόνως ἀποτίσωμεν ὡς ὀφειλω. Ἐπεὶ καὶ λόγος ἐστὶν, ἀγρῶτας τινὰς τοῖν ἀροτῆρσι βουσὶ τὰς αὔλακας τῆς γῆς τέμνοντας, Βασιλέα παριόντα θεάσαθαι, σεμνῶς μὲν τῇ ἀλουργίδι κοσμούμενον, φαιδρυνόμενον δὲ τῇ αὐγλῃ τὰ διαδήματος, καὶ τῷ ἀπείρῳ πλήθει τῶν δορυφόρων κύκλῳ περισοιχιζόμενον· εἶτα, ἐπεὶ παρῆν ὁδὸν, ᾧ τῷ τυραύνῳ δωροφορήσαιεν, ἀμελητὶ ταῖς χερσὶν ὕδωρ ἀπαρυσάμενον σφα, (παρέρρει γὰρ ἐγγύθεν ἀφθόνως τὰ νάματα) δῶρον νενομικέναι τῷ Αὐτοκράτορι, φρὸς ὃν φαύαι τὸν Βασιλέα, τί τοῦτο ὦ παῖ; τὸν δὲ θαρσαλέως ἀναποκρίνασθαι· ὅμοι παρὼν, τοῦτο νενόμικα, κεἰνας ἄρισα τῇ ἐνδείᾳ τὴν προθυμίαν μὴ συγκαλύπτεσθαι. Σὺ μὲν γὰρ τῶν ἡμετέρων οὐκ ἐπιδεὴς, ὁδὸν ἐθέλων τῶν παρ' ἡμῖν, ἢ τιὼ εὔνοιαν, ἡμῖν δὲ χρέος ἅμα καὶ ἔπαινος ἐστὶ τὸ τελέμενον. Δόξα δῶ ἐπακολυθεῖν οἶδεν ὡς τὰ πολλὰ τοῖς δικαίοσιν. Εἶτα τὸν Βασιλέα θαυμάσαντα, ἐπαινέσαι μὲν τὸ σοφὸν, ἀποδέξασθαι δὲ μετ' δίνοίας τιὼ προθυμίαν, πλείσταις δ' ὅσαις ταῖς δωρεαῖς φιλοτίμως αὐτὸν ἀντιμείψασθαι. Εἰ τοίνυν ἐκεῖνος ὁ ὑπέροφρυς τύραννος τῆς πολυτελείας προκεκείκει τὴν εὔνοιαν, αὖτη ἥ ὄντως ἀγαθὴ Δέσποινα, καὶ τὰ μόνα ἀγαθὰ Μήτηρ, ἃ καὶ συγκατάβασις ἄπειρος, τὰ τὰ δύο λεπτὰ τῶν πολυτελῶν καρπωμάτων προκείναντος, ἃ μᾶλλον ἡμᾶς ἀποδέξεται, τὴν πρόθεσιν, οὐ τὴν δυύαμιν κεἰνασα; Ναὶ μιὼ ἀποδέξεται, ὡς ὀφειλὴν μὲν προσάγοντας, ἀντιμεῖψει δὲ τὰ ἀσύγκριτα.

Ἐπεὶ οὖν τὸ λέγειν ἐκ παντὸς ἀναγκαῖον, ὥστε τὸ χρέος ἀφοσιώσασθαι, φέρε πρὸς αὐτιὼ τὸν λόγον ξέψωμεν, οὕτω λέγοντες· τί σοι προσείπωμεν, Δέσποινα; τίσι δὲ προσφθεγξώμεθα ῥήμασι; ποίοις δὲ τοῖς ἐγκωμίοις τιὼ σιὼ ἱερᾷ καὶ δεδοξασμένῳ κεφαλιὼ ξέψωμεν; τιὼ ἀγαθοδότιν, τιὼ πλουτοδότειραν, τοῦ

αὖ-

ἀνθρωπίνου γένους τὸ ἐγκαλλώπισμα, τὸ καύχημα πάσης τῆς κτίσεως, δι' ἣν ὡς ἀληθῶς μεμακάρισαι. Οὗ γὰρ οὐκ ἐχώρει τὸ πρότερον, διὰ σοῦ κεχώρηκεν, ᾧ ἀτενίσαι οὐκ ἔδυνεν, ἀνακεκαλυμμένῳ προσώπῳ διὰ σοῦ κατοπτεύεται. Ἄνοιξον ἡμῖν ὦ Λόγε Θεοῦ τὸ βραδύγλωσσον στόμα. Δὸς ἐν ἀνοίξει χειλέων ἡμῶν χαριέστατον λόγον. Ἔμπνευσον ἡμῖν τὴν χάριν τοῦ Πνεύματος, δι' ἧς ἁλιεῖς ῥητορεύουσι, καὶ ἀχράμματοι λαλοῦσι σοφίαν τὴν ὑπὲρ ἄνθρωπον, ἵνα καὶ ἡμεῖς οἱ ἰχνόφωνοι διηγήσωμεν τῆς σῆς φιλτάτης Μητρὸς κἂν ἀμυδρῶς γέπως τὰ μεγαλεῖα φθέγξασθαι. Αὕτη γὰρ ἐκ γενεῶν ἀρχαίων ἐκλελεγμένη τῇ προωρισμένῃ βουλῇ καὶ εὐδοκίᾳ τοῦ σὲ ἀχρόνως, ἀῤῥεύστως τε, καὶ ἀπαθῶς γεννήσαντος Θεοῦ καὶ Πατρὸς, ἁγιασμὸν καὶ σωτηρίαν, δικαιοσύνην τε καὶ ἀπολύτρωσιν, σὲ τὴν ἐκ ζωῆς ζωὴν, τὸ ἐκ τοῦ φωτὸς φῶς, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινόν, ἐξ αὐτῆς σεσαρκωμένον ἐπ' ἐσχάτων τῶν χρόνων ἐκύησεν· ἧς ὁ τόκος παράδοξος, ἡ γέννησις ὑπὲρ φύσιν καὶ ἔννοιαν, καὶ τῷ Κόσμῳ σωτήριος, ἡ κοίμησις εὔδοξος ὄντως, καὶ ἱερὰ, καὶ πανδέφημος. Ταύτην ὁ μὲν Πατὴρ προώρισε, Προφῆται δὲ διὰ Ἁγίου Πνεύματος προηγόρευσαν· ἡ δὲ τοῦ Ἁγίου Πνεύματος ἁγιαστικὴ δυνάμις ἐπεφοίτησε, καθῆρέ τε, καὶ ἡγίασε, καὶ οἱονεὶ προήρδευσε· καὶ τότε σὺ ὁ τοῦ Πατρὸς ὅρος καὶ Λόγος ἀπερισχράπτως κατῴκησας, ἀναλάβων τὴν ἐσχατιὰν τῆς ἡμετέρας φύσεως πρὸς τὸ ἄπειρον ὕψος τῆς ἀκαταλήπτου Θεότητος· ἧς τὴν ἀπαρχὴν ἐκ τοῦ παναγνοῦ καὶ παναχράντου, καὶ παναμώμου τῆς Ἁγίας Παρθένου αἱμάτων ἀναλαβὼν, σάρκα ἐμψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ σεαυτῷ περιέπλεξας, ἐν σεαυτῷ αὐτὴν ὑποστήσας, καὶ γέγονας τέλειος ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι τέλειος Θεὸς καὶ τῷ σῷ Πατρὶ ὁμοούσιος, ἀλλὰ προσλαβὼν δι' ἀπλαγχνίαν ἄφατον τὴν ἡμετέραν ἀσθένειαν. Καὶ προῆλθες ἐξ αὐτῆς εἷς Χριστὸς, εἷς Υἱὸς Θεοῦ καὶ ἀνθρώ-

πε,

πν, ὁ αὐτὸς Θεὸς ὁμῦ τέλειος, ϗ ἄνθρωπος τέλειος, ὅλος Θεὸς, ϗ ὅλος ἄνθρωπος. Μία ὑπόσασις σωϑεὶς ἐκ δύο φύσεων τελείων ϑεότητός τε ϗ ἀνθρωπότητος, ἐν δύο τελείαις φύσεσι Θεότητι ϗ ἀνθρωπότητι οὐ γυμνὸς Θεὸς, οὐδὲ ψιλὸς ἄνθρωπος, ἀλλ' εἷς Υἱὸς Θεῦ ϗ Θεὸς σεσαρκωμένος. Θεὸς ὁ αὐτὸς ὁμῦ τε ϗ ἄνθρωπος· ὲ σύγχυσιν ὑποσὰς, ὲδὲ διαίρεσιν ὑπομείνας, φέρων ἐν σεαυτῷ τῇ ἑτερουσίων δύο φύσεων καϑ' ὑπόστασιν ἀσυγχύτως ἅμα ϗ ἀδιαιρέτως λιωμένων τὰς φυσικὰς ἰδιότητας, τὸ κτιστὸν ϗ τὸ ἄκτιστον, τὸ ϑνητὸν ϗ τὸ ἀϑάνατον, τὸ ὁρατὸν ϗ τὸ ἀόρατον, τὸ περιγραπτὸν, ϗ τὸ ἀπερίγραπτον, ϑεῖόν τε ϑέλημα, ϗ ἀνθρώπινον ϑέλημα, ϑείαν ἐνέργειαν, ὲ μὴν ἀλλὰ ϗ ἀνθρωπίνην ἐνέργειαν, αὐτεξούσιά τε δύο, ϑεῖον ὡσαύτως ϗ ἀνθρώπινον, τάτε ϑεῖα ϑαύματα ϗ τὰ ἀνθρώπινα πάϑη, τὰ φυσικά φημι, ϗ ἀδιάβλητα. Ὅλον γὰρ τὸν πρῶτον Ἀδὰμ τὸν πρὸ τῆς παραβάσεως, τὸν ἁμαρτίας ἐλεύϑερον, ἀνέλαβες, Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, σῶμα, ψυχὴν, νῦν, ϗ τὰ τάτε φυσικὰ ἰδιώματα, ἵνα ὅλῳ μοι τὴν σωτηρίαν χαρίσῃ. Ὄντως γὰρ τὸ ἀπρόσληπτον ἀϑεράπευτον, ϗ ὅπω μεσίτης Θεῦ ϗ ἀνθρώπων γενόμενος, τὴν ἔχθραν ἔλυσας, ϗ τῷ σῷ Πατρὶ τὰς ἀποσάτας προσήγαγες· τὸ πεπλανημένον ἐπέστρεψας· τὸ ἐσκοτισμένον ἐφώτισας· τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μετέβαλες· τῆς πολυϑέου πλάνης τὴν κτίσιν ἠλευϑέρωσας· τέκνα Θεῦ τὰς ἀνθρώπους πεποίηκας. Κοινωνὺς τῆς ϑείας σου δόξης τὰς ἠτιμωμένους ἀνέδειξας· τὸν καταδικασμένον εἰς τὰ τῆς γῆς καταχθόνια ὑπεράνω πάσης ἀρχῆς ϗ ἐξουσίας ἀνήγαγες· ἐν τῷ ϑρόνῳ τῷ βασιλικῷ τὸν εἰς γλῶ ἀποστρέφειν ϗ τὸν ᾅδλω οἰκεῖν καταπεϑέντα ἐν σεαυτῷ ἐκάϑισας. Τίς ἓν τῇ ἀπείρων τάπων ἀγαϑῶν τῇ ὑπὲρ πάντα νῦν, ϗ κατάληψιν ἐργασήριον γέγονεν, ἢ ἐν ᾗ σὲ τέκουσα Ἀειπάρϑενος; Ὁρᾶτε φίλοι Θεῷ Πατέρες, ϗ ἀδελφοὶ, τῆς παρούσης ἡμέρας τὴν χάριν,

ὁρᾶτε

ὁρᾶτε τῆς νῦν διφημερίνης τὸ ὑψηλὸν καὶ σεβάσμιον; ὁ φρικώδη τὰ τοιαῦτα Μυστήρια; ὁ θαύματος γέμοντα; μακάριοι οἱ ὁρῶντες ὡς ἰδεῖν πρεπωδέστατον! μακάριοι οἱ νοεραὶ κτησάμενοι αἴθησιν! Οἷαι φωτὸς ἀστραπαὶ τὴν παρεῦσαν νύκτα καταφαιδρύνουσιν· οἷαι Ἀγγέλων δορυφορίαι τὴν τῆς ζωαρχικῆς Μητρὸς καταγλαΐζουσι Κοίμησιν· οἷαι Ἀποστόλων θεηγορίαι τὴν κηδείαν τοῦ θεοδόχου σώματος μακαρίζουσι. Πῶς ὁ τοῦ Θεοῦ Λόγος ὁ ταύτης Υἱὸς δι' ὑπερβολὴν γενέσθαι καταδεξάμενος, δεσποτικαῖς παλάμαις τῇ παναγίᾳ ταύτῃ καὶ θειοτάτῃ οἷα μητρὶ λειτουργῶν, τὴν ἱερὰν ψυχὴν ὑποδέχεται. Ὦ ἀγαθὸς Νομοθέτης! Μὴ ὑποκείμενος νόμῳ, τὸν νόμον πληροῖ, ὃν αὐτὸς ἐνετείλατο. Αὐτὸς γὰρ τοῖς γονεῦσι τὴν ὀφειλὴν τοὺς παῖδας νέμειν ἐθεσμοθέτησε, τίμα, φήσας, τὸν Πατέρα καὶ τὴν Μητέρα σου. Ὅτι δὲ ἀληθὲς τοῦτο, παντί που δῆλον, τῷ κἂν μικρὸν γοῦν τῆς θείων τῆς ἁγίας Γραφῆς μεμνημένῳ λογίων. Εἰ γὰρ ὡς φησὶν ἡ θεία Γραφὴ, ψυχαὶ δικαίων ἐν χειρὶ Θεοῦ, οὐχ αὕτη μᾶλλον ταῖς χερσὶ τοῦ Θεοῦ, καὶ Υἱοῦ αὐτῆς τὴν ψυχὴν παρατίθεται; ἀληθὴς ὁ Λόγος καὶ πάσης ἀντιλογίας ὑπέρτερος. Ἀλλ' εἰ δοκεῖ, τίς αὕτη καὶ πόθεν, καὶ πῶς τῷ παρόντι χωρισθεῖσα βίῳ, δῶρον ἁπάντων τῆς τοῦ Θεοῦ δωρημάτων ὑψηλότερον ἅμα καὶ προσφιλέστερον δέδοται, οἵαν τε τὴν ἐν τῷ δε τῷ βίῳ διατριβὴν πεποίηται, καὶ θείων Μυστηρίων ἠξίωται, ὡς ἐφικτὸν διασκεψώμεθα. Εἰ γὰρ τὰς κατοιχομένας ἐπιταφίοις γεραίροντες Ἕλληνες, παῦ ὅ, τι περ ἐώρων ἀγώγιμον πάσῃ σπουδῇ συνεισέφερον, ὡς αὖ τῷ μὲν διφημερίνῳ κατηρτισμένον τὸ ἐγκώμιον γένηται, τοῖς δὲ λειπομένοις ζῆλος ἅμα πρὸς ἀρετὴν, καὶ παράκλησιν, μύθοις δὲ ὡς τὰ πολλὰ καὶ ἀπείροις πλάσμασι τὸν λόγον ἐξύφαινον, οἴκοθεν μὴ κεκτημένων τῶν ὑμνουμένων τὸν ἔπαινον, πῶς ἡμεῖς τὰ λίαν ἀληθῆ καὶ σεβάσμια, καὶ ὄντως ὄντα, καὶ πᾶσιν εὐλογίας ἁπάσης καὶ σωτηρίας πρόξενα, σιγῇς βυθοῖς, τὸ τοῦ λόγου, συγκα-

καλύψαντες, οὐ πολὺν ὀφλήσωμεν γέλωτα, καὶ τῷ τὸ πάλαιστον καπωρύξαντι τῆς αὐτῆς δίκης τευξόμεθα; Διὸ τὸ λέγειν ἀρξώμεθα, τῆς συντομίας τὸ λόγχε φροντίζοντες, ὡς ἂν μὴ ταῖς ἀκοαῖς πολέμιος γένηται, ὡς ξοφὴ τοῖς σώμασιν ὑπερβάλλουσα.

Ἰωακεὶμ, καὶ Ἄννα οἱ ταύτης γεννήτορες. Ἰωακεὶμ ὥσπερ τις προβάτων Ποιμὴν οὐχ ἧττον τὰς οἰκείας νέμων λογισμὰς, ἄγων τε καὶ ἐξουσίαν ὅποι βούλοιτο, ἢ τὰ θρέμματα· ὑπὸ Κυρίῳ δὲ τῷ Θεῷ ὡς πρόβατον ποιμαινόμενος, οὐδενὸς τῶν ἀρίστων ἐστέρητο. Ἄριστα δὲ λέγειν μηδεὶς οἰέσθω με τὰ πολλοῖς καταθύμια, πρὸς ἃ ἡ τῶν λιχνοτέρων διανοία κέχηνεν, ἃ μήτε παραμένειν πέφυκε, μήτε βελτίονα δρᾶν τὸν κεκτημένον ἐπίσασαι, τὰ τῆ παρόντος βίου τερπνὰ, ἃ μὴ δύναται βεβαίαν δύναμιν κτήσασθαι, ἀλλὰ περὶ αὐτὰ καπαρρεῖ, κἀ ἀυθωρὸν καπαλύεται, εἰ κἀ τύπων πολλῶν εἶχε τιν περιουσίαν, ἄπαγε· ἀ πρὸς ἡμῶν ταῦτα θαυμάζειν, οὐδ' αὖτη μερὶς τῶν φοβουμένων τὸν Κύριον· ἀλλ' ἀγαθὰ τὰ ὄντως τοῖς εὖ φρονοῦσιν ἐφετὰ κἀ ἐράσμια, ἃ μένει διαιωνίζοντα· Θεὸν μὲν δ' φαίνοντα, καρπὸν δὲ τοῖς κεκτημένοις ἀνατέλλοντα ὥριμον, τὰς ἀρετάς φημι, κἀ τὸν καρπὸν ἐν καιρῷ αὐτῷ τῷ αἰωνίῳ λόγῳ τῷ μέλλοντι, καὶ ζωὴν αἰώνιον δώσουσι τοῖς γε ἀξίως φιλοπονήσασι, κἀ προεισενεγκοῦσι τὸν ἑαυτῷ πόνον, ὅση δυνάμις· πόνος μὲν γὰρ προπορεύεται ἀρετῶν, ἕπεται δὲ μακαριότης αἰώνιος. Ἐν ταύταις Ἰωακεὶμ συνήθως τὰς οἰκείας ἐποίμενε λογισμοὺς, ἐν τόπῳ μὲν χλόης τῶν ἱερῶν λογίων τῇ θεωρίᾳ ἐναυλιζόμενος, ἐπὶ ὕδατος δὲ ἀναπαύσεως τῆς θείας δ' φαινόμενος χάριτος, ἐξ ἀτόπων μὲν ἐπιστρέφων, ἐπὶ δὲ ξίβας δικαιοσύνης ὁδηγῶν. Ἄννα δὲ, ἣ Χάρις ἑρμηνεύεται, οὐχ ἧττον ὁμόζηπος ἦν, ἢ ὁμόζυγος, πᾶσι μὲν ἀγαθοῖς κομῶσα, μυστικῷ δέ τινι λόγῳ κατεχομένη τῷ τῆς στειρώσεως ἀῤῥωστήματι. Ἐστείρευε γὰρ ὄντως ἡ χάρις ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καρποφορεῖν οὐκ ἰσχύουσα. Διότι πάντες ἐξέκλιναν,

ναν, ἅμα ἠχρειώθησαν, ἐκ ἦν ὁ συνιὼν, ἢ ὁ ἐκζητῶν τὸν Θεόν. Εἶπα ὁ ἀγαθὸς Θεὸς ἀπιδὼν καὶ κατοικτείρας τῆς ἰδίας χειρὸς τὸ πλάσμα, καὶ τοῦτο βουληθεὶς ἀνανεῶσαι, λύει τὴν τῆς χάριτος εἰρωσιν, τῆς Ἄννης φημὶ τῆς θεόφρονος· καὶ τίκτει Παῖδα, οἷα οὐ πρότερον γέγονεν, οὐδ' αὖ πάλιν γενήσεται. Ἡ δὲ τῆς εἰρώσεως λύσις ἐδήλου σαφέστατα τὴν κοσμικὴν τῶν ἀγαθῶν λυθήσεσθαι εἰρωσιν, καὶ τῆς ἀπορρήτου μακαριότητος καρπογονεῖσθαι τὸ σέλεχος· ἐντεῦθεν ἡ Θεοτόκος ἐξ ἐπαγγελίας προέρχεται. Ἄγγελος δὲ καταμηνύει τοῖς γεννησαμένοις τὴν σύλληψιν. Ἔφερε δὲ καὶ οὕτω μὴ ἐλαττοῦσθαι τινὸς, ἢ φέρειν τὰ δεύτερα τὴν τὸ μόνα καὶ ὄντως τελείαν θείαν ἐσομένην κατὰ σάρκα λοχεύτειαν. Εἶπα τῷ ἱερῷ τοῦ Θεοῦ νεῷ ἀνατίθεται, κἀνταῦθα διατείβει, κρείττονα καὶ καθαρωτέραν τῶν ἄλλων ἐπιδεικνυμένη ἀναστροφὴν, ἀπάσης ἐπιμιξίας ἀνδρῶν, καὶ θηλέων ἀπόπων ἀπηλλαγμένην. Ἀλλ' ἐπεὶ τῆς ἡλικίας ἡ ἀκμὴ κατελάμβανε, καὶ τῷ ἀνακτόρων ἐντὸς νομίμως ἀπείργετο, Μνησῆρι, ταὐτὸν δ' εἰπεῖν τῆς παρθενίας φύλακι, πρὸς τὸ χορὸν τῷ ἱερέων τῷ Ἰωσὴφ ἐγχειρίζεται, ὃς τὸν νόμον ἀπαραχάρακτον μέχρι γήρως ἐν συγκείσει τῷ ἄλλων ἐφύλαττε. Πρὸς τούτῳ ἡ ἱερὰ αὕτη καὶ παναμώμως νεανίς διέτειβε, τοῖς κατ' οἶκον στοιχοῦσα, καὶ τῷ πρὸ τῆς οἰκίας εἰδυῖα μηδέν. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ὡς φησιν ὁ θεῖος Ἀπόστολος, ἀπεστάλη ὑπὸ Θεοῦ ὁ Ἀρχάγγελος Γαβριὴλ πρὸς ταύτην τὴν ὄντως θεόπαιδα, καί φησι πρὸς αὐτήν· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. Καλὸν τὸ τοῦ Ἀγγέλου πρὸς τὴν ὑπεράγγελον προσφθέγμα· χαρὰν γὰρ φέρει παγκόσμιον. Ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, τῆς πρὸς ἄνδρας ὁμιλίας ἀήθης ὑπάρχουσα· ἀσφαλῶς γὰρ τὴν παρθενίαν τηρεῖν προείλετο. Διελογίζετο δὲ ἐν ἑαυτῇ, ποταμὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος· μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. Οὕτως εὗρε χάριν ἡ

ἀξία

ἀξία τῆς χάριτος. Εὗρε χάριν ἡ τὰς πόνας τῆς χάριτος γεωργήσασα, καὶ πολύχουν δρεψαμένη τὸν ἄσταχυν τῆς χάριτος. Εὗρε χάριτος ἄβυσσον ἡ σῶσαν τὴν ὁλκάδα τῆς διπλῆς παρθενίας τηρήσασα· καὶ τῷ ψυχῷ τὸ παρθενον ἐφύλαξεν, ἐ τὸ σώματος ἔλαττον, ὅθεν καὶ ἡ τὸ σώματος παρθενία τετήρητο. Καὶ τέξεις υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτῆ Ἰησοῦν. Ἰησοῦς δὲ Σωτὴρ ἑρμηνεύεται. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτῆ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τί πρὸς ταῦτα τῆς ἀληθοῦς σοφίας ὁ θησαυρός; τὴν μὲν Εὔαν ἐ μιμεῖται τὴν προμήτορα, ἐπανορθοῦται δὲ μᾶλλον τὸ ταύτης ἀφύλακτον, καὶ συνήγορον τὴν φύσιν προβάλλεται, ὧδέ πως τοῖς τοῦ Ἀγγέλου αὐτιρητορεύσασα ῥήμασι. Πῶς ἔσαι μοι τοῦτο, ἐπεὶ ἄνδρα ἐ γινώσκω; ἀδύνατα φθέγγη φησίν. Ὁ γὰρ σὸς λόγος τὰς ὅρας λύει τῆς φύσεως, ἃς ὁ πλασάργος ἐπήξατο. Οὐκ ἀνέχομαι Εὔα χηματίσαι δεύτερα, καὶ τὸ τοῦ ποιήσαντος παραιρούσασθαι βούλημα. Εἰδὲ μὴ λέγεις ἀντίθεα, τὸν ῥίπον εἰπὼν τῆς συλλήψεως, λύσον τῷ ἀπορίαν. Πρὸς ἣν ὁ τῆς ἀληθείας Ἄγγελος· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δυνάμις Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γενώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Οὐ δηλοῖ νόμῳ φύσεως τὸ τελέμενον· ὁ γὰρ Δημιουργὸς καὶ Δεσπότης τῆς φύσεως κατ' ἐξουσίαν τὰς ὅρας ἀμείβει τῆς φύσεως. Ἡ δὲ τὸ ἀεὶ ποθέμενον ὄνομα καὶ μετ' ἱερᾶς εὐλαβείας τιμώμενον ἀκούσασα, τῆς παρακοῆς ἐδεδίει τὸ ἐπιτίμιον, καὶ φησὶ φόβε καὶ χαρᾶς γέμοντα ῥήματα. Ἰδὲ ἡ δούλη Κυρίε, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Ὦ βάθος πλούτε καὶ σοφίας καὶ γνώσεως Θεοῦ! Κἀγὼ γὰρ εἰς καιρὸν τῷ Ἀποστόλῳ συμφθέγξομαι. Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. Ὦ ἁπλότε ἀγαθότητος Θεοῦ! Ὦ ἀγάπης οὐκ ἐχούσης ἔρευναν! Ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα, ὁ πληρῶν τὸν Οὐρανὸν, καὶ τὴν γῆν (ὁ Οὐρανὸς γὰρ θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ) δρύχωρον ἐνδιαίτημα τῷ γαστέρα τῆς

οἰκείας ἐποιήσατο δάλης, καὶ ἐν αὐτῇ τὸ πάντων καινῶν καινότερον ἐπιτελεῖ μυστήριον. Θεὸς γὰρ ὢν, ἄνθρωπος γίνεται, ὑπορφυῶς τε τῷ χρόνῳ τῆς κυήσεως τίκτεται, καὶ διανοίγει μήτραν, τὰ κλεῖθρα τῆς παρθενίας μὴ λυμηνάμενος, καὶ ἀγκάλαις γυναικείαις ὡς βρέφος βαστάζεται, τὸ τῆς δόξης ἀπαύγασμα, ὁ χαρακτὴρ τῆς τοῦ Πατρὸς ὑποστάσεως, ὁ φέρων τὰ σύμπαντα τῷ ῥήματι τῆς σθένους αὐτοῦ.

Ὦ θείων ὡς ἀληθῶς θαυμάτων! Ὦ μυστηρίων ὑπὲρ φύσιν καὶ ἔννοιαν! Ὦ παρθενικῶν ἀγώνων τῶν ὑπὲρ ἄνθρωπον! Τί τοῦτο τὸ μέγα περὶ σὲ, ὦ Μῆτερ, καὶ Παρθένε ἱερὰ, μυστήριον; εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Μακαρία εἶ ἐν γενεαῖς γενεῶν ἡ πόνη ἀξιομακάριστος. Ἰδοὺ γὰρ μακαρίζουσί σε πᾶσαι αἱ γενεαὶ ὡς περ ἔφησας. Σὲ εἶδον θυγατέρες Ἱερουσαλὴμ, τῆς Ἐκκλησίας λέγω, καὶ μακαρίζουσί σε βασίλισσαι, ἤτοι δικαίων ψυχαὶ, καὶ εἰς αἰῶνα αἰνέσουσί σε· σὺ γὰρ εἶ ὁ βασιλικὸς θρόνος, ᾧ παρεστήκεισαν Ἄγγελοι, τὸν ἑαυτῶν ὁρῶντες Δεσπότην καὶ Δημιουργὸν ἐποχούμενον. Σὺ Ἐδὲμ λογικὴ κεχαριτωμένη τῆς πάλαι ὡραιοτέρα τε καὶ θειοτέρα. Ἐν ἐκείνῃ μὲν γὰρ Ἀδὰμ ὁ χοϊκὸς ᾠκίζετο, ἐν σοὶ δὲ Κύριος ἐξ Οὐρανοῦ. Σὲ κιβωτὸς προεικόνισε, δευτέρᾳ Κόσμου σπέρμα φυλάττουσα. Σὺ γὰρ τῷ τῷ Κόσμου σωτηρίαν Χριστὸν ἀπεκύησας, τὸν τοῦ ἁμαρτίαν μὲν καταλύσαντα, τὰ δὲ ταύτης κατακυμάσαντα κύματα. Σὲ βάτος προέγραψε. Πλάκες θεόγραφοι προεχάραξαν. Νόμου κιβωτὸς προϊσόρησε. Στάμνος χρυσῆ, λυχνία, καὶ τράπεζα, καὶ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα ἐμφανῶς προετύπωσαν. Ἐκ σοῦ γὰρ ἡ φλὸξ τῆς Θεότητος, ὁ τοῦ Πατρὸς ὅρος, καὶ Λόγος, τὸ γλυκύτατον καὶ ἐράνιον μάννα, τὸ ὄνομα τὸ ἀνώνυμον, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ φῶς τὸ ἀίδιον καὶ ἀπρόσιτον, ὁ ἄρτος τῆς ζωῆς ὁ ἐράνιος, ὁ ἀγεώργητος καρπὸς σωματικῶς ἀνεβλάστησεν. Οὐ σὲ δὲ προεμήνο-

σε

σε κάμινος, πῦρ δροσίζον ἅμα καὶ φλέγον δεικνύουσα, καὶ τὸ θεῖον πυρὸς ἀντίτυπον τὸ ἐν σοὶ κατοικήσαντος; Ἡ δὲ σκιωὴ Ἀβραὰμ σὲ προδηλοῖ προφανέστατα· τῷ γὰρ Θεῷ Λόγῳ ἐν τῇ γαστρί σε σκηνώσαντι, ἡ ἀνθρωπεία φύσις τὸν ἐγκρυφίαν ἄρτον τὴν ἑαυτῆς ἀπαρχὴν ἐκ τῶν σῶν ἁγνῶν αἱμάτων προσήγαγεν, ὀπτωμένην πως καὶ ἀρτοποιουμένην ὑπὸ τοῦ θείου πυρὸς, καὶ ἐν τῇ θείᾳ αὐτοῦ ὑποστάσει ὑφισαμένην, καὶ εἰς ἀληθῆ ὕπαρξιν ἐρχομένην σώματος ἐμψύχωμένε ψυχῇ λογικῇ τε καὶ νοερᾷ. Μικρὸν μὲν τὸ Ἰακὼβ ἡ κλίμαξ διέφυγε. Τί γάρ; ὃ παντὶ δῆλον, ὅτι σὲ προγράφει, καὶ τύπος γνωρίζεται; οὐ γὰρ τρόπον ἐκεῖνος τεθέαται διὰ τῆς ἄκρων τῆς κλίμακος Οὐρανὸν τῇ γῇ συναπτόμενον, καὶ διὰ ταύτης Ἀγγέλους κατιόντας καὶ ἀνιόντας, καὶ τὸν ὄντως ἰσχυρὸν καὶ ἀήττητον τυπικῶς αὐτῷ προαναλαίοντα· ἔτω καὶ σὺ μεσιτεύσασα, καὶ κλίμαξ γεγονυῖα τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ καταβάσεως, τὸ τὸ ἀθανὲς ἡμῶν ἀναλαβόντος φύραμα, καὶ ἑαυτῷ συμπλέξαντος καὶ ἑνώσαντος, καὶ νῦν ὁρῶντα Θεὸν δεδρακότος τὸν ἄνθρωπον, τὰ διεσῶτα συνήγαγες. Ὅθεν Ἄγγελοι μὲν πρὸς αὐτὸν κατίεσαν ὡς Δεσπότην καὶ Θεῷ λειτουργήσοντες, ἄνθρωποι δὲ ἀγγελικῇ πολιτείᾳ χρησάμενοι, πρὸς Οὐρανὸν ἁρπάζονται. Πῶς δὲ θήσωμεν τῷ Προφήτῃ τὰ κηρύγματα; ἢ ἐπὶ σὲ, εἴπερ ἀληθῆ ταῦτα δεικνύναι θελήσωμεν; τί γὰρ ὁ Δαβιτικὸς πόκος, ἐφ' ὃν ὁ τοῦ Βασιλέως τῶν ἁπάντων Θεοῦ Υἱὸς ὁ συνάναρχος καὶ συμβασιλεύων τῷ οἰκείῳ Γεννήτορι ὡς ὑετὸς καταβέβηκεν, ἐχὶ σὺ τηλαυγεστέρα; Τίς δὲ ἡ Παρθένος, ἣν Ἡσαΐας προβλεπτικῶς προπογράφησεν, ἐν γαστρὶ ἕξειν καὶ τέξεσθαι γόνον τὸν μεθ' ἡμῶν ὄντως ὄντα Θεὸν, τοτέσι μετὰ τὸ γενέσθαι ἄνθρωπον, καὶ Θεὸν διαμείναντα; Τί δὲ τὸ ὄρος τοῦ Δανιὴλ, ἐξ ὅπερ ὁ ἀκρογωνιαῖος ἐτμήθη λίθος Χριστὸς, οὐχ ὑποστὰς ἀνδρὸς ἐγχειρίδιον, ἀ σὺ ἡ ἀσπόρως κυήσασα καὶ πάλιν Παρθένος μείνασα; Ἐλθέτω Ἰεζεκιὴλ ὁ θειότατος καὶ δεικνύτω κεκλεισμένῃ πύ-

πύλιν, διοδευομένην ὑπὸ Κυρίου, καὶ οὐκ ἀνοιγομένην, καθὰ προφητικῶς προεκήρυξε. Δεικνύτω τὴν λεγομένων τινὰ ἔκβασιν. Σὲ δείξει πάντως· ἐπὶ σὲ γὰρ διελθὼν ὁ ἐπὶ πάντων Θεὸς, καὶ σάρκα λαβὼν, τινὰ τῆς παρθενίας οὐκ ἀνέῳξε πύλην· μένει γὰρ ἡ σφραγὶς ὄντως διαιωνίζουσα. Σὲ τοίνυν Προφῆται κηρύττουσι. Σοὶ διακονοῦσιν Ἄγγελοι, λειτουργοῦσιν Ἀπόστολοι. Ὁ Παρθένος καὶ θεολόγος τῇ Ἀειπαρθένῳ, καὶ Θεοτόκῳ. Σὲ γὰρ σήμερον πρὸς τὸν σὸν Υἱὸν ἐνδημήσασαν, περιέπουσιν Ἄγγελοι, ψυχαὶ δικαίων, Πατριαρχῶν τε καὶ Προφητῶν. Ἐδορυφόρουν Ἀπόστολοι, θεοφόρων τε Πατέρων πλῆθος ἄπειρον ἐκ τῶν περάτων τῆς γῆς τῷ θείῳ τοῦ Υἱοῦ σου προσάγματι ὡς ἐν τεφέλῃ πρὸς ταύτην τὴν θείαν καὶ ἱερὰν Ἱερουσαλὴμ ἀθροιζόμενοι, καὶ σοὶ τῇ πηγῇ τοῦ ζωαρχικοῦ τοῦ Κυρίου σώματος ὕμνους ἱεροὺς ἐνθεσιικώτατα λέγοντες· ὢ πῶς ἡ πηγὴ τῆς ζωῆς διὰ μέσου θανάτου μεταγεται! Ὢ πῶς ἡ ἐν τῷ τόκῳ τὰς ὧρας ὑπερβᾶσα τῆς φύσεως, νῦν ὑποκύπτει τοῖς τοιούτοις θεσμοῖς, καὶ θανάτῳ τὸ ἀκήρατον καθυποβάλλεται σῶμα! Δεῖ γὰρ αὐτὸ τὸ θνητὸν ἀποθέμενον, τὴν ἀφθαρσίαν ἀμφιάσασθαι· ἐπεὶ καὶ ὁ Δεσπότης τῆς φύσεως τὴν τοῦ θανάτου πεῖραν οὐκ ἀπωλύσατο· θνήσκει σαρκὶ γὰρ, καὶ θανάτῳ λύει τὸν θάνατον, καὶ φθορᾷ τὴν ἀφθαρσίαν χαρίζεται, καὶ τὴν νέκρωσιν ποιεῖ πηγὴν ἀναστάσεως. Ὢ πῶς ψυχὴν ἱερὰν τὸ θεοδόχον διαιρεμένην σώματος, οἰκείαις χερσὶν ὁ παντουργὸς ὑποδέχεται, τιμῶν νομίμως, ὧν τῇ φύσει δέλτον ὑπάρχουσαν φιλανθρωπίας οὐρανοδρομίαις πελάγεσιν, οἰκονομικῶς ἐποιήσατο Μητέρα, ἀληθείᾳ σαρκωθεὶς, ὁ φυσικὸς τὴν ἐνανθρώπησιν· ἐώρων γὰρ ὡς δοκεῖ, τῶν Ἀγγέλων παρεστῶτων τὰ τάγματα τινὰ σιὼ ἀποβίωσιν προσδεχόμενα. Ὢ τῆς καλλίστης ἐνδημίας, ὧν ἡ πρὸς τὸν Θεὸν ἐνδημία χαρίζεται! εἰ γὰρ καὶ πᾶσι τοῖς θεοφόροις τοῦ Θεοῦ θεράπουσι πρὸς Θεὸν τοῦτο κεχάρισται· κεχάρισται γὰρ, καὶ πιστεύομεν· ἀλλά γε τὸ διάφορον ἄπει-

πειρον δήλων Θεῦ καὶ Μητρός. Τί τοίνυν τὸ περὶ σὲ τοῦτο Μυστήριον ὀνομάσωμεν; θανάτον, ἀλλ' εἰ καὶ φυσικῶς ἡ παγίερος καὶ μακαρία σε ψυχὴ τῶ παντελβίω σε καὶ ἀκηράτω σώματος χωρίζεται, καὶ τὸ σῶμα τῇ νομίμῳ ταφῇ παραδίδοται, ὅμως οὐκ ἐναπομένει τῷ θανάτῳ, οὐδ' ὑπὸ τῆς φθορᾶς διαλύεται· ἧς γὰρ τικτούσης ἀλώβητος ἡ παρθενία μεμένηκε, ταύτης μεθισαμένης ἀδιάλυτον τὸ σῶμα πεφύλακται, καὶ πρὸς κρείττονα καὶ θειοτέραν ζωὴν μετατίθεται, ἀ διακοπτομένην θανάτῳ, ἀλλ' εἰς ἀπεράντους αἰῶνας τῶν αἰώνων διαιωνίζουσαν. Ὥσπερ γὰρ ὅτος ὁ ὁλολαμπὴς καὶ ὁλόφωτος Ἥλιος ὑπὸ τὰς σελληναίας πρὸς μικρὸν κρυπτόμενος σώματος, δοκεῖ μοί πως ἐκλιμπάνειν καὶ τῷ ζόφῳ καλύπτεσθαι, καὶ τῆς αἴγλης ἀντιλαμβάνειν τὸ σκότος, ὅμως αὐτὸς τὰ οἰκεία φωτὸς οὐκ ἐξίσταται, ἔχει δὲ ἐν ἑαυτῷ πηγὴν φωτὸς ἀσύναον βρύουσαν, μᾶλλον δὲ αὐτὸς πηγὴ φωτὸς ὑπάρχει ἀνέλλιπὴς, ὡς ὁ κτίσας αὐτὸν διεπάξατο· οὕτω καὶ σὺ ἡ πηγὴ τὰ ἀληθινοῦ φωτὸς ἡ ἀσύναος, ὁ ἀδαπάνητος τῆς αὐτοζωῆς θησαυρὸς, ἡ δαψιλὴς τῆς εὐλογίας ἀνάβλυσις, ἡ πάντων τῶν ἀγαθῶν αἰτία ἡμῖν καὶ πρόξενος, εἰ καὶ πρός τι χρονικὸν διάστημα καλύπτῃ σωματικῶς τῷ θανάτῳ, ἀλλὰ βρύεις ἡμῖν φωτὸς ἀπειρεσίου μαρμαρυγὰς, καὶ ἀμβροσίαν ζωῆς, καὶ τῆς ὄντως μακαριότητος ἀνέλλιπῆ, καὶ καθαρὰ καὶ ἀδαπάνητα νάματα, ποταμὸς χάριτος, ἰαμάτων πηγὰς, εὐλογίαν ἀσύναον. Σὺ γὰρ ὡς μῆλον ἐν τοῖς ξύλοις τὰ δρυμὰ, καὶ ὁ καρπός σε γλυκασμὸς ἐν λάρυγγι τῶν πιστῶν. Ἐντεῦθεν ἀ θανάτου τιμῶ ἱεράν σου Μετάστασιν λέξωμεν, ἀλλὰ Κοίμησιν, ἢ ἐκδημίαν, εἰπεῖν οἰκειότερον· ἐκδημῆσα γὰρ τῶν τὰ σώματος, ἐνδημεῖς πρὸς τὰ κρείττονα. Σὲ διεπόρθμευσαν σὺν Ἀγγέλοις Ἀρχάγγελοι. Σὰ τὴν ἄνοδον ἔφεξαν τὰ ἀκάθαρτα καὶ ἐναέρια πνεύματα. Σὰ τῇ διαβάσει εὐλογεῖται μὲν ὁ ἀὴρ, αἰθὴρ δὲ καθύπερθεν ἁγιάζεται. Σὰ τὴν ψυχὴν χαίρων ὁ Οὐρανὸς ὑποδέχεται. Σοὶ μεθ' ἱερῶν

ἱερῶν ὕμνων καὶ φαιδρᾶς τελετῆς προσυπαντῶσι δωάμεις, μονονυχὶ λέγουσαι· τίς αὕτη ἡ ἀναβαίνουσα λελευκασμένη, ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς Σελήνη, ἐκλεκτὴ ὡς Ἥλιος; ὡς ὡραιώθης, ὡς ἡδυνάθης. Σὺ ἄνθος τοῦ πεδίου, ὡς κρίνον, ἐν μέσῳ τῷ ἀκανθῶν· διὰ τοῦτο νεανίδες ἠγάπησάν σε. Εἰς ὀσμὴν μύρων σου δραμούμεθα. Εἰσήνεγκέ σε ὁ Βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ, ἔνθα σε ἐξουσίαι δορυφοροῦσιν, ἀρχαὶ δίλογοῦσι, θρόνοι ἀνυμνοῦσι, τὰ Χερουβὶμ ἐκπλήττεται χαίροντα, δοξάζει τὰ Σεραφὶμ τὴν τῶ οἰκείω Δεσπότου φύσει ἀληθεῖ οἰκονομίᾳ χρηματίσασαν Μητέρα. Οὐ γὰρ ὡς Ἠλίας εἰς Οὐρανὸν ἀνελήλυθας, οὐχ ὡς Παῦλος ἕως τρίτου διερβιβάσθης Οὐρανοῦ, ἀλλ' ἔως αὐτοῦ τοῦ βασιλικοῦ θρόνου τοῦ Υἱοῦ σου ἔφθασας, αὐτόπτως ὁρῶσα καὶ χαίρουσα, καὶ σὺν πολλῇ καὶ ἀφάτῳ τῇ παῤῥησίᾳ παρεσῶσα, Ἀγγέλοις θυμηδία ἀπόῤῥητος καὶ πάσαις ταῖς ὑπερκοσμίαις δωάμεσι. Πατριάρχαις εὐφροσύνη ἄλυπτος, δικαίοις χαρὰ ἀνεκλάλητος, Προφήταις ἀσύναος ἀγαλλίασις. Κόσμον δίλογοῦσα, τοῖς κάμνουσιν ἄνεσις, τοῖς πενθοῦσι παράκλησις, τοῖς νοσοῦσιν ἴασις, τοῖς χειμαζομένοις λιμήν, τοῖς ἁμαρτάνουσιν ἄφεσις, τοῖς λυπουμένοις ἁμωνὲς παραμύθιον, πᾶσι τοῖς αἰτοῦσιν ἑτοίμη βοήθεια. Ὦ θαύματος ὄντως ὑπερφυοῦς! Ὦ πραγμάτων γεμόντων ἐκπλήξεως! Ὁ πάλαι βδελυκτὸς, καὶ μισούμενος θανάτου, νυνὶ εὐφημεῖται καὶ μακαρίζεται· ὁ πάλαι πένθος, καὶ κατῳφείας, δακρύων τε καὶ σκυθρωπότητος πρόξενος, νυνὶ χαρᾶς ἀναδείκνυται καὶ πανηγύρεως αἴτιος.

Ὅμως εἰ καὶ πᾶσι τοῖς τοῦ Θεοῦ θεράπουσι, ὧν ὁ θάνατος μακαρίζεται, ἐκ τοῦ τέλους τὸ ἀσφαλὲς περιγίνεται τῆς πρὸς τὸν Θεὸν εὐαρεστήσεως, καὶ τούτου χάριν ὁ θάνατος αὐτῶν μακαρίζεται· τελειοῖ γὰρ αὐτὸς καὶ μακαρίους δείκνυσι, τὸ ἄξεπτον τῆς ἀρετῆς χαριζόμενος, καὶ τὸ φάσκον λόγιον, μὴ μακάριζε ἄνδρα πρὸ τελευτῆς αὐτοῦ· ἀλλ' οὐκ ἐπὶ σοὶ τοῦτο ληψόμεθα.

θα. Σὺ γὰρ μακαρισμὸς ἐχὶ ὁ θανάτος, οὐδ' ἡ Μετάστασις τελείωσις γέγονεν, οὐδ' αὖ πάλιν ἡ ἐκδημία χαρίζεται τὴν ἀσφάλειαν· παντῶν γὰρ σὺ τῷ ὑπὲρ νοῦν ἀγαθῶν ἀρχὴ καὶ μέση τις καὶ τέλος, ἀσφάλειά τε καὶ ἀληθὴς βεβαίωσις, ἡ ἄπορος σύλληψις, ἡ θεία ἐνοίκησις, ὁ τόκος ὁ ἄφθορος γέγονεν. Ὅθεν ἀληθῶς ἔφησας οὐκ ἀπὸ τοῦ θανάτου, ἀλλ' ἐξ αὐτῆς τῆς συλλήψεως ὑπὸ πασῶν τῶν γενεῶν μακαρίζεσθαι· ἐντεῦθεν οὐ σὲ ὁ θανάτος ἐμακάρισεν, ἀλλὰ σὺ τὸν θάνατον καταγλάϊσας, τιμῇ τότε καταφειὰν λύσασα, καὶ χαρὰν τὸν θάνατον δείξασα. Ὅθεν σε τὸ ἱερὸν καὶ πανάμωμον σῶμα ὁσίᾳ ταφῇ παρεδίδοτο, προσεχόντων Ἀγγέλων, περικυκλούντων, ἑπομένων, τί μὴ πραττόντων, ὧν εἰκὸς τῇ Μητρὶ τοῦ ἑαυτῶν λειτουργῆσαι Δεσπότου; Ἀποστόλων, καὶ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος θεηγορικοὺς ὕμνους ἐκβοώντων, καὶ κροτημένων τῷ πνεύματι· πληθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. Ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Καὶ πάλιν ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον· τὸ ὄρος ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. Σὲ τῷ Ἀποστόλων ὁ δῆμος τιμῇ ἀληθῆ κιβωτὸν τοῦ Θεοῦ ἐπὶ τῷ ὤμων αἰράμενος, ὡς πάλαί ποτε οἱ ἱερεῖς τὴν τυπικὴν κιβωτὸν, καὶ ἐν τάφῳ θέμενος, δι' αὐτοῦ ὡς δι' Ἰορδάνου τινὸς ἐπὶ τὴν ἀληθῆ τῆς ἐπαγγελίας παρέπεμπον γῆν, τὴν ἄνω φημὶ Ἱερουσαλὴμ, τὴν πάντων τῷ πιστῶν Μητέρα, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Οὐ καταλέλειπται γὰρ ἡ ψυχή σου εἰς ᾅδην, ἀλλ' οὐδὲ σάρξ σου εἶδε διαφθοράν. Οὐ κατελείφθη ἐν τῇ γῇ τὸ σὸν ἄχραντον καὶ πανακήρατον σῶμα, ἀλλ' ἐν Οὐρανῷ ἐν βασιλείοις μοναῖς ἡ Βασιλὶς, ἡ Κυρία, ἡ Δέσποινα, ἡ Θεομῆτωρ, ἡ ἀληθὴς Θεοτόκος μεπατίθεσαι. Ὦ πῶς Οὐρανὸς ὑπεδέξατο τιμῇ πλατυτέραν Οὐρανῶν χρηματίσασαν; πῶς δὲ τάφος τοῦ τῆς Θεοῦ δοχεῖον ὑπεδέξατο; Ναὶ ἐδέξατο· ναὶ κεχώρηκεν. Οὐ γὰρ σωματικοῖς ὄγκοις Οὐρανοῦ πλατύτερον χωρίον ἐγένετο.

νετο. Πῶς γὰρ τὸ ῥίπτιχυ τὸ ἀεὶ λεπτυνόμενον σῶμα εὕρεσί τε, καὶ μήκεσιν Οὐρανὲ παραβληθῆναι δυνήσεται; τῇ δὲ χάειτι μᾶλλον παντὸς ὕψος καὶ πλάτους τὸ μέγεθος ὑπερικόντισεν. Ὦ ἱερᾶ καὶ θαυμασᾶ καὶ σεβασμίᾳ καὶ προσκυνητᾶ μνήματος! Ὃ καὶ νῦν περιέπουσιν Ἄγγελοι, αἰδοῖ καὶ φόβῳ πολλῷ παεισπάμενοι, φρίττουσι δαίμονες, πίστει ξέχυσιν ἄνθρωποι, τιμῶντες ὀφθαλμοῖς καὶ χείλεσι, καὶ πόθῳ ψυχῆς ἀσπαζόμενοι, καὶ ἀφθονίαν ἀγαθῶν ἀρυόμενοι. Ὥσπερ γὰρ εἴτις μῦρον πολυτελὲς ἱματίοις, ἢ τόπῳ τινὶ ἐναπόθοιτο, εἶτα πάλιν ἀφέλοιτο, ἐναπομένει τῆς ὀδμῆς τὰ λείψανα, καὶ μετὰ πολὺ τὸ μύρου ἀφαίρεσιν, ὕπου καὶ νῦν τὸ θεῖόν σου σῶμα καὶ ἱερὸν καὶ πανάμωμον καὶ τῆς θείας ὀδμῆς ἀπάπλεων, ἡ ἄφθονος κρύπτη τῆς χάριτος, ἐν τῷ τάφῳ τεθεὶ, εἶτα πάλιν ἀναρπασθὲν πρὸς κρείττονα χώραν καὶ ὑψηλοτέραν, οὐκ ἀφῆκε τὸν τάφον ἀγέρασον, ἀλλὰ μεταδίδωσι μὲν τῆς θείας ὀδμῆς καὶ χάριτος, πηγὴν δὲ τῶν ἰαμάτων καὶ πάντων τῶν ἀγαθῶν πᾶς πίστει προσιοῦσι τὸ μνῆμα κατέλιπε. Σοὶ καὶ ἡμεῖς προσκαθήμεθα σήμερον, ὦ Δέσποινα Θεοτόκε καὶ ἀπειρόγαμε, τὰς ἑαυτῶν ψυχὰς τῆς σῆς ἐλπίδος ἐφάψαντες, ὥσπερ ἔκτινος ἰσχυροτάτης καὶ ἀῤῥαγεστάτης ἀγκύρας, νῦν, ψυχαὶ, σῶμα, ὅλως ἑαυτὰς ἀναθέμενοι, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς γεραίροντες ὅσον ἐφικτόν. Τὸ γὰρ πρὸς ἀξίαν, ἀνέφικτον· εἰ γὰρ ὡς ὁ λόγος ὁ ἱερὸς ἡμᾶς ἐξεπαίδευσεν, ἡ περὶ τὰς ὁμοδούλους τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην διανοίας, ἡ περὶ σὲ τὴν τεκοῦσαν τὸν Δεσπότην ᾠδὴ, πῶς παροραθεῖα; πῶς δὲ ὁ περιαπόδασος; πῶς δὲ οὐκ ἀπὸ αὐτῆς τῆς ἀναγκαίας προτιμωμένη πνοῆς, καὶ τῆς ζωῆς πρόκειτος; ὅπου γὰρ αὖ μᾶλλον τὴν πρὸς τὸν οἰκεῖον Δεσπότην εὔνοιαν ἐπιδειξόμεθα. Αὐτάρκης γὰρ ὅπου τοῖς δύλαβῶς μεμνημένοις σε τῆς σῆς μνήμης τὸ τιμαλφέστατον δώρημα. Χαρᾶς γὰρ ἀναφαιρέτου ὑπόθεσις γίνεται. Ποίας γὰρ οὐκ ἐμπέπλησται δι-

φρο-

φροσιώης; ποίων ἀγαθῶν, ὁ ταμιεῖον τῆς παναγίας σοῦ μνήμης τῳ ἑαυτοῦ ποιήσας διανοιαν; Οὗτός σοι παρ' ἡμῶν χαριστήριος τῇ ἡμετέρων λόγων ἡ ἀπαρχὴ, τῆς ψυχῆς ἡμῶν διανοίας ἀπροθήνιον, τῷ περὶ σὲ κινηθείσης πόθῳ, καὶ τῳ οἰκείαν ἐκλελησμένης ἀθυμίαν. Ἀλλ' ὑμνῶς δέχοιο τὸν πόθον εἰδῶς τῳ δυνάμιν ὑπερβάλλοντα. Σὺ δὲ ἐποπτεύοις ἡμᾶς, Δέσποινα ἀγαθὴ ἀγαθοῦ Δεσπότου λοχεύτρια· ἅγιος τε καὶ φύρσις τὰ καθ' ἡμᾶς ὅποι βέλοιο, καὶ τὰς ὁρμὰς τῆς αἰχίσεων ἡμῶν στάσεως, καὶ τὸν σάλον παύσεως, καὶ φρὸς τὸν τῆς θείας θελήματος ἀχείμαστον λιμένα καθοδηγήσεως, καὶ τῆς μελλούσης ἀξιώσεως Μακαριότητος, καὶ τῆς γλυκείας καὶ αὐτοφροσώπε ἐλλάμψεως τῆς ἐκ σοῦ σαρκωθέντος Λόγε Θεοῦ, μεθ' ἧς τῷ Πατρὶ δόξα, τιμὴ, κράτος μεγαλοπρέπεια, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΘΕΟ-

ΘΕΟΔΟΤΟΥ

Ἐπισκόπου Ἀγκύρας

Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ πρὸς Νεστόριον ἐν τῇ ἡμέρᾳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ.

Ὅπερ ἐστὶ τοῖς σώμασιν ἡμῶν ἰατρὸς, τοῦτο ταῖς ψυχαῖς ἱερεύς· ἐπειδὴ γὰρ νόσημα ψυχῶν ἐστὶν ἡ πλάνη, καὶ κρονίζουσα θανάτου τὸν τῆς τιμωρίας ἐπάγει, φκονόμησεν ἡ τοῦ Πνεύματος χάρις θεραπείαν ψυχῶν, τὴν Ἱερωσύνην τὴν ἁγίαν, καὶ τὸ προληφθὲν τοῦ πάθους μέλος ἐξέκοψεν, οὐκ ἐκείνου ἀφειδῶν, ἀλλὰ τοῦ λοιπῶν μελῶν φειδόμενος. Ἐπειδὴ γὰρ τὸ συνεχὲς τῆς σήψεως τῆς σαθρᾶς μετάδοσιν εἰργάζετο τῆς κακίας, ἐκτέμνει τὸ μέλος, ἵνα ἐπιτέμῃ τῷ κακίᾳ· καὶ ἐστὶ τὸ εἶδος τοῦτο, οὐκ ὠμότης, ἀλλὰ θεραπεία. Δακρύων μὲν γὰρ ὁ ἰατρὸς ἐκτέμνει τὸ μέλος, ἀλλ' ἀφειδῶν, τὴν τομὴν θεραπείαν εἰργάσατο. Ἀρχαῖον τοῦτο τῆς θεραπείας τὸ εἶδός ἐστι, καὶ ἄνωθεν. Οὕτως οἱ Ἅγιοι ἐπεμελήθησαν τῆς παναγίας ταύτης Ἐκκλησίας. Ἔχει γὰρ ὁ Ἱερεὺς καὶ ξίφος, οὐχ ἵνα κακώσῃ, ἀλλ' ἵνα θεραπεύσῃ· καὶ τοῦτο δηλοῦσα ἄνωθεν ἡ χάρις πρῶτον τοῦ Ἱερεμίου ἐμιμήσατο, λέγουσα· κατέστησά σε σήμερον ἐπὶ Βασιλείας καὶ ἔθνη, ἐκριζοῦν, καὶ κατασκάπτειν, καὶ ἀπολλύειν, καὶ ἀνοικοδομεῖν, καὶ καταφυτεύειν. Οὐ φυτεύεται γὰρ εὐσέβεια, μὴ ἐκκοπείσης κακίας. Εὔλογον μὲν πρῶτον ἀρεθεύειν, ἐπιμελείᾳ γεωργικῇ χρῆσθαι, λόγους προσφέρειν εὐσεβείας, ἐπιμέλειαν παντοίαν προσάγειν τοῦ μέλει. Εἰ δὲ ἡ κακία κρείττων γένοιτο τῆς ἐπιμελείας, ἡ ἐκκοπὴ ἴαμα τοῦ ἔτι διακειμένου ἐστί. Πῶς γὰρ ἄντις ἐπιμελήσαιτο τοῦ ἔτι διακειμένου, τοῦ ὀνειδίζοντος Θεῷ τὰ ἀνθρώπινα, καὶ τὴν χάριν ἐν μέ-

ρει

ρει ὀνείδους ποιημάτων; Τί λέγεις; εἰπέ· Θεόν, φησιν, ὃ λέγω πεπονθέναι. Εἰ μὲν πρὸς τὴν φύσιν βλέπεις, καλῶς ἐρεῖς· εἰδὲ παντελῶς αἱρεῖς τὸ πάθος, ἀρνῇ τὴν οἰκονομίαν. Μὴ δὴ ὀνειδίσῃς Θεῷ παθόντι, ἀλλὰ τῷ παθημάτων βλέπε τὰ κατορθώματα. Εἰς τελείαν κατέβη Θεὸς, ἢ μειωθεὶς τὴν φύσιν, ἀλλὰ τὴν χάριν δωρούμενος. Ἔμεινεν ὃ ἦν, προσέλαβεν ὃ οὐκ ἦν. Ἔμεινε Θεὸς διὰ τὴν ἑαυτοῦ φύσιν, γέγονεν, ὅπερ σὺ, διὰ τὴν περὶ σὲ φιλανθρωπίαν. Μὴ οὖν τὸ εἶδος τῆς ἐπιμελείας ὕβριν νομίσῃς· μὴ ὀνειδίσῃς τῷ ἰαζῷ, εἰ ἐν τελείᾳ σώματος τὴν ὑγιείαν εἰργάσατο. Οὐ γὰρ ὕβρις ἐστὶν ἡ τελεία, ἀλλὰ δεῖγμα φιλανθρωπίας. Κατέβη πρὸς σὲ, οὐχ ἵνα μείνῃ κάτω, ἀλλ' ἵνα σὲ πρὸς ἑαυτὸν ἀναγάγῃ. Μὴ ἀρνήσῃ τὴν κατάβασιν, ἵνα μὴ ἀπολέσῃς τὴν ἀνάβασιν· δέξαι τὴν ὕβριν, τὴν σὴν δόξαν γεννήσασαν. Οὐκ ὕβρισαι φύσις, ἀλλ' ἡ χάρις δωρεῖταί σοι τὰ ἀγαθά. Διὰ σὲ τὸν ὑβρισμένον οἰκέτην, ὁ Δεσπότης ὑβρίζεται· τὰ σὰ ἀνέλαβεν, ἐπειδὴ σὺ τὰ ἐκείνου κατέλιπες. Ἀπεδράσαμεν ἡμεῖς ἀγαθοῦ Δεσπότου, οὐκ ἠνέγκαμεν τὴν παρὰ τοῦ Δεσπότου δεδομένην χάριν, πρὸς ῥᾳστώνην τὴν ἀπόλαυσιν τοῦ Παραδείσου ἐλάβομεν, τὸν νόμον παρεβώσαμεν, τὸν Νομοθέτην παρέβημεν, τῷ ἐχθρῷ ἐπείθημεν, ἐξεπέσωμεν τῆς τιμῆς, εἰς τὸν περίγειον τόπον τοῦτον ὁ δραπέτης διῆγεν, οὐκ ἀνεύδε πρὸς τὸν Δεσπότην. Ἡ ἡδονὴ κάτω κατεῖχε τὸν φυγάδα· ἡ ἁμαρτία δεσμώτην ἔσχε τὸν δραπέτην· ἀπέγνω τῆς ἡμῶν διανοίας, ὡς οὐ δυναμένης ἀνανεῦσαι πρὸς τὸν Θεόν. Τί οὖν; ἡ ἐμὴ βραδύτης ζημιώσει Θεὸν τὸ κάλλιστον κτῆμα, τὸν ἄνθρωπον; ἀλλ' οὐκ ἠνέχετο τοῦτο ὁ τῶν ὅλων Θεός. Οὐδὲ γὰρ ἔδει, φθόνον κρατεῖν δεσποτικῆς χάριτος, οὐδὲ τὴν τοῦ Θεοῦ δωρεὰν ἔδει νικᾶσθαι ὑπὸ τῆς ἐπιβουλῆς τοῦ διαβόλου. Τί οὖν ὁ Δεσπότης ποιεῖ; παραγίνεται πρὸς τὸν δραπέτην. Ὁ γὰρ δοῦλος πρὸς ἐκεῖνον ἰσχύειν οὐκ ἠδύνατο. Παραγίνεται πρὸς τὸν οἰκέτην, οὐκ ἐν ἀξιώματι δεσποτικῷ,

οὐκ

ἀπ' Ἀγγέλων δορυφορίαν προαποστέλλων, ἀπ' Ἀρχαγγέλων κινῶν τὰς φάλαγγας, ἀ πῦρ κινῶν, ἀ στοιχεῖα σαλαίων· τοῦτο γὰρ ἦν φυγάδα ποιῆσαι τὸν δραπέτην· ἀλλὰ παραγίνεται, ἀγρεῖσαι τὸν φυγάδα βελόμενος, καταχεῖν τὸ ἴδιον κτῆμα θέλων. Οὐ σοβεῖ τῷ φαινομένῳ, ἀλλὰ πρὸς ὁμιλίαν ἐκκαλεῖται τῇ τελείᾳ τῶ προσώπῳ· γίνεται σύνδουλος, ἵνα ἀναδειχθῇς δεσπότης. Διὰ τοῦτο γὰρ καὶ ὁ μέγας Ἀπόστολος ἔλεγε· τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, Ἰησοῦν ἐνταῦθα λέγει· εἰπέ, τίνα ἡ Μήτηρ ἔθετο τὴν προσηγορίαν τῷ βρέφει; καλέσεις γάρ, φησι, τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

Πῶ ὁ διαιρῶν τὸν Χριστόν; πῶ ὁ τὸ μυστήριον ἡμῶν ὁμωνυμίαν ἐργασάμενος; καὶ Χριστὸν μὲν σῶα λέγων, δύο δὲ ὑποτιθέμενος, τὸν μὲν δοῦλον, τὸν δὲ δεσπότην, τὸν μὲν πάσχοντα, τὸν δὲ μὴ πάσχοντα; Τίς ἡ ὄνησις τῆς μιᾶς προσηγορίας, δύο κειμένων πραγμάτων; Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. Ἰησοῦν λέγει τοῦτον τὸν ὁρώμενον, ὃν ἔτεκε καὶ Παρθένος. Τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. Τί γὰρ ἐφρονήσαμεν ἐν Χριστῷ Ἰησοῦ; ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ. Τί ἐστι τὸ λεγόμενον; ὁ ἐξ ἁρπαγῆς ἐλευθερίαν λαβὼν, ἐδοὺ δουλικὸν ὑπομένει, ἵνα μὴ προκρίμα τῇ ἐλευθερίᾳ ποιήσῃ. Τί οὖν αὐτός; ἐπειδὴ τῇ φύσει Δεσπότης ἦν, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ· τὸ γὰρ τῆς οἰκονομίας ἐδοὺ ἔβλαψε τὴν Θεότητα. Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δοῦλου λαβών. Εἰπέ μοι τίνι τῷ Μονογενεῖ κενώσιν· εἰ μὴ τὰ ἀνθρώπινα πέπονθε, πῶ ἐκενώθη; Ὅταν δὲ λέγω πεπονθέναι Θεὸν, φυλάττων τὴν φύσιν ἀπαθῆ, λέγω· πάθος γὰρ περιῆψε Θεῷ, ἡ φύσις παθητὴ, ἀλλὰ ἡ πρὸς τὸ παθητὸν ἕνωσις. Ἐπειδὴ γὰρ ὁ φιλάνθρωπος Δεσπότης συμπαθῆσαι προέθετο τῇ οἰκέτῃ, εἶχε δὲ τὴν φύσιν ἀπαθῆ, ἐνώσας ἑαυτῷ τὸ

πα-

παθητὸν, τὸν σκοπὸν ἀνεπλήρωσεν. Οὕτω παραγένοντο ὁ Δεσπότης· ὅπως ἐπέσῃ τῷ φυγάδι, ὡς σύνδουλος φαινόμενος, καὶ ὡς Δεσπότης δυνάστων, μορφὴν δούλου δεικνύς, καὶ χάειν Δεσπότα χαριζόμενος. Πεινῶν ὡς δοῦλος, καὶ ἄρτους πηγάζων ὡς Θεός· κοπιῶν ὡς ἄνθρωπος, καὶ ἐπὶ νώτου θαλάσσης βαδίζων ὡς Θεός. Ὑποσκελόμενος τὸν Σταυρὸν ὡς ἄνθρωπος, καὶ τοῖς πάθεσιν ἐπιστὰς τὸ φαινόμενον, καὶ τοῖς θαύμασιν ἐδείκνυ τὸ κρυπτόμενον. Οὕτω φανεὶς ἄνθρωπος, ἡμᾶς ἅπαντας εἰς τὴν οἰκειότητα συνήγαγεν. Ἰωάννῃ ἡμῖν διδάσκαλον ἐπέστησε τὸν υἱὸν τῆς βροντῆς, τὸν κεχαρισμένον τῇ δε τῇ Μυροπόλει, τὸ κοινὸν τῆς οἰκουμένης κειμήλιον, τὸν σὺν στίχῳ πᾶσαν ἐκθέμενον τὴν δυσέβειαν. Ὁ Λόγος γὰρ φησι, σὰρξ ἐγένετο. Ὃ ὢν ἐγένετο σάρξ· ὢν μὲν διὰ τὴν φύσιν, ἐγένετο δὲ διὰ τὴν οἰκονομίαν. Δι' ὃν, καὶ μεθ' ὧν, τῷ Πατρὶ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟ-

ΛΟΓΟΣ Β'.

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΣΩΤΗΡΟΣ

Ἀναγνωσθὰς ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ, ἐπὶ τῷ Ἀρχιεπισκόπῳ Κυρίλλῳ.

Λαμπρὰ τῆς παρούσης Ἑορτῆς ἡ ὑπόθεσις, καὶ κοινὴν σωτηρίαν τοῖς ἀνθρώποις κομίζουσα. Λαμπρὸς δὲ καὶ ὁ παρὼν σύλλογος, εὐχαρίστως τῷ χάριν ὑποδεχόμενος, ᾗ δέδοται δαψιλὴς ἡ χάρις τοῖς μετ' εὐχαριστίας αὐτὴν ὑποδεχομένοις. Τοσοῦτον γὰρ τὸ μέτρον τῆς δωρεᾶς παρέχεται, ὅσον τὸ μέγεθος τῆς εὐχαριστίας ἐστὶ τῷ κομιζομένῳ τὴν χάριν. Ὡς ὅταν λαβὼν δωρεάν, εὐχαριστῇς τῷ δεδωκότι, οὐκ ἀπέδωκας ὑπὲρ ὧν ἔλαβες μόνον, ἀλλὰ καὶ ὀφειλέτην σοι πλειόνων τὸν δοτῆρα πεποίηκας. Εὐχαρίστως οὖν προσδέξασθε τὴν χάριν, λαμπρὰν ἡμῖν παύτῃ τὴν πανήγυριν ἐπιδείξαντες. Ὑπόθεσις δὲ τῆς Ἑορτῆς, ἐμφάνεια Θεοῦ πρὸς ἀνθρώπους ἐστίν· ἐπιδημία τοῦ ἀεὶ παρόντος· ἐπισασία τοῦ τὰ πάντα πληροῦντος· ἐποψία τοῦ τὰ πάντα ὁρῶντος. Εἰς τὰ ἴδια ἦλθέ, φησι, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· μᾶλλον δὲ ἐν τῷ Κόσμῳ ἦν, καὶ ὁ Κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ Κόσμος αὐτὸν οὐκ ἔγνω· ἀλλ' οὐ τῆς τοῦ ἀνθρώπων κατηγορίας ἡ ἄγνοια αὕτη· διὰ γὰρ θειότητα φύσεως ἀνέφικτος λογισμοῖς ἀνθρωπίνοις ἐστὶν ὁ Θεός. Οὐ πέφυκε γὰρ νοῦς ἀνθρώπων αὐτὸν καθορᾶν. Διαδιδράσκει τὸν ἀνθρώπων τὸν νοῦν ἡ θεία φύσις. Ὑψηλοτέρα τῶν ἡμετέρων ἐστὶ λογισμῶν. Σημειούμεθα οὖν ἐξ ἀμείνονος φύσεως θεογνωσίαν, ὅπερ ἵνα μὴ γένηται, ἀναλαμβάνει φύσιν ὁρωμένην ὁ ἀόρατος. Δέχεται σῶμα ψηλαφώμενον, ὁ ἀφὴ μὴ κρα-

τού-

τόμενος. Ὁ ἀόρατος Θεὸς, ὁρώμενος γίνεται. Ὁ Λόγος ψηλαφᾶται. Ὁ Μονογενὴς τοῦ Θεοῦ παῖς, συγγενὴς τῶν βάλων γίνεται, ἵνα μὴ διαλάθῃ τὶνὰ γνῶσιν τῶν ἀνθρώπων ἡ ὑπερβαίνουσα τὸν ἄνθρωπον φύσις. Καὶ μὴ νομίσῃς ἀλλότριον τοῦ Θεοῦ τὸν Υἱὸν γεγενημένον· πάλαι γὰρ ἡ Θεοῦ παρουσία προεμελετᾶτο· καὶ τοῖς τύποις ἀεὶ τοῖς ἀνθρωπίνοις ἐγνώσθη φαινόμενος, ὕλαις κεχρημένος ὁρᾶσθαι παρ' ἡμῶν δυναμένοις. Ἐπεὶ παραμενεῖτω Ἰουδαῖος εἰς μέσον, παείπω ὁ διαπιστῶν τῇ τοῦ Θεοῦ ἐμφανείᾳ φανείσῃ τοῖς ἀνθρώποις ἐν ἀνθρώπου φύσει. Λεγέτω μοι, πῶς Μωϋσῆς εἶδε Θεόν; τὴν φύσιν εἶδε τὴν ἀόρατον; ἀδαμῶς. Ἀνέφικτος γὰρ αὕτη λογισμοῖς ἀνθρωπίνοις· πῶς δὲ εἶδεν; εἰπέ. Εἶδεν ἐκ τῆς βάτου ἀναπτόμενον πῦρ, καὶ τὴν βάτον οὐ φθειρον. Διὰ τί οὖν ἀπιστεῖς τῷ ἐκ Παρθένου γεγεννημένῳ, καὶ τὴν παρθενίαν μὲ φθειραντι; ἢ σὺ μὲν ἀκόων, ὅτι ἐκ βάτου φθέγγεται Θεὸς, καὶ λέγει Μωϋσῇ· ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, καὶ ὅτι πεσὼν Μωσῆς προσκυνεῖ, πιστεύεις, ὁ λογιζόμενος τὸ πῦρ τὸ ὁρώμενον, ἀλλὰ Θεὸν τὸν φθεγγόμενον. Ὅταν δὲ Μήτρας Παρθενικῆς μνημονεύσω, βδελύσσῃ, καὶ ἀποστρέφῃ; τί γὰρ ἀτελέστερον, εἰπὲ, βάτος, ἢ Μήτρα παρθενικὴ καθαρὰ τῶν ἁμαρτίας παθῶν; Οὐκ οἶδας, ὅτι τὰ ἀρχαῖα μελέτη τῶν νεωτέρων, καὶ τῶν νῦν γενομένων ἐστί; τὰ γὰρ μυστήρια προτυποῦνται διὰ τῶν παλαιῶν. Διὰ τοῦτο βάτος ἀνάπτεται, πῦρ φαίνεται, καὶ τὸ πυρὸς οὐκ ἐνεργεῖ, οὔτε μὴν κολάζει. Ἆρα ἐν τῇ βάτῳ οὐχ ὁρᾷς τὸν Παρθένον; ἆρα ἐν τῷ πυρὶ ὃ βλέπεις τὴν φιλανθρωπίαν τὴν παραγενομένην; Ὁ κριτὴς ἐν τοῖς κρινομένοις, καὶ κρίσις οὐ γίνεται. Ὁ δικαστὴς ἐν τοῖς καταδίκοις, καὶ οὐδαμοῦ τιμωρία. Κριτὴς ἐπέστη οὐ κείνων, ἀλλὰ διδάσκων, οὐ καταδικάζων, ἀλλ' ἰαζόμενος. Ὁρᾷς, πῶς ἐκεῖνο τὸ ἄμερον πῦρ, τὴν ὧδε φιλανθρωπίαν ἐμήνυσε; μὴ θαυμάσῃς, εἰ διὰ Μήτρας παρθενικῆς, Θεὸς ὤν, τέτε-

ται. Οὐδὲν γὰρ ὕβριν ἡγεῖται Θεὸς, ὃ προξενόν ἐστι σωτηρίας τῆς ἀνθρωπίνης. Σὺ δέ μοι μὴ ὅπως διτελῆ τὴν φύσιν τῷ Θεῷ ὑπολάβῃς, ὡς καὶ ἐφικτὴν ὕβρεσι γενέσθαί ποτε. Οὐδὲ γὰρ, ὧν εἵλετο δι' ἡμᾶς διτελῶν, ὑβρίζεται τὴν φύσιν ἐκείνην. Οἰκειοῦται δὲ τὰ ἐλάττονα, ἵνα σώσῃ τὴν φύσιν τὴν ἡμετέραν. Ὅταν δὲ τὰ μὲν διτελῆ τῇ μακαρίᾳ Θεᾷ τὴν φύσιν μὴ ἐνυβρίζῃ, σωτηρίαν τε ἀνθρώποις ἐργάζηται, πῶς ἐρεῖς τὰ αἴτια τῆς ἡμῶν σωτηρίας, ὕβρεως προξενα τῷ Θεῷ γεγονέναι;

Ὤφθη τοίνυν Θεὸς σήμερον διὰ τῆς Παρθένου, καὶ ἡ Παρθένος ἔμεινε Παρθένος, καὶ Μήτηρ ἐγένετο. Ὁ γὰρ ἀφθαρσίας προξενος, φθορὰν οὐκ ἐργάζεται. Ὁ Ποιητὴς ἀφθαρσίας, οὐδὲν διέφθειρεν. Ἐπειδὴ δὴ καὶ Φωτεινὸς φιλόν ἄνθρωπον λέγει τὸν γεγεννημένον, μὴ λέγων Θεᾷ εἶναι τέκνον, καὶ τὸν ἐκ μήτρας προελθόντα, ἄνθρωπον διηρημένον Θεᾷ ὑπετίθεται, λεγέτω μοι νῦν, πῶς φύσις ἀνθρωπίνη διὰ Μήτρας παρθενικῆς τικτομένη, τὴν παρθενίαν τῆς Μήτρας ἐφύλαξεν ἄφθαρτον; οὐδενὸς γὰρ ἀνθρώπου Μήτηρ, Παρθένος μεμένηκεν. Ὁρᾷς, πῶ διττὴν σύνοιαν περὶ τὸ τεχθέντος παρέχει μοι τὸ γεγεννημένον; εἰ μὲν γὰρ καθ' ἡμᾶς ἐτέχθη, ἄνθρωπος ἦν. Εἰδὲ τὴν Μητέρα Παρθένον ἐφύλαξε, Θεὸς ὁ τεχθεὶς τοῖς εὖ φρονοῦσι γνωρίζεται, Θεὸς γὰρ ἐπεδήμησε τῷ Κόσμῳ, οὐ τόπον ἐκ τόπου μεταβὰς, ἀλλὰ φύσιν περιλαμβανος τὴν ἐμὴν καὶ ὡς εἶπον, ὀφθῆναι θελήσας, ὁ τὴν φύσιν ἀόρατος· ὥστε οὐκ ἔχει ἀρχὴν τὸ εἶναι Θεὸς ἐκ τοῦ τόκου, ἀλλὰ τοῦ φανῆναι ἀνθρώποις. Ἐπειδὴ γὰρ Θεὸς ἦν, ἄνθρωπος γενέσθαι προείλετο διὰ φιλανθρωπίαν τὴν περὶ ἡμᾶς, ἵνα ἡμεῖς τὸν κτίσην ὡς συγγενῆ περιπτυξώμεθα, ἵνα ἔχωμεν θαρρεῖν, οἱ ἐξ οἰκείων κατορθωμάτων παῤῥησίαν οὐκ ἔχοντες. Ἐπὶ γὰρ τὸ βήματος ἀχθησόμενοι, οἱ ἐξ οἰκείων ἀρετῶν μὴ παῤῥησιαζόμενοι, ὡς ἐκ συγγενοῦς ἰδίου καρπούνται τὴν παῤῥησίαν. Τί οὖν; ἐπιδημεῖ Θεὸς, ὡς ἄνθρωπος, οὐ τόπον ἐκ τόπου ἀμείβων, ἀλλὰ τὴν ἀό-

ρα-

ρατον φύσιν ἐπιδεικνὺς ὁρατὴν, καὶ ὀφθεὶς ὡς ἄνθρωπος καὶ συγγενὴς ἀνθρώποις φανεὶς, καθὼς καὶ ὁ Εὐαγγελιστὴς ἀνακηρύττει λέγων· ὅτι ὁ Λόγος σὰρξ ἐγένετο. Καὶ πῶς, φησὶν, ὁ Λόγος ἐγένετο σὰρξ; πῶς δυνατὸν, τὸν Θεὸν Λόγον γενέσθαι ἄνθρωπον; Ἐρωτᾷς τὸν τρόπον τῆς τοῦ Θεοῦ θαυμάτων; εἰ ἐφικτὸν ἦν ἡμῖν τὸ ἀκατάληπτον τοῦ Λόγου, οὐκ ἦν θαῦμα, ἀλλὰ κατὰ φύσιν πρᾶγμα· εἰ δὲ θαῦμα, καὶ σημεῖον τὸ γεγενημένον, παραχώρει τὸν λόγον τῷ θαυματουργοῦντι Δεσπότῃ. Ὅτι μὲν ἐγένετο, γνῶναί σε βούλομαι, καὶ τὸ ἐκ τοῦ γενομένου κέρδος τῇ πίστει καρπώσασθαι, πῶς δὲ γέγονε, τῷ ἐνεργοῦντι παραχώρει. Ἢ σὺ τῷ μὲν ἰατρῷ πιστεύεις προσάττοντι, καὶ περιεργάζῃ τὸν τρόπον τῆς θεραπείας, πιστεύων τῇ τέχνῃ τοῦ σαυτοῦ σωτηρίαν. Ἀλλ' οὐδὲ ἄλλος τις, ἄτεχνος ὤν, τὸν τοῦ τεχνίτου περιεργάζεται τρόπον· ἀλλὰ γνωρίζει μὲν τὸ γενόμενον, τὸν δὲ τρόπον τῇ τέχνῃ παραχωρεῖ. Σὺ δὲ πάντων τῶν ὑπὸ τοῦ Θεοῦ τεθαυματουργημένων τοὺς λόγους ἐπιζητεῖς, ὡς χρῄζων τῶν λόγων, ἵνα τὰ αὐτὰ τῷ Θεῷ θαυματουργῇς καὶ σύ; ἀλλ' ὅπερ ἔλεγον, καὶ νῦν λέγω· πράγματος, οὗ τὸν λόγον ἐπιγινώσκομεν, τοῦτο ἡ φύσις οὐ θαῦμά ἐστιν, οὐδὲ σημεῖον. Τοσοῦτον τί ἐστιν ὃ λέγω; οἰκοδόμος κτίζει οἶκον. Τὸν λόγον γινώσκομεν, τὰς ὕλας συντεθείσας γνωρίζομεν, λέγειν τὸ γεγενημένον δυνάμεθα, εἰ καὶ δι' ἀτεχνίαν ἐνεργεῖν οὐκ ἐσμὲν ἱκανοί. Ἔπλασε τῷ ἐκ γενετῆς τυφλῷ ὀφθαλμοὺς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος ἐκ πηλοῦ. Τοῦτο ὑπὲρ λόγον ἐστὶ τὸν ἡμέτερον· θαῦμα καλεῖται, λογισμοῖς ἀνθρώπων οὐκ ἐρευνώμενον· σημεῖον καλεῖται ὑπὲρ τὴν συνήθη φύσιν γεγενημένον. Καὶ ὅτι μὲν ἐγένετο, ἴσμεν, τὸν δὲ τρόπον λέγειν, οὐκ ἔχομεν, ἐκ πηλοῦ μὲν γὰρ κέραμος, καὶ πλίνθος κατασκευάζεται, οὐκ ὀφθαλμῶν διγενεῖα τράττεται, οὐχ ὑμένες λεπτοὶ γίνονται, οὐχ ὁράσεως ποικιλία σωΐζεται, ἡ περιφερείας ἀκρίβεια μὴ τοσαύτης δεήσεως πραγματεύεται. Πηλὸς δὲ πέφυκεν εἰς

ὀφθαλμῶν ἀνάγεσθαι διγνόειαν. Οὐκοῦν ὅπερ ἡ φύσις τῆς γῆς οὐκ ἐπιδέχεται (ἡ γὰρ πέφυκεν ἐπιδέχεσθαι ὀφθαλμὸς τὴν ἰδέαν,) ταύτην ἐδέξατο, τὸ θαυματουργοῦντος θεοῦ πρὸς τὸ ἑαυτοῦ θέλημα τὴν φύσιν ἐλκύσαντος, οὐκ αὐτῆς δηλαδὴ ὄντος τῷ λόγῳ τῆς φύσεως. Μηκέτι οὖν εἰς ἀσθένειαν ἀνθρωπίνης καταπίπτε φύσεως, μηδὲ λέγε· πῶς ἄνθρωπος φύσις ἐχώρησε τὸν Θεὸν, πῶς Θεὸς γέγονεν ἄνθρωπος; πῶς Θεοῦ Λόγος σὰρξ ὁρωμένη γεγένηται; ἀλλ' ὅτι μὲν γέγονε πίστευε, τὸν δὲ τρόπον εἰδέναι δὸς τῷ πεποιηκότι. Εἰδὲ θέλεις καὶ ἐξ ὑποδείγματος σαφηνίσαι τὸ προκείμενον, ἐγὼ δείξω σοι, πῶς τὸ ἀσώματον σωματοῦται, τὸ ἀόρατος ὁρᾶται, τὸ ἀψηλάφητον ψηλαφᾶται, ἃ τῇ οἰκείᾳ φύσει μεταβληθὲν, ἀλλὰ ἀναλαβὸν χῆμα ὁρώμενον, καὶ ψηλαφώμενον. Ὁ λόγος ἔτος, ὁ προφορικὸς ἐκ τῆς ἀνθρώπων φημὶ, ᾧ κεχρημένοι ἀλλήλοις τε συγγινόμεθα, καὶ τὰ ἐνθύμια ἀλλήλοις ὁρμηνεύομεν, λόγος ἐστὶν οὐχ ὁρώμενος· ἀλλ' οὐδὲ χειρὶ ψηλαφώμενος, ἀκοῇ δὲ μόνον ἐνηχούμενος. Ἀλλ' ἐπειδὴ τὸν προφορικὸν λόγον ὑπόδειγμα τοῦ ἐνυποστάτου Θεοῦ Λόγου φέρω, μὴ νομίσῃς με προφορικὸν λέγειν τὸν Θεὸν Λόγον, ἄπαγε. Λόγος δὲ εἴρηται ὁ Μονογενὴς, ἑρμηνευθέντος τῆς θείας Γραφῆς τὸ ἀπαθὲς αὐτοῦ τῆς γεννήσεως. Ἐπειδὴ καὶ νοῦς ἀνθρώπων ἀπαθῶς τίκτει τὸν λόγον. Διὰ τοῦτο ὅπου μὲν Υἱὸν αὐτὸν προσαγορεύει τὸ Πατρὸς, ὅπου δὲ Λόγον ὀνομάζει, ἑτέρωθι ἀπαύγασμα καλεῖ ἡ θεία Γραφὴ, ἕκαστον τούτων τῶν ὀνομάτων περὶ αὐτοῦ λέγουσα, ἵνα νοῇς τὰ περὶ Χριστοῦ λεγόμενα βλασφημίας ἐκτός. Ἄλλοτε δὲ ἄλλαις περὶ αὐτοῦ προσηγορίαις ἐχρήσατο, ἁρμοσμένῳ δόξῃ Θεοῦ τὴν διδασκαλίαν ποιήσασθαι θέλουσα. Οἷον τί ἐστιν, ὃ λέγω; Υἱὸν καλεῖ τὸ Πατρὸς τὸν Μονογενῆ, τὸ ὁμοούσιον τῇ φύσει παρασῆσαι θελήσασα. Ἐπειδὴ γὰρ ὁ σὸς Υἱὸς τῆς αὐτῆς σοι φύσεως γεγένηται, βουλόμενος ὁ λόγος, μίαν οὐσίαν δεῖξαι Πατρὸς καὶ Υἱοῦ, λέγει Υἱὸν τὸ Πατρὸς, τὸν

ἐξ

ἐξ αὐτῦ γεννηθέντα Μονογενῆ. Εἶτα ἐπειδὴ γέννησις, καὶ Υἱὸς ἐφ' ἡμῶν ἔμφασιν παρέχει τὸ κατὰ τὴν γέννησιν πάθος, τὸν τὸν Υἱὸν προσαγορεύει καὶ Λόγον, τὸ ἀπαθὲς τῆς γεννήσεως τῷ ὀνόματι τούτῳ δηλῶν. Ἀλλ' ἐπειδὴ Πατήρ τις γενόμενος ὡς ἄνθρωπος, ὁμολογουμένως πρεσβύτερος τὸ ἰδίῳ Υἱῷ ἐπιδείκνυται, παρεχέτης τῆς προσηγορίας αὐτῆς προεπινοεῖν τὸ Υἱῷ τὸν Πατέρα, ἵνα μὴ αὐτὸ καὶ ἐπὶ τῆς θείας φύσεως ὑπολάβῃς, συνυπάρχοντα δὲ τῷ Πατρὶ τὸν Μονογενῆ νοήσῃς διηνεκῶς, ἀπαύγασμα καλεῖ τὸν Μονογενῆ τοῦ Πατρός. Τὸ δὲ ἀπαύγασμα τίκτεται μὲν ἐξ ἡλίου, ἀδαμῶς δὲ νοεῖται τὸ ἡλίῳ μεταγενέστερον· ἀλλ' ἅφ' ὅπερ ὁ ἥλιος, ἐκ τότε καὶ τὸ ἡλίῳ τικτόμενον τὸ ἀπαύγασμα νοοῦμεν. Τὸ ἂν συνυπάρχειν ἀεὶ τῷ Πατρὶ τὸν Υἱὸν, μηνυέτω σοι τὸ ἀπαύγασμα· τὸ ἀπαθὲς τῆς γεννήσεως, δηλούτω ὁ Λόγος· τὸ ὁμοούσιον ὁ Υἱὸς γνωριζέτω.

Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ τὰ σήμερον τεχθέντος Θεοῦ Λόγου δηλώσωμεν τὴν ἐμφάνειαν, καὶ διὰ ὑποδείγματος, ἐπιδείξωμεν, πῶς τὸ τῇ φύσει μὴ ὁρώμενον, ὁρώμενον γίνεται, καὶ τὸ μὴ ψηλαφώμενον δι' ἀσώματον φύσιν δείκνυται ψηλαφώμενον. Ὁ λόγος τοίνυν ἔπος, ὃν προφέρομεν ταῖς πρὸς ἀλλήλους ὁμιλίαις, ᾧ περ κεχρήμεθα, λόγος ἐστὶν ἀσώματος, οὐ τῇ ὄψει φαινόμενος, οὐχ ἁφῇ ψηλαφώμενος· ἀλλ' ἐπειδὰν ὁ λόγος ἐνδύσηται γράμματα καὶ στοιχεῖα, φαινόμενος γίνεται, ὄψει καταλαμβάνεται, ἁφῇ ψηλαφᾶται. Ὑπόθες γάρμοι τινὰ φθεγγόμενον πρός τινα, μὴ ὁ προϊὼν ὁρᾶται λόγος; μὴ τῇ χειρὶ ψηλαφῶμεν τὸν προχεόμενον λόγον; Ἐὰν δὲ ἃ εἶπεν, ἐν χάρτῃ γράψῃς, ὃ πρότερον οὐχ ἑώρας, ὕστερον ὁρᾷς· καὶ ὅπερ ἀν ἐψηλάρας πρότερον εἶδος τὸ λόγου, τοῦτο διὰ τοῦ χάρτου ψηλαφᾷς καὶ τῷ γραμμάτῳ. Τίνος οὕνεκεν; ὅτι ὁ ἀσώματος λόγος τὸ σῶμα τοῦ χάρτου, καὶ τὸ χρῶμα τῷ στοιχείων ἐνδέδυται. Οὐκοῦν ἐπειδὴ σαφὲς τὸ ὑπόδειγμα γέγονε, καὶ ὑπεμνήθης τῷ ὑποδείγματι τῷ γε-

νομεύω κατὰ σωμάθειαν, φέρε δείξωμεν, πῶς ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ ὁ Θεὸς Λόγος, ὁ προαιώνιος σὺν τῷ Πατρὶ, ἀσώματος ὢν τῇ φύσει, ἀνθρώπου φύσιν οἰκειωσάμενος ὕστερον, ἐτέχθη διὰ Παρθένου, καὶ ἀρχὴν λαβὼν τοῦ εἶναι Θεὸς, ἀλλ' ἀρχὴν λαβὼν τοῦ φανῆναι ἄνθρωπος. Μὴ γὰρ εἴπῃς, ἐπειδὴ παρὰ τοῦ Παιδὸς γεγένηται ὁ Μονογενὴς, πῶς ἐτέχθη πάλιν ἐκ Παρθένου; ἐκ τοῦ Παιδὸς γεγένηται τῇ φύσει, ἐκ Παρθένου γεννᾶται δι' οἰκονομίαν. Ἐκεῖνο ὡς Θεὸς, τοῦτο ὡς ἄνθρωπος· ἐπεὶ καὶ ὁ σὸς λόγος γέννημά ἐστι τῆς σῆς διανοίας. Ἀλλ' ἐπειδὰν τὸν λόγον τοῦτον, ὃν ἔτεκεν ὁ σὸς νοῦς, ἐνθεῖναι θελήσῃς καὶ στοιχείοις καὶ γράμμασι, καὶ ἐντυπῶσαι βουληθῇς τῷ χάρτῃ, χειρὶ γράφεις τὰ γράμματα, καὶ βόπον τινὰ πάλιν διὰ τῆς χειρὸς τίκτεις τὸν λόγον, οὐ τότε λαβόντα τὴν ἀρχὴν τοῦ εἶναι, ὅτε διὰ χειρὸς ἐγράφη, οὐδὲ τότε προελθόντα εἰς τὸ εἶναι, ὅτε ἡ χεὶρ ἐντύπου τὰ γράμματα· ἀλλ' ἐκ μὲν τοῦ νοῦ γεγένηται, τοῦ δὲ φανῆναι τῷ ἀρχῷ ἐκ τῆς χειρὸς ὁ λόγος ἐδέξατο τυπέσης τὰ γράμματα. Ἐπεὶ οὖν τὸ ὑπόδειγμα σαφὲς, καὶ ἡ εἰκὼν γνωριμωτάτη γεγένηται, φέρε τῷ προτοτύπῳ ἐφαρμόσωμεν τὴν εἰκόνα. Ὧδε νῦς, ἐκεῖ νόει Πατέρα· ὧδε λόγον ἐκ τοῦ νοῦ γινώσκεις τικτόμενον, ἐκεῖ Λόγον ὑσιῶδη καὶ ἐνυπόσατον νόει ἐκ τοῦ Παιδὸς γεγεννημένον· ὧδε χεῖρα βλέπεις διὰ γραμμάτων τίκτουσαν λόγον, ἐκεῖ νόει Παρθένον διὰ τοῦ σώματος τὸν Λόγον, ὠδίνουσαν, οὐχὶ τῷ ἀρχῷ Θεότητος δοῦσαν διὰ τοῦ τόκου, μὴ γένοιτο, ἀλλὰ τὸ φανῆναι Θεὸν ἀνθρώποις γενόμενον ἄνθρωπον. Ἐπειδὴ ἐν ἐγένετο ὅπερ ἐγὼ, ἀναγκαίως ἐτέχθη καθάπερ κἀγὼ μετὰ τῆς ἐμῆς φύσεως, καὶ τὸν ἐμὸν τόκον ἀναγκαίως αἱρέμενος. Διὰ τοῦτο γέννησιν ᾠκειώσατο ὁ Θεὸς Λόγος, καὶ Μητέρα ἡσπάσατο τῷ Παρθένον, καὶ διὰ μήτρας ἦλθε κοσμικὸς τῇ παρθενίᾳ. Οὐδὲν γὰρ ὧν ἔπλασεν ὁ Θεὸς βδελύσσεται. Ἐπειδήπερ ἀδὲν ἀνάξιον αὐτοῦ τῆς ἔργων ἐγένετο. Πάντα καλὰ

λὰ καὶ καλὰ λίαν, ἐὰν πάντα ἴδωμεν, ὡς ὁ Πλάστης εἶδε γεγενημένα. Εἶδε γὰρ ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδὲ καλὰ λίαν. Ἀπαθέσι βλέπε πάντα τοῖς ὀφθαλμοῖς, καὶ εἰ ὡς ὁ Θεὸς αὐτὰ βλέπεις, λίαν καλά. Ἐξόρισον τὸ πάθος, καὶ γνωρίσεις τὴν δύγένειαν τῆς γενομένης. Τί ἂν θαυμαστὸν, εἰ ἐν ἰδίῳ ἔργῳ καὶ οἴκῳ κατεσκήνωσεν ὁ Θεός; Σὺ δὲ λέγεις, ἀξίως μὲν αὐτὸν ἐν Οὐρανοῖς κατοικεῖν, ἀναξίαν δὲ μονὴν αὐτῷ τὸν ἄνθρωπον οἴει, κείνων τὰ φράγματα ἡ τῇ ἀληθείᾳ τῶν λόγων, ἀλλὰ τῷ πάθει καὶ τῇ προλήψει. Τί γὰρ ὑψηλότερον, εἰπέ μοι, Οὐρανὸς, ἢ ἄνθρωπος; μὴ γάρ μοι τῇ τῶν στοιχείων πρόσχῃς λαμπρότητι, μηδὲ διὰ τὴν εὔχροιαν προκείνης τὴν φύσιν, μηδὲ τὴν ἐκπηδῶσαν μαρμαρυγὴν τῆς ἡλίου καταπλαγῇς, μηδὲ ὅτι ἐγὼ δέρματε καὶ κρέας ἐνδέδυμαι κατὰ τὸν θεῖον Ἰὼβ, ἀλλὰ λογικῆς ψυχῆς τὴν δύγένειαν σκόπησον. Βλέπε τὴν ἀνθρώπου κατασκευὴν, καὶ θαύμασον τὸ ζῶον. Νῦν ἔχει πάντων ζώων κρατεῖν τε καὶ ἄρχειν δυνάμενον. Χεῖρας ἔλαβεν ὑπηρετησάμενας τῆς νοῦ τῇ σοφίᾳ, ὄργανα παντοδαπῆς τέχνης δημιουργά. Μόνον τῶν κτισθέντων πάντων ἀνάγκης ἐλεύθερον γέγονε. Κύριον γνώμης ἰδίας μόνον τὸν ἄνθρωπον ἔκτισεν ὁ Θεός. Οὐχ ὁρᾷς ἥλιον ἀναγκασμένον τρέχοντα δρόμους; οὐ βλέπεις μονοειδῆ αὐτῆς τὴν φοράν; διὰ τί, ἐπειδὴ γνώμης ἰδίας οὐ γέγονε κύριος. Σὺ δὲ προέρχῃ ἐλεύθερος, πράττεις ὃ βέλῃ, ἂν ἔχεις ἀνάγκῃ ὠθῆσαί σε βίᾳ, ἐλεύθερος τῇ ψυχῇ κατέσης. Ἥλιος δοῦλος ἀνάγκης, ἄνθρωπος δὲ τὴν γνώμην ἐλεύθερος. Τί ἂν ἀμείνων, εἰπέ μοι, ὁ δοῦλος, ἢ ὁ ἐλεύθερος; ὁ ὑπὸ ζυγὸν ἀνάγκης, ἢ ὁ πάσης ἀνάγκης ἀπόλυτος; Οὐδὲν ἂν θαυμαστὸν, οὐδὲ παράδοξον, εἰ ἐν ἀνθρώπῳ ὤκησεν ὁ Θεὸς, ὃν ἰδίαν εἰκόνα δι' ὑὸς πλάσας ἐποιήσατο. Τὴν δὲ περὶ τὸν ἄνθρωπον πρόθεσιν ὁ Θεὸς δι' ὑὸς ἐν προοιμίοις τῆς κτίσεως ἐπεδείξατο, χοῦν μὲν λαβὼν ἀπὸ τῆς γῆς καὶ πλάσας αὐτὸν, εἰκόνα δὲ κατασκευά-

σας τῆς ἰδίας Θεότητος. Διατί ἓν ὃν ἔμελλε τῇ κατασκευῇ τιμᾶν, ἵνα ὀξ ἀτελοῦς φύσεως ἔπλασε; διατί μὴ ἀπὸ τῆς λαμπρότητος τοῦ ἡλίου λαβὼν ἐποίησεν αὐτὸν τὸν ἄνθρωπον, ἀλλ' ἀπὸ γῆς καὶ χοὸς αὐτὸν διαπλάττει, τὸ κάτω κειμενικὸ καὶ πατωμενικὸ στοιχεῖον; Τίνος εἵνεκεν; θέλεις μαθεῖν; ἐπειδὴ τῇ ἑαυτοῦ εἰκόνι ἔμελλε τιμᾶν τὸν ἄνθρωπον, ἀτελῆ αὐτῷ δίδωσι τὴν φύσιν, ἵνα ἡ ὑπερβολὴ τῆς τιμῆς μὴ ἐπαίρῃ τὸν ἄνθρωπον εἰς ἀπόνοιαν, ἵνα ὅταν ὑπὲρ τὴν φύσιν τιμήσῃ, συσκιάζῃ τῇ μικρότητι τῆς φύσεως, καὶ γνωρίσῃ τὸ μέγεθος τῆς τιμῆς, καὶ τῆς αὐτοῦ ἀξίας, ἀλλὰ τῆς χάριτος τοῦ δεδωκότος. Οὐκοῦν καὶ τοῦτο φιλανθρωπίας τοῦ κατασκευάσαντος ἦν, τὸ τὴν εἰκόνα τοῦ Θεοῦ ἐν γῇ ἔχειν τὴν φύσιν· ἐνέχυρον γὰρ εἶχε τὴν φύσιν μετοίκιον φρονήματος· ὥστε δίγενὲς ζῶον ὁ ἄνθρωπος, εἰ καὶ ὕστερον ὑβρίσθη τοῖς ἐπεισελθοῦσι παθήμασι. Μὴ γὰρ αὐτὸν εἶδῃς προσκεκρικότα, ἀλλὰ πρὸ τῆς παραβάσεως τοῦ νόμου, τῆς εἰκόνος τοῦ Θεοῦ τὴν δίγνοιαν λέγισαι. Τί οὖν ἐξετελίζεις τὸν ἔμπτωτον, τῆς πρώτης αὐτοῦ κατασκευῆς ἐπιλελησμένον, καὶ τὴν τιμὴν τὴν ἀρχαίαν ὁ λογιζόμενος, καὶ ἣν αὐτῷ πάλιν μετὰ πολλῆς τῆς φιλοτιμίας ἀποδέδωκεν ὁ Θεὸς, ἐνώσας ἑαυτῷ τὴν ἰδίαν εἰκόνα; Οὐδὲν οὖν ἦν ἀπάδον τῆς ἐκείνου φιλανθρωπίας ἐγένετο· οὐδὲ γὰρ ἐφύβρισεν ἀγαθῷ Δεσπότῃ, κοινωνῆσαι δόλῳ τῷ δολίκων εἰς ὠφέλειαν οἰκέτῃ. Οὐ γὰρ ὑβρίζεται τούτοις ὁ ἀγαθὸς, ἀλλ' ὅπερ ἐστὶ, διὰ τῶν τοιούτων γνωρίζεται. Καὶ μὴ θαυμάσῃς τὸ πρᾶγμα· καὶ γὰρ νῦν ἐπὶ σεαυτὸν οἶκον κατασκευάσῃς Θεοῦ, καὶ ἐν σοὶ κατοικεῖ, εἰ καὶ μὴ ὅπως ὡς ἐν τῷ Χριστῷ· ἐν τῷ Χριστῷ γὰρ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς. Ἀλλ' ὦ τοῦ θαύματος! πᾶν τὸ πλήρωμα τῆς Θεότητος ἐν σοὶ σωματικῶς κατοικεῖ, καὶ πάντα πληροῖ καὶ ὑπερέχει τὴν κτίσιν, ὅλος ὢν ἐν σοὶ, καὶ τῶν κτισμάτων ὅλους χωρίζόμενος. Καὶ μὴ δήσοι τὸ εἰρημένον φανέσθω ἀδιάπτον· καὶ γὰρ κἀγὼ νῦν προφέρομαι

μαι λόγον· ἔτος ὁ λόγος ἐστὶν ἐν σοὶ, καὶ ἐν πᾶσιν ὁ λόγος γέγονε, καὶ ὅλον τὸν λόγον ἐχώρησεν εἷς, καὶ ὑπὸ πλήθους ὁ λόγος οὐ περιγράφεται. Εἰ τοίνυν τὸ φραγμα γινόμενον καὶ φθειρόμενον καὶ ἐν σοὶ ὅλον οἰκεῖ, καὶ ἐν πᾶσι γίνεται, τί θαυμαστόν σοι φαίνεται, εἰ ὁ Θεὸς ὅλος ἐν Οὐρανῷ καὶ ἐν πᾶσιν εἶσηται;

Ὑπόθεσις τοίνον τῆς νῦν παννυχίας, τὸν Θεὸν γενέσθαι ἄνθρωπον, ἑλόμενον τὰ ἀνθρώπινα, ἵνα δῷ τὰ θεῖα· καὶ οἰκειωσάμενον τὰ πάθη, ἵνα χαρίσηται τοῖς ἀπαθείαν, ὑπεισελθόντα θάνατον, ἵνα τοῖς ἀθανασίαν δωρήσηται· καὶ ἴδια τὰ τῶν ἀνθρώπων ἐκτήσατο πάθη, ἀλλὰ τὴν φύσιν μεταβαλλόμενος, τῇ δὲ γνώμῃ τοῦτο οἰκειούμενος· καὶ λίαν εἰκότως ταῦτα ποιεῖ, τὸν ἄνθρωπον σῶσαι προθέμενος. Διὰ ποίαν οὖν αἰτίαν ἴδια τὰ πάθη τὰ καὶ ἀνθρώπων πεποίηται; ἐπειδὴ ἐβούλετο πάθος πάθει ἀναιρεῖν, καὶ θανάτῳ καταργῆσαι θάνατον, καὶ διὰ τῆς ὁλοειδῶν τὰ ὁμοειδῆ καταπαλαῖσαι ἠθέλησεν. Οἰκειοῦται τὸν Σταυρὸν, ἰδιοποιεῖται τὸ ῥάπισμα, τὸν δεσμὸν ἑαυτῷ πεποίηται, ἵνα Θεῷ γενόμενα τὰ πάθη κατὰ παθῶν ἐξουσίαν λάβωσιν. Οὔτε γὰρ φύσις Θεῷ ἠδίκηται· οὐδὲ γὰρ μεταβολῇ ἰδίᾳ τὰ πάθη ἐδέξατο, καὶ τοῖς ἰχνεσι παρὰ Θεοῦ τὰ πάθη κατὰ τῆς ὁμοειδῶν λαμβάνει. Λοιπὸν γὰρ ὁ ἀθάνατος ὡς Θεοῦ γενόμενος καταργεῖ τὸν θάνατον. Καὶ ἀποθανὼν λύει τὴν τυραννίδα τῷ θανάτῳ, ἐπειδὴ καὶ Θεὸς καὶ ἄνθρωπος ἦν. Οὐ γὰρ φιλὸν ἄνθρωπον ἐσαύρωσαν οἱ Ἰουδαῖοι, οὐδὲ τοῖς ὁρωμένοις μόνον καθήλωσαν φύσιν, ἀλλ' εἰς τὸν ἐν αὐτῇ Θεὸν ἦγαγον τὰ τολμήματα τῆς ἡνωμένης φύσεως οἰκειωσάμενον τὰ πάθη. Καὶ ἵνα σοι καὶ τοῦτο γένηται σαφὲς, ἐπὶ τὸ ἐν ἀρχῇ ῥηθὲν ὑπόδειγμα τὸν λόγον ἀγάγωμεν. Κείσθω γὰρ Βασιλέα φθέγγεσθαι λόγον, καὶ τοῦτον ἐντυποῦσθαι διὰ γραμμάτων χάρτῃ τινὶ, τῇ λεγομένῃ Σάκρᾳ, καὶ ἐξαποστέλλειν ταῖς πόλεσι τὸν λόγον ἡμφιεσμένον καὶ χάρτῃ καὶ γράμμασιν, ἀληθείαν χαριζόμενον, ἢ ἄλ-

λα

λα δῶρα βασιλικὰ τῖς δεομένοις νομίζοντα. Ἀλλὰ ταύτῃ τῇ λεγομένῃ Σάκραν τῇ τῆ Ἰταλῶν φωνῇ, ὑποδεχέσθω ἄπιστός τις, καὶ ἀπειθὴς, καὶ τῆς πόλεως ἐχθρὸς, καὶ τὸ Βασιλέως πολέμιος, καὶ λαβὼν τὸν χάρτην, διαῤῥηγνύτω. Τί ἐῤῥάγη ἐνταῦθα, εἰπέ μοι; ὁ χάρτης μόνος, ἢ καὶ ὁ λόγος ὁ βασιλικός; καὶ μὴν, εἰ χάρτης μόνον διεῤῥάγη, αὐτὸ μόνον εὔωνον ἦν τὸ φθαρὲν, ἀνάθυμος ὁ ῥήξας, ἢ πέντε ὀβολοῖς μόνοις ὑπάθυμος ἦν. Ἀλλὰ δίδωσι δίκην τῇ ἐχάτῃ, καὶ τιμωρεῖται, καὶ τὴν ἐπὶ θανάτου ἄγεται, οὐχ ὡς ὁ χάρτῃ λυμηνάμενος μόνον, ἀλλ' ὡς καὶ λόγον διαῤῥήξας βασιλικόν. Καὶ μὴν ὁ τῦ Βασιλέως λόγος ἐστὶν ἀπαθὴς, ὅτε χερσὶν λαμβανόμενος τῇ ἑαυτῦ φύσει, οὐδὲ διαῤῥαγῆναι δυνάμενος. Ἀλλὰ καὶ αὐτὸς διεῤῥάγη, τῦ χάρτυ, καὶ τῇ γραμμάτων τὸ πάθος οἰκειωσάμενος. Ὁρᾷς πῶς τὸ ἀπαθὲς δέχεται πάθος, ἐπειδὴ φύσει κοινωνήσῃ παθητικῇ; ὧδε γὰρ ὁ λόγος τῇ οἰκείᾳ φύσει διέῤῥηκτο, καὶ τὸ πάθος τῦ χάρτυ, καὶ τῆ στοιχείων ἐδέξατο. Μὴ θαῤῥείτω τοιγαροῦν ὁ Ἰουδαῖος, ὡς φιλόν ἄνθρωπον σταυρώσας· τὸ γὰρ φαινόμενον χάρτης ἦν, τὸ δὲ ἐν αὐτῷ κρυπτόμενον, λόγος βασιλικὸς, ἐκ φύσεως, καὶ διὰ γλώττης προσενεχθείς. Λόγος μὲν γὰρ ὁ Μονογενὴς λέγεται, καὶ προφορικὸς δὲ, ἀλλ' ἀσιώδης, καὶ ἐνυπόστατος, ὧδε μὲν τῇ οἰκείᾳ φύσει πάσχων, ὢν ἀπαθὴς Λόγος, ἴδια δὲ ποιούμενος τὰ τῦ φαινομένυ παθήματα. Καὶ ὥσπερ ὁ βασιλικὸς λόγος, καὶ τῆ γραμμάτων τὴν φύσιν ἐδέξατο αὐτὸς, καὶ τὸ πάθος τῦ χάρτυ ἴδιον τῦ λόγυ γεγένηται, ὅπως ὁ Μονογενὴς τῦ Θεῦ Θεὸς Λόγος, τὰ τῦ καθηλωθέντος ἴδια πεποίηται πάθη. Διὰ τῦτο ὥσπερ ὁ Σάκραν βασιλικῶ λυμηνάμενος, ὡς Βασιλέως ῥήξας τὸν λόγον, τὴν ἐπὶ θανάτου ἄγεται, ὅπως ὁ σταυρώσας Ἰουδαῖος τὸ φαινόμενον, δίκας δίδωσι, εἰς αὐτὸν τὸν Θεὸν Λόγον ἐκτείνας τὸ τόλμημα. Ὁ γὰρ Θεὸς λοιπὸν ὡς ἴδιον πάθος ἐκδικεῖ τὸ γενόμενον. Ἀλλ' ἱκανὰ τὰ εἰρημένα, ἐπειδὴ φροντίζειν

δεῖ

δεῖ καὶ τῆς μνήμης τῆς ὑμετέρας· τὸ γὰρ πλῆθος τῶν λεγομένων, ὑπερβλύζον τῆς τῶν ἀκροωμένων ἐννοίας ἀμνήμονα τὸν ἀκροατὴν τῶν εἰρημένων ποιεῖ. Γένοιτο δὲ χάριτι Θεοῦ, καὶ τὰ εἰρημένα τῇ μνήμῃ ὑμᾶς περιλαβεῖν, καὶ ἑτέρους ἐκ τούτων ὠφελεῖν, καὶ τὴν Βασιλείαν τῶν Οὐρανῶν αὐτὶ τούτων κληρονομεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΕΣΧΗ ΠΛΟΜΑΡΙΟΥ ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΣΥΜΕΩΝΟΣ

Τοῦ Λογοθέτου καὶ Μεταφραστοῦ

Λόγος εἰς τὸν θρῆνον τῆς Θεοτόκου.

Τοῦτο ἐκεῖνο, γλυκύπατε Ἰησοῦ, τὸ τοὺς ἐκ Περσίδος ἀφιγμένους εἰς Βηθλεὲμ ὁ μόνον χρυσὸν ὡς Βασιλεῖ, καὶ λίβανον ὡς Θεῷ, ἀλλὰ καὶ σμύρναν ὡς ἀνθρώπῳ προσανενεγκεῖν, γευσαμένους σου. Τοῦτο ἐκεῖνο τὸ ῥομφαίαν μέλλειν διελθεῖν τὴν καρδίαν μου, καθὼς ὁ Συμεὼν προηγόρευσε. Τοῦτο ἐκεῖνο τὸ πῦρ, ὃ βαλεῖν ἦλθες ἐπὶ τὴν γῆν, ὥσπερ αὐτὰ προεδίδαξας. Καυστικωτέρα δὴ καὶ πυρὸς Μητρὶ φιλοτέκνῳ Παιδὸς Μονογενοῦς ἀποτέφρωσις. Μικρὸν πρὸς τὴν αὐτίον μοι πεποίηται καὶ ὁ τοῦ Γαβριὴλ ἀσπασμός. Οὐ δὴ καὶ νῦν ὁ Κύριος μετ' ἐμοῦ, καθὼς ἐκεῖνός μοι ἐπηγγείλατο· ἀλλὰ σὺ μὲν ἄπνους καὶ ἐν νεκροῖς, καὶ εἰς ᾅδου ταμιεῖα περιφοιτᾷς τὰ ἐνδότερα, ἐγὼ δὲ τὸν ἀέρα πνέω καὶ μετὰ ζώντων πορεύομαι. Καί τοι ὁ σωτὴρ διὰ ποῖο δεινὸν ἔργον πεφόνευσαι. Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετή σου, Χριστὲ, καὶ νῦν ἄμορφος κεῖσαι. Ὁ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἄδοξος. Κυβερνᾷ ἐν γῇ, ὃ τῶν δόξαν διηγοῦνται οἱ Οὐρανοί. Καὶ μνῆμα φέρεις λελατομημένον, οὗ ἐξ ὄρους ἀλοξέστου τμηθέντα λίθον εἶδεν ὁ Δανιήλ. Ἀπαθής σου ἡ γέννησις ἐντεῦθεν ἐδείκνυτο, ὡς ἐν τῷ βάτῳ ἡ θεϊκή σου πρὸς ἀνθρώπους συνάφεια. Καὶ ἐν τῷ Ἰωσὴφ, ἡ Ἰουδαίων ἐπιβουλή· καὶ ἐν τῷ Ἡσαΐᾳ, τὸ τοῦ θανάτου ὁμοίωμα. Λείπεται δὲν ἐν τῷ Ἰωνᾷ τὸ τῆς Ἀναστάσεώς σου Μυστήριον. Οἶμοι ὅτι ἐν λίθῳ κεῖσαι νεκρὸς, καὶ ἐκ τῶν λίθων ῥαγέντων διὰ τὸ πάθος σου τὸ σωτήριον πολλοί σου τῷ ὀνόματι πεπιστεύκασιν. Οὐκ εἶχος πῶς κλῖναι τοὺς κεφαλοὺς, ζῶν εἶπας αὐτοὺς, φωλεῶν δὲ διπορεύσιν ὡς ἀλώπεκας ἠνίξω

διὰ

διὰ τὰς δολερὰς αὐτῷ λογισμὰς· ἀλλ' ἔκλινας ταύτῃ πεθνηκὼς ἐπὶ Σταυρὰ, ὑπερωμένην ὡς κλίνην δι' ρὼν τὴν πίστιν δι' γνώμονος λῃστᾶ. Παρέβλεψέ με ὁ ἥλιος, λεγέτω ἡ ἀσματίζουσα· ἐπέδυ ὁ ἥλιος, ἔτι μεσούσης ἡμέρας, Ἱερεμίας φθεγγέσθω μοι. Ναὶ γὰρ ἥλιον τὸν αἰθητὸν ὑπέδραμε σύγνασις, τὸ νοητὸν ἡλίᾳ τῆς δικαιοσύνης ἐκλείποντος· καὶ πεῖσαι ῥῆξιν ὑπῆλθαν, αἷς συρρηγῆναι κινδυνεύει καὶ ἡ καρδία μου. Ὦ σὰρξ ἁγία, ἥτις ἐξ αἱμάτων ἐμῶν ἐτυρώθης ὑπερφυῶς. Τὸ γὰρ ἀρχαῖον χρέος ἀποδόμενον πλουσίως. Εἰς τοῦτο μόνον μοι τὸν Οὐρανὸν ὑπέκλινας Δέσποτα, καὶ ὡς ὕπτος ἐπὶ πόκον κατέβης, ἵνα καὶ νέκρωσιν ὑποσῇς, Ἁγίων μὲν κεκοιμημένων ἐγείρουσαν σώματα, νεκροῦσαν δὲ τῷ πεπωκέναι σε. Τί ταῦτα, παῖ ποθεινότατε; ἀβλαβῶς μὲν ἐμίχθη πάλαι τὰ ἄμικτα, καὶ πῦρ θεότητος ἄὔλον σπλάγχνον ἐμὸν ἐκατέφλεξεν· ἄρτι δὲ ἕτερον πῦρ τὰ ἐντός μου βόσκεται ἅπαντα, καὶ μέσην καρδίαν λυμαίνεται. Χαρᾶς ἐγγύας δι' Ἀγγέλου παρέλαβον, καὶ ὀφειλόμην δάκρυα ἀπὸ προσώπου τῆς γῆς· πλὴν ἀλλὰ τότε μόνοις τοῖς ἐμοῖς πιαίνεται δάκρυσιν. Εἰς ᾅδου καταβαίνεις, οἶδα, ὡς τὰς ἐγκεκλεισμένας ἀπολύσων ψυχὰς ἀλλὰ τῷ ἐμῷ ἐκεῖσε καταπαῦσαι, ἔμπνουν νεκρὸν παραβέχων με. Ὦ γυμνὲ νεκρὲ, ζῶντος Λόγε Θεοῦ, ἐκουσίως ὑφωθῆναι κατακεκριμένε Σταυρῷ, ἵνα πάντας ἑλκύσῃς πρὸς σεαυτόν. Ποιόν σου τῶν μελῶν τὸ σώματος ἔμεινεν ἀπαθές; Ὦ θεία μου κεφαλὴ, ἀκανθας δεδεγμένη, καὶ ταύτας ἐμπήξασα τῇ καρδίᾳ μου. Ὦ κοσμία καὶ ἱερὰ κεφαλὴ ἡ καλάμῳ πετυμμένη, ὡς ἀνορθώσῃς τὸν ὡς σαθρὸν τῷ πονηρῷ κατεαγότα πυθμένι κάλαμον, καὶ μακρὰν τὸ Παραδείσου γενόμενον. Ὦ σιαγόνες δεδεγμέναι ῥαπίσματα. Ὦ σῶμα σύμβολον ἕτερον μέλιτος, εἰ καὶ χολῆς ἐδέξω πικρότητα, καὶ ὄξους ἐποτίθης δειλότητα. Ὦ σῶμα καὶ λόγῳ μόνῳ ἐξαναστῆσαν τὸν τετραήμερον. Ὦ σῶμα, ὃ περ οὐχ εὑρέθη δόλος ἐντὸς, εἰ καὶ σὲ δολερὸν εἰς θάνατον προδέδωκε φί-

φίλημα. Ὦ χεῖρες, αἱ τὸν ἄνθρωπον πλασουργήσασαι, καὶ νῦν προσπλωμόναι μοὶ τῷ Σταυρῷ, ἐν ᾅδου δὲ προτεινόμεναι, καὶ χειρὸς ἁπτόμεναι τῆς ἀφαμούης τὸ ξύλω πάλαι, καὶ τὸ πτώματος ὅλον τὸν Ἀδὰμ ἐξεγείρασαι. Ὦ πλευρὰ λογχευθεῖσα διὰ τὴν ἐκ πλευρᾶς πλασθεῖσαν προμήτορα. Ὦ πόδες ἐφ' ὑδάτων περζεύσαντες, καὶ τλιὰ ῥοώδη φύσιν εἰλικρινῶς ἁγιάσαντες. Οἴμοι, ἰὲ Μητρὸς παλαιότερε! ποίας θρηνους ἐπιτυμβίους, καὶ τίνας ὕμνους ἐπικηδείους σοι ᾄσομαι; Οὐκ ἔτι σάμνος μαναδόχος ἐγὼ, τὸ μάννα ἔδ τὸ ψυχοτρόφον ἀμφὶ τὸν τάφον ἐκπέχυται. Οὐκ ἔτι βάτος ἀκατάφλεκτος, ὅλη δὲ τῷ νοητῷ πυρὶ σε τῆς ταφῆς καταφλέγομαι. Οὐκ ἔτι χρυσῆ λυχνία ἐγὼ, τὸ δὲ φῶς ὑπὸ τὰ μόδιον τέθειται. Ὡς πολλὰ τὰ μεγαλεῖα ὁ δυνατὸς ἐνεδείξω μοι· ἐκ πασῶν τῆς γενεῶν ἐξελέξω με· γλώσσας Προφητῶν ἐβάπτισας δι' ἐμὲ, μέλλων ἐραστὸν καταφοιτᾶν, ὡς οἶδας αὐτός. Τλιὰ ἐμὴν εἰς τὸν Κόσμον ἀνέμενες πρόοδον, μὴ ἔχων σκεῦος ὑποδοχῆς Θεότητος. Ἄξιόν σοι μόνῳ κατεγγυήσαντό με, καὶ πρὸ συλλήψεως οἱ Γεννήτορες. Εἰς φῶς ἐξῆλθον τῶτο τῷ βίῳ, καὶ βραχύτι τοῖς τοκεῦσι παρέμεινα. Ὁμῶ δὲ μαθοῖς ἀπεταξάμην καὶ γάλακτι, καὶ συναπεταξάμην καὶ τοῖς γονήτορσι, καὶ ὅλη ὅλῳ συναπεδόθην σοι· καὶ Ναῷ ἀνετέθην Ναὸς γενησομένη καθαρώτατος. Ὁ Πατήρ μὲ καὶ ἡ Μήτηρ μὲ ἐγκατέλιπόν με, σὺ δέ με προσελάβου, καὶ δι' Ἀγγέλου ἐξέθρεψας. Καὶ ὅ, φησιν ὁ Δαβὶδ, ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος. Ἄγγελον εἶδον προστάτω προσομιλοῦντά μοι, ὃν Ζαχαρίας πρὶν ἰδὼν ἐκωφώθη, καὶ γλωττοπέδῃ ὑπέμεινον. Ἠγαλλιάσατο καὶ βρέφος σκίρτημα γαστρὸς, καὶ τὸν ἀσπασμὸν ἠμείψατο τῷ σκιρτήματι, σὲ προσκυνῶν τὸ ἐν γαστρί μοι κυοφορούμενον. Νόμος ἐν ἐμοὶ κατέλυσας φύσεως, ἀσπόρως συνελήφθης ὡς οἶδας, καὶ μετὰ τόκον με Παρθένον ἐτήρησας. Τέθεικάς με μητέρα ἐπὶ τέκνῳ δοξαζομένην, καὶ τὸν δι' ἐμὲ θεοπάτορα, καὶ πασῶν ὑπερκειμέ-

νην

νην θυγατέρων, ἃς ὁ Σολομὼν διηνίξατο. Βασιλεῖς καὶ πτωχεύσῃ μοι δεδοφρεπῆ παρέχον προσκύνησιν. Οὐρανῶ με πλατυτέραν ὑπέδειξας, ἐξ ἧς ὁ τῆς δόξης ἔλαμψας Ἥλιος· καὶ ἵνα τὰ λοιπὰ τῷ περὶ ἐμὲ τερασίων παραδράμωμαι, μακαρισθήν με ἐν πάσαις γενεαῖς πεποίηκας, καὶ δι' ἐμοῦ τὸν ἄνω Κόσμον πληρωθῆναι διϊσχυρίσασθαι. Νυῦν οὐκ οἶδα πῶς ταῦτα συγκέχυται καὶ ἀφιπτάμενόν μοι τὸ μέλι συμπέφυρται. καὶ δὴ συμπεκρᾶσθαι προάγομαι νῦν, καὶ συμφάπτεσθαι, καὶ μέχρις ἄδου συγκαταβαίνειν σοι. Νεφέλην με φωτὸς ὁ προβλέπων ὠνόμασεν, αὐτὶ νιφετῷ ὡς ἔοικε τὰ δάκρυα σάζουσαν. Μή ποτε ἆρα περὶ ἐμοῦ, καὶ τοῦτο προείρηται; ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι. Ἰδοὺ γὰρ ἀποξυγημένος μοι προκείσεται ὁ βόστρυς τῆς ζωῆς ὁ ἀκήρατος, ὁ τὸ ζωηφόρον αἷμα κενώσας ὡς οἶνον πιστῶν καρδίας διφραίνοντα. Βαβαὶ, πῶς ὁ κατάψυχρος ἔτος λίθος ὡς σιδήρῳ πλιττόμενος τῷ κραταιῷ σου βραχίονι σωθῆρας ἐπιπέμπεσθαι τοῖς τῇ καρδίᾳ μου. Τί μὴ καὶ διαρρήγνυμαι, καὶ μυστικώτερον τάφον ἀντιλαξεύω ἐν σπλάγχνοις μου, καὶ πάλιν εἰσδέξομαι, καὶ ἐν καρδίᾳ κηδεύσω σε; λεπὰς ἐγὼ μυστικὴ πέτρας ἐκ ἐκρηγνυμένης τῆς τὸν μαργαρίτην φερούσης μου τὸν ἐξ ἀστραπῆς τῆς θείας ἐμφυόντα μοι. Ὢ οἷα καὶ ὅσα ὁρῶ! Ἀστὴρ ἡμεροφανὴς τὸ τοκετῷ σε παρὰ τῆς σῆς ἐκαινουργήθη μεγαλειότητος, καὶ σὲ λελυθότως τεχθέντα ὁ Οὐρανὸς ἀνεκήρυττεν. Ἀλλὰ σήμερον, καὶ αὐτὸν τὸν αἰθητὸν ἀπέκρυψας ἥλιον, καὶ νύκτα ἐν ἡμέρᾳ μέσῃ παρήνεγκας, τοὺς ἀσεβοῦντας ἐλέγχουσαν. Πέρσας ἐκεῖ γονυπετοῦντας ὁ ἀστὴρ μετεσείλατο, ὧδε καὶ γνωσθέντες καὶ φίλους ὁ τῷ θεοκτόνων φόνος ἀπεμαχρύνατο· ἐκεῖ σε δώρων προσαγωγὴ, καὶ προσκύνησις, ἐνταῦθα χιτώνων μερισμὸς, καὶ χλευασμὸς, καὶ στέφανος ὕβρεως. Νῦν Ἰουδαῖοι, οἳ πρὶν ἐζήτουν ἐξ Οὐρανοῦ σημεῖον, βλεπέτωσαν ἥλιον σκοτιζόμενον, καὶ τὸ φῶς ἐκ τῷ ἀξίων σκότους συγκρύπτοντα. Νῦν καὶ ὁ ἄψυχος

ἥτος

ἔτος Ναὸς κατὰ τὸν ἰουδαϊκὸν προθεσμίαν· ὡς γὰρ Ἰουδαῖοι βλασφημοῦντος τινὸς εἰς Θεὸν, τὰς ἑαυτῶν χιτῶνας ῥηγνύουσιν, οὕτω δὴ καὶ ἔτος ὡς χιτῶνα σχίζει τὸ καταπέτασμα, παρὰ τῶν θεομάχων παροινούμενον βλέπων σε. Σωτείβεται καὶ ἡ γῆ σειομένη, παθαινομένη τῶν κρατούντων. Ἀλλὰ πῶς τὸ πλῆθος τῶν πονηρικιχιλίων ἀνδρῶν, οὓς θαυματουργήσας ἐξέθρεψας, ὅτι μόνος Ἰωσὴφ τολμηρῶς πρὸς Πιλάτον ἐπαρρησιάσατο, καὶ τὸ σὸν σῶμα ᾐτήσατο, ὡς αὖ μὴ διαμείνῃ καὶ ἄταφον· πῶς τῶν ἀσθενῶν αἱ χορεῖαι, οὓς ἐκ ποικίλων ἐρρύσω νοσημάτων; ἢ πῶς καὶ ὡς ἀπὸ ᾅδου ἐξήγειρας; ὅτι μόνον Νικόδημος τὰς ἥλους τῶν χειρῶν σου καὶ τῶν ποδῶν διίσησι, καὶ ὅλον ἐκ τοῦ ξύλου σε καθελὼν, ἐμαῖς ἀγκάλαις ἐπωδυνῶς ἐκτίθησιν, αἳ σε κοὐ πρώην ὄντα βρέφος χαρμοσύνως ἐβάσασαν. Καὶ γὰρ χεῖρες ἐμαὶ κοὐ πρὶν βρεφουργηθέντα ἐξυπηρέτησαν, κοὐ νῦν κηδόμενόν σου δεδόκησιν. Ὦ πικρῶν ἐνταφίων, ὅτι νεκροῖς τὸ ζῆν χαρισάμενος, πρὸ ὀφθαλμῶν μου νενέκρωσαι! Καὶ ἡ πάλαι σε ἀμφὶ τὰ βρεφικὰ διακονήσασα σπάργανα τὰ περὶ τὰ νεκρικά σου τυρβάζομαι. Χλιαροῖς μεταλουσάμενόν σε νάμασι, καὶ θερμοτέροις ἔτι καταντλῶν σε τοῖς δάκρυσιν. Ὠλεναις μυρικαῖς ἀνεκόφιζον, ἀλλὰ σκιρτῶντα καὶ κοὐ τυπτόμενον ἀλόμενον. Ἀνακουφίζω σε καὶ νῦν ταῖς αὐταῖς, ἀλλ' ἄπνουν καὶ κατὰ νεκρὸς ἀναπειμένον. Ἀνέβαπτόν μου τότε τὰ χείλη τοῖς μελιχροῖς σου καὶ δροσώδεσι χείλεσι, ἐμβάπτω ταῦτα καὶ νυῦ, ἀλλ' ἀναλγέοις καὶ μεμυκόσι σου χείλεσι. Μακαρίζεσθαί με πυνθάνεται παρ' ὧν, ὅτι παραδόξως ὡράθην τοῦ πλάσαντός με λοχαγίαις· νυῦ δὲ παλαυίζεσθαί με ἀντεπεγείρεται, ὅτι ἀρέθην τῶν ὑπ' ἐμοῦ κηδαγίων. Ἐκεῖ ὠδῖνας ἐν τῷ τίκτειν ἐξέφυγον, ἔνθεν ὠδῖνας ἐν τῷ θάπτειν εἰσδέχομαι. Βρεφοτρεπῶς με πολλάκις ἐν τοῖς σπάργανοις ἀφύπνωσας, καὶ νυῦ νεκροτρεπῶς ἐν τάφοις κεκοίμησαι. Μακαρίζω τὸν Συμεὼν τὸν ἐξ ἐμῶν χειρῶν ἐν τῷ Ναῷ σε δεξάμενον. Προφῆται δὲ τὰ χαροπὰ καὶ τὰ

τῆς δόξης μοι προφήτευσαν, αὐτὸς δὲ μόνος τὰ σκυθρωπὰ, καὶ τὰ τῆς λύπης προείπατο. Ὦ πῶς ἐμπτυσθῶσι κατεδέξω, ὃς διὰ πτύσματός σε ὀφθαλμὸς ἐκαινούργησας! Πῶς ῥαπισμάτων ἠνέσχε, ὃς διὰ φραγγελίου τὰς θεοκαπήλους ἐμάστιξας, καὶ τῷ ἱερῶν θριγγίων ἐξήλασας; Πῶς ὑπομένεις θανάτου ἐπονείδιστον, ὁ μὴ ἁμαρτήσας; Ἐτρώθης χεῖρας καὶ πόδας· ἀλλὰ τὰς ψυχὰς ἔγνων εἰς μέσην τῶν ψυχῶν τὰς ὀδύνας ἐκπέμποντας. Τὴν πλευρὰν ἐκεντήθης, ἀλλὰ καὶ ἡ ἐμὴ καρδία συνεκεντεῖτό σοι. Συνεσταύρωμαί σοι τοῖς πόνοις. Συνεκέκρωμαί σοι τῷ πάθει, καὶ θαπτομένῳ σωθάπτομαι. Τί ἐμοὶ καὶ τῷ βίῳ, σοῦ μὴ παρόντος, ὦ πλασουργέ μου, καὶ ὁ ποθεινότατος; ἀλλὰ πᾶς τῷ Μαθητῷ ὁ χορὸς, ἵνα μοι παθαινομένῃ συγκλαύσηται; Ἐπατάχθης ὁ ποιμαίνων, καὶ τὰ πρόβατα σφάλλονται. Ὑπνώττεις ἡ κεφαλὴ, καὶ χεῖρες ὁμοῦ καὶ πόδες ἄφρακτοι μένουσι. Κλίνουσι τὰς κεφαλὰς καὶ ἄλλοι νεκρόμενοι, ἀλλὰ προεκλελοιπότος τοῦ πνεύματος. Σὺ δὲ ἐναλλάξ πως ἔκλινας κεφαλὴν, εἶπα καὶ τὸ θανάτου κελευσθέντος ἐλθεῖν, τὸ Πνεῦμα παρέδωκας. Διὸ καὶ κατεαγότα τὰ σκέλη γεγόνασιν, ὅτι μηδὲ τοῦ πάλαι θυομένου ἀμνοῦ ὀστοῦν ὁποιονοῦν κατεθραύετο. Ὡς προσκυνῶ σου τὰ πάθη, καὶ τὸ ὑπομεῖναν σῶμα προσπτύσομαι. Αἵρω τὸ ὕδωρ τὸ ἐκ πλευρᾶς σου ῥυὲν, δι' ἐμοὶ τὸ λουτρὸν τῆς παλιγγενεσίας χαρακτηρίζεται. Ἐξαίρω καὶ τὸ αἷμα τὸ συρρυὲν, δι' ὃ καὶ τὸ διὰ μαρτυρίου ἐξεικονίζεται Βάπτισμα· ὃ καὶ τὸν δίχνωμονα περιῤῥαντίσαν λῃστὴν καθηγίασε, βαπτισθέντα καὶ αὐτὸν τῷ ἐπὶ σοὶ συμβαύτι βαπτίσματι. Ὦ πικρᾶς ἐκείνης τοῦ ξύλου γεύσεως, ἥτις ἀπὸ γῆς εἰς γῆν παλινοστεῖν παρεσκεύασε. Σὺ δὲ οὐκ ἀπὸ γῆς ἐπλάσθης, οὐκ ἀπὸ χοὸς ἐδημιουργήθης, ὁ παρακοὴν ἐπλημμέλησας. Καὶ γὰρ αὐτὸς εἶ ὁ ἐντολὴν νομοθετήσας τῷ πλάσματι, καὶ τί σοι καὶ τῷ θανάτῳ κοινόν; τίς σύνωσις ταφῇ καὶ αὐτοζωῇ; τίς μετουσία θρόνῳ ἐν Οὐρανῷ καὶ τάφῳ ἐπὶ τῆς

γῆς; ἐκεῖ σωτεδειάζεις μετὰ τῦ Παῤῥὸς, ὧδε συνθάπτῃ τῷ πλαστουργήματι. Ἀπέδωκέ σοι πονηρὰ ἀντὶ ἀγαθῶν ἡ μοιχαλὶς γυνεά· νῦν ὁ μαργαρίτης ἐῤῥίφης ἔμπροσθεν τῶν χοίρων. Νῦν προτίθενται τοῖς κυναρίοις τὰ ἅγια. Νῦν ξύλον εἰς τὸν θεῖον ἄρτον ἐμβάλλεται. Ὦ λύσα φιλαργυρίας, ἵνα Ἰούδας σώσῃς! Οὐκ ἀργύρια γὰρ, ἀλλὰ μισανθρωπίαν ἐκέρδησε. Καὶ γὰρ φιλάργυρος ὢν, ἵνα τί προσεφοίτα τῷ τοὺς πτωχοὺς μακαρίζοντι, καὶ τὰ ἄμικτα μιγνύων ἐφαίνετο; Ὦ τῆς ἀῤῥήτε σε οἰκονομίας Δέσποτα! Τίς ὡς Θεὸν ἀξίως ὑμνήσει σε; τίς ὡς νεκρὸν προπόντως τιμήσειεν; ἀλλ' οἰκοδόμησον τὸν νεὼν διὰ τριῶν ἡμερῶν, ὡς εἶπας, ὃν καταλέλοιπας. Κεφάλαιον τῶν λόγων, ἐπεὶ μὴ ὕμνους ἀξίους, μηδὲ προσήκοντας θρήνους ἔχω προσφέρειν, μεγαλύνω σε τὰ ἔργα, ὡς ἐν σοφίᾳ τὰ πάντα ποιήσαντός σε.

ΑΚΑ-

ΑΚΑΚΙΟΥ

Ἐπισκόπου Μελιτηνῆς

Ὁμιλία περὶ τῆς Ἐναν θρωπήσεως τοῦ Χριστοῦ λεχθεῖσα ἐν τῇ ἐν Ἐφέσῳ Σωόδῳ.

Ὁρῶντί μοι, ἀγαπητοὶ, τὸ φαιδρὸν τοῦτο, καὶ πνευματικὸν τῆς ἁγίας Συνόδου συνέδριον, χαίρειν τε ὁμοῦ ἐπέρχεται καὶ θαρρεῖν. Χαίρειν μὲν, ὅτι πάντων ἐλάχιστος ὤν, ἐν τῷ μεγίστῳ τούτῳ τῆς σοφίας πελάγει, τὸ πενιχρὸν τοῦτο τοῦ λόγου σκάφος ἰθύνειν ἐπείγομαι· θαρρεῖν δὲ, ὅτι τὰ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα, καὶ τῇ γαλήνῃ τῆς τοῦ Κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς Ἐκκλησίας ἐπιστρέψει πέλαγος. Εἰ γὰρ δώδεκα ὄντες τοῦ Κυρίου οἱ Μαθηταὶ, ὅτε αὐτοῖς τὸ σκάφος ὑπὸ τῆς βίας τῶν ἀνέμων ἐκυμαίνετο, ὁμοῦ τῷ βοῆσαι πρὸς Κύριον, τοῦ χειμῶνος ἀπελλάττοντο, πόσῳ μᾶλλον τοῦτο νῦν ἐλπίζειν ἡμᾶς ἀναμφίβολον, ὅτε τοσοῦτοι τοῦ Κυρίου Μαθηταὶ, ἐπὶ τὸ αὐτὸ συνδραμόντες, ταῖς οἰκείαις ἐκδυσωπήσουσιν φωναῖς τὸν Κύριον; ὅτε ὁ μέγας ὄντως πάρεστι καὶ σοφὸς Κυβερνήτης, ὅτε βίας ἀνέμων διαβαίνων, ὅτε ζάλης παραχάς, ἀλλὰ συῒ τέχνῃ πολλῇ τοὺς συνερέτας ἐπὶ τὸ πηδάλιον ἄγων, καὶ τούτοις συνεφάπτεσθαι πείθων, καὶ πολλῇ τῇ συμφωνίᾳ πρὸς τὸν Δεσπότην βοῶν, Διδάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα; καὶ ταχέως τῇ παρ' αὐτοῦ φωνῇ, πρὸς τὸν σάλον τῶν κυμάτων δυσωπῶν, λέγει· σιώπα, πεφίμωσο. Θαρρεῖν οὖν, καὶ δίχα εἰσεῖν ἡμῖν ἐπίσης, ἐπὶ τοῖς παροῦσιν ἁρμοδιώτατον, ὅτι περ ἡ δόξασα καὶ τῆς ἀληθείας γεγενῆσθαι αὐτίπροικα, τοὺς τῆς οἰκουμένης φωσῆρας ἐπὶ τὸ αὐτὸ συνδραμεῖν παρεσκεύασεν· ὧν ὁ μὲν βίος Χριστοῦ διῳδία ἐστὶ τῷ Θεῷ, ἡ δὲ διανοια πρὸς μίαν, καὶ τὴν αὐτὴν τῆς ἀληθείας συνῳ-

πται ἐκφώνησιν. Οὐ γὰρ ἄλλα μὲν τὰς προσερχομένας διδάσκομεν, ἄλλα δὲ περὶ τῆς διδασκομένων πιστεύομεν· ἀλλ' ἡμῖν εἷς Κύριος Ἰησοῦς Χριστὸς, ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, Θεὸς Λόγος ὁ αὐτὸς, πρὸ μὲν πάντων τῶν αἰώνων ἐκ μόνου Πατρὸς, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ὁ αὐτὸς τῇ τοῦ δούλου μορφῇ. Ἄνω μόνος ἐκ μόνου, κάτω μόνος ἐκ μόνης. Τὰ αὐτὰ ἀμφότερα θεϊκῶς, ἀνθρωπίνως δὲ τῇ ἡμετέρᾳ σαρκὶ, καὶ νηπιότητι τεχθείς. Ὁ αὐτὸς ἀπαθὴς θεότητι, παθὼν δὲ ὑπὲρ ἡμῶν ἑκουσίως σαρκί· ὁ ἀκουσίως τιμὼν οἰκονομίαν δεξάμενος, ἀλλ' αὐτὸν κενώσας ἑκουσίως, λαβὼν τὴν τοῦ δούλου μορφήν. Καὶ λαβὼν διὰ τί; ἵνα σε σύμμορφον τῆς οἰκείας δόξης ἐργάσηται. Καὶ μαρτυρεῖ Παῦλος, λέγων· ἡμῶν δὲ τὸ πολίτευμα ἐν Οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Ὁ πτωχεύσας ἑκουσίως λαβὼν τιμὴν τοῦ δούλου μορφὴν, ὁ τὴν σῶσιν μὴ παραιτησάμενος, πῶς τὰ τοῦ δούλου παρητήσατο πάθη; εἰ δὲ παρητήσατο, τίνος εἵνεκεν παθητὴν ὄσαν τιμὴν τοῦ δούλου μορφὴν ἀνελάμβανεν; ἀλλ' ἵνα οὐ παρητήσατο, ὅτι λαβὼν τὴν τοῦ δούλου μορφὴν ὑπήκοος γίνεται. Ὁ ἄνω ἐξουσιαστὴς, κάτω ὑπήκοος. Ὁ ἄνω Υἱὸς, κάτω Παιδίον. Καὶ ἀναμιμνήσκω σε τῆς προφητείας. Τί ἐβόα ὁ μακάριος Ἡσαΐας; Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς καὶ ἐδόθη ἡμῖν. Τί ἐστι, καὶ ἐδόθη; οὐ μόνον ἐγεννήθη, ἀλλὰ καὶ ἐδόθη. Ὁ γὰρ ὢν ἐδόθη· ἃ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. Τί ἐστιν ἡ ἀρχὴ τοῦ Θεοῦ Λόγου, γνωμένου ἀνθρώπου; ἡ Ἐκκλησία· καὶ αὐτὸς τί ἐστιν; ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας. Πῶς δὲ ἐπὶ τοῦ ὤμου ταύτην φορεῖ; τὸ συντετριμμένον ἐπὶ τοῦ ὤμου βαστάζει· ὃ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος. Καλεῖται δὲ διὰ τιμὴν οἰκονομίαν. Τί δέ ἐστι τὸ σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, Πατὴρ τοῦ μέλλοι-

λοντος αἰῶνος; Ὁ ἦν ἄνω ἐξουσιαστὴς, κάτω ὑπήκοος. Ὁ ἄνω Υἱὸς, κάτω Παιδίον. Ὁ ἄνω θαυμαστὸς σύμβουλος, κάτω ἄνθρωπος. Ὁ ἄνω Θεὸς ἰσχυρὸς, κάτω ἄνθρωπος, ὁ ῥαπιζόμενός τε, καὶ ὑβριζόμενος, καὶ τῷ Σταυρῷ προσηλωμένος, καὶ τὸν διὰ τάτε δεξάμενος θάνατον. Πάντα γὰρ ταῦτα τῆς τε δούλε ὄντα μορφῆς, ἀδαμῶς ἡ ταύτην λαβοῦσα Θεότης ἐξέκλινεν, ἵνα δι' ἑκάστε τῶν εἰρημένων λύσῃ μὲν ἡμῖν τὰ πρὸς σωτηρίαν κωλύματα, ἀξίαν δὲ τῆς τοσαύτης κενώσεως τὴν ἐνεργεσίαν ἡμῖν χαρίσηται. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· ἃ παραιτοῦμαι εἰπεῖν, ἃ ἐκεῖνος ὑπέμεινεν ὑπὲρ ἐμοῦ. Ἀπαθὴς ὢν, ἃ πεπόνθατο, ἀλλὰ τῷ παθητῷ συνάψας ἑαυτὸν, οὕτω τὰ ὑπὲρ ἐμοῦ ἐδέξατο πάθη. Οὐκ ἀποστερῶ τῆς τιμῆς τὴν Θεοτόκον Παρθένον, ἣν αὐτῇ ἡ τῆς οἰκονομίας ὑπηρεσία κεχάρισται. Καὶ γὰρ καὶ ἄτοπον; ἀγαπητοὶ, Σταυρὸν μὲν τὸν ἐφύβριστον, βασάσαντα, τοῖς θυσιαστηρίοις Χριστοῦ συνδοξάζεσθαι, καὶ ἐπὶ τοῦ μετώπε τῆς Ἐκκλησίας ἐκλάμποντα φαίνεσθαι· τὴν δὲ ἐπὶ τοσαύτῃ ἐνεργεσίᾳ δεξαμένην Θεότητα, τῆς Θεοτόκε ἀποστερηθῆναι τιμῆς. Θεοτόκος οὖν ἡ Ἁγία Παρθένος. Θεὸς γὰρ ὁ ἐξ αὐτῆς τεχθεὶς, καὶ ἐκεῖθεν τὸ εἶναι τὴν ἀρχὴν λαβὼν, ἀλλὰ ἐκεῖθεν τὴν ἀρχὴν τῆς ἐνανθρωπήσεως δεξάμενος. Μὴ οὖν ἀμέλει μνος ἔσο, αἱρετικὲ, ὡς εἰς ἄνθρωπον τὰς βλασφημίας ἐκτείνων. Οὐκ ἄνθρωπός ἐστιν, ὁ ὑπὸ σοῦ εἰς τὴν τοῦ δούλε, καὶ τοῦ κτίσματος τάξιν καταγόμενος. Μὴ ἀνόρθου, Ἰουδαῖε, ὡς ἄνθρωπον φιλὸν σαυρώσας. Οὐχ ὑπὲρ ἀνθρώπε φιλοῦ ἀλγῶν ὁ μακάριος Δαβὶδ ἐβόα κατὰ τοῦ ἔθνους, λέγων· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. Μὴ καταπίπτετω τῆς Ἐκκλησίας τὸ φρόνημα, ὡς εἰς ἄνθρωπον μόνον ἐλπίζουσης, ἀλλὰ πειθέσθω τῷ μακαρίῳ Παύλῳ λέγοντι· εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; οὐ κατὰ ἄνθρωπον, οὐδὲ ὑπὲρ ἀνθρώπε οἱ μακάριοι Α-

πόσολοι ἐν πληγαῖς, καὶ φυλακαῖς, καὶ αἰκισμοῖς τὴν ἑαυτῶν ζωὴν κατανάλωσαν. Οὐ κατὰ ἄνθρωπον, ἢ ὑπὲρ ἀνθρώπου οἱ Ἅγιοι Μάρτυρες κατὰ πᾶσαν τὴν οἰκουμένην ἀθλήσαντες, ἐν κατατομῇ τῶν οἰκείων μελῶν, καὶ καπώσει, τὴν παροῦσαν ζωὴν κατέλιπον. Ἀλλὰ ὑπὲρ τὸν Κύριον ἡμῶν καὶ Θεὸν, τὸν πρὸ αἰώνων ὑπάρχοντος. καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὀφθέντος, καὶ τοῖς ἀνθρώποις συναναστραφέντος, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντος, καὶ εἰς Οὐρανὸς ἀναληφθέντος, καὶ πεντηκοστοῖς ἐφ' ἅπαξ ὀφθέντος, καὶ ἐν ὄψεσι τῶν Μαθητῶν εἰς Οὐρανὸς ἀναχθέντος, καὶ τῷ αὐτῷ τρόπῳ ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς. Αὕτη ἡ μόνη πίστις. Ἐπὶ τούτῳ τῷ θεμελίῳ ᾠκοδομήθη ἡ Ἐκκλησία, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Γένοιτο δὲ πάντων ὑμῶν δι' ἧς φυλαχθέντας ἡμᾶς, δόξαν ἀναπέμψαι τῷ Παναγίῳ Θεῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΘΕΟ·

ΘΕΟΔΩΡΗΤΟΥ

Ἐπισκόπου Κύρου

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

ΛΟΓΟΣ Α΄.

Ἀποδεικτικὸς ἀπὸ Οὐρανοῦ, καὶ Ἡλίου, καὶ Σελήνης, καὶ τῶν λοιπῶν Ἀστέρων.

Νόμος ἐστὶ τοῖς ἀνθρώποις ὑπὸ τῆς φύσεως κείμενος, παῖδας Πατέρων ἀδικουμένων ὑπερμαχεῖν, καὶ δεσπότῃ οἰκέτας, καὶ πόλεων πολεμουμένων πολίτας προκινδυνεύειν, καὶ ἁπαξαπλῶς τοὺς εὖ πεπονθότας, εἰς δυνάμιν τοὺς δι' ἐργάτας ἀμείβεσθαι. Ἴδοι δ' ἄν τις καὶ βασιλέως ὀρθῶς καὶ δικαίως τοὺς ἀρχομένους ἰθύνοντος, καὶ ἡμερότητι κεκοσμημένου τὴν ἐξουσίαν, ἀσπιδηφόρους καὶ δορυφόρους ἐν πολέμοις προθύμως ὑπερασπίζοντας. Καὶ μή μοί τις δι' ὕθλου αἰτιλογήσῃ, καὶ ψεῦδος τῷ λόγῳ καταγορεύσῃ, τὴν παρ' ἀλλοίας, καὶ μασιγίας, καὶ προδότας, καὶ τυράννους εἰς μέσον παράγων. Περὶ μὲν γὰρ τῶν νόμῳ φυλάκων ὁ λόγος, ἐκείνους δὲ ἀχαρίστους, καὶ παραβάτας προσαγορεύειν εἰώθαμεν· τίνυσι δὲ καὶ δίκας τῶν πλημμελημάτων ἀξίας. Εἰδὲ καὶ παῖδας Πατέρων, καὶ δεσπότῃ οἰκέτας, καὶ πόλεων πολίτας, καὶ Βασιλέων δορυφόρους προκινδυνεύειν ἡ φύσις διαγορεύει, πολλῷ μᾶλλον ὁσιώτερόν τε καὶ δικαιότερον, τὸν Θεὸν τοὺς ὑπὸ τοῦ Θεοῦ καὶ γεγενημένους καὶ σεσωσμένους μὴ λόγῳ μόνον ὑπερμαχεῖν, ἀλλὰ καὶ θανάτου αἱρεῖσθαι τὸν ἔσχατον. Καὶ γὰρ Πατέρων ἡμῖν πλησιαίτερος, διὰ αὐτὸ γὰρ κἀκεῖνοι Πατέρες καλοῦνται, καὶ δεσποτῶν κυριώτερος. Ἐνταῦθα γὰρ κατὰ φύσιν, ἀλλ' ὲ κατὰ συμφορὰν οἰκετῶν ἢ δε-

δεσποτεία, καὶ τείχους παντὸς ἀσφαλέστερος· τὸ μὲν γὰρ, κἂν ἁδαμαντινον ᾖ, χειροποίητον ὅμως ἐστὶ, κἂν τῶν μηχανημάτων τὴν ἰσχὺν διαφύγῃ, τοῦ χρόνου τὰς χεῖρας οὐ διαφεύξεται. Ὁ δὲ, ἀΐδιός τε ἐστὶ καὶ αἰώνιος, καὶ πρὸς πᾶσαν ἀρχὴν φυλακὴν, καὶ ἀσφάλειαν· καὶ Βασιλέων τοσούτῳ βασιλικώτερος, ὅσῳ τὸ ἀεὶ ἐν τῷ γενητῷ καὶ φθαρτῷ παραβαλλόμενον, τὸ ἀμέσπτον τῆς ὑπερβολῆς ὑποδείκνυσιν. Ὁ μὲν γὰρ, ἀεί τε ἐστὶ, καὶ αὐτῷ τῷ εἶναι συμπεφυκὸς ἔχει τὸ κράτος. Ὁ δὲ, παρ' ἐκείνου καὶ τὸ εἶναι λαβὼν ἔχει, καὶ τὸ κρατεῖν, καὶ τοῦτο πρὸς ὀλίγον καὶ ὀλίγων, οὐδὲ παρὰ πάντων τὴν τοῦ αὐτοῦ φύσιν εἰληχότων. Ἐπειδὴ τοίνυν καὶ Πατέρων ἡμῖν οἰκειότερος, καὶ Δεσποτῶν κυριώτερος, καὶ πάντων δι' ἔργων προμηθέστερος, καὶ τείχους παντὸς ἀσφαλέστερος, καὶ Βασιλέων ἁπάντων ἀμέτρως βασιλικώτερος, δίκαιον ἡμᾶς τὸν καὶ τὸ εἶναι παρ' αὐτοῦ λαβόντας, καὶ τὸ εὖ εἶναι προσειληφότας, ταῖς βλασφημεῖν αὐτὸν τολμώσαις γλώτταις, τὰς οἰκείας ἀντιπάξαι, καὶ λόγοις δυσσεβέσι τὰς δυσσεβεῖς λόγχας παπαίνουσαι. Οὐχ ἵνα δεομένῳ τοῦ παρ' ἡμῶν ἐπικουρίαν προσάξωμεν (ἀπροσδεὴς γὰρ ὁ τῶν ἁπάντων Ποιητὴς, καὶ πολλῶν γλώττης εἰς ἐπικουρίαν οὐ δεῖται, ὑμνοῦσαν δὲ ἀποδέχεται, καὶ ὑπερμαχοῦσαν ἀμείβεται, καὶ τὸ ψεῦδος ἐλέγχουσαν σεφανοῖ) ἀλλ' ἵνα καὶ τοῦ περὶ αὐτὸν εὐνοιαν δείξωμεν, καὶ τὴν ὁμοδόξων τὸ θράσος, εἰ μὲν δυνατὸν, καταλύσωμεν, εἰδὲ μὴ, διελέγξωμεν γοῦν, καὶ δῆλον τοῖς ἀγνοοῦσι ποιήσωμεν.

Πολλὰ μὲν ἔν καὶ παντοδαπὰ τὴν δυσσεβεῖν αἱρεμένων τὰ σίφη, καὶ διάφορα τῆς βλασφημίας τὰ βέλη, πολυχεδὲς γὰρ καὶ ποικίλον τὸ ψεῦδος, ἁπλῆ δὲ τῆς ἀληθείας ἡ χάρις. Ἡ μὲν γὰρ ποιητικὴ φάλαγξ, πολλὰ τὸ θεῖον τῷ λόγῳ καταμειξάσασα, καὶ τὸ ψεῦδος τῷ τερπνῷ τῶν μυθώδων κεράσασα, καὶ οἷόν τινα κυκεῶνα κατασκευάσασα, τῆς πολυθέου πλάνης τοῖς ἀνθρώποις τοῦ μέθου προσήνεγκεν. Ἡ δὲ ἐν τείβωνι

λδικῷ, καὶ πώγωνι μακρῷ, καὶ κόμῃ κεφαλῆς τινὶ φιλοσοφίαν ὀνειζομένῃ, τῆς ποιητικῆς θεολογίας τὸ καταγέλαστον ὁρῶσα, ἑτέρας πλανῆς ἐπενόησεν ἀξαπάτους, εἰς αὐτὸ τὸ ποιητικὸν ἐκεῖνο βάραθρον ἀπαγάσας· οἱ μὲν γὰρ, τῇ κομψείᾳ τῶν λόγων, καὶ τῇ τῶν ἐνθυμημάτων δεινότητι, τὴν ποιητικὴν περὶ τῶν Θεῶν αἰσχρολογίαν ἐκάλυψαν. Οἱ δὲ, τοῖς πάθεσι τὴν θείαν προσηγορίαν ἀνέθεσαν· καὶ τινὰ μὲν ἡδονὴν, Ἀφροδίτην ὠνόμασαν· Ἄρεα δὲ, τὸν θυμόν· τινὰ δὲ μέθην, Διόνυσον. Ἑρμῆν δὲ, τὴν κλοπήν. Τὴν δὲ φρόνησιν, Ἀθηνᾶν. Καὶ τοιαῦτά τινα μετὰ ἀλαζονικῆς ὀφρύος, καὶ τῆς Ἀττικῆς σωμυλίας περατούμενοι, τὰς πολλὰς τῶν ἀνθρώπων εἰς ἑτέραν εἴδους ἀπάτην μετήγαγον. Καὶ οἱ τὸ φιλοσοφεῖν ὑπισχνούμενοι, καὶ τινὰ ἀπὸ τοῦ σχήματος τιμὴν παρὰ πάντων ὀρεπόμενοι, καὶ τῶν παθῶν κρατεῖν ἐπαγγόμενοι, προσκυνεῖν τὰ πάθη τοὺς ἀνθρώπους ἐποίησαν, καὶ τὸν αὐτοκράτορα Νοῦν τῶν παθῶν ἰδιόχον, θύειν ἐπιθυμίᾳ, καὶ θυμῷ, καὶ κλοπῇ, καὶ μέθῃ, καὶ τοῖς ἄλλοις πάθεσιν ἀνοήτως πεπείκασιν. Ἄλλοι δὲ πάλιν ὠδὴν ὑπὲρ τὰ ὁρώμενα νοῆσαι δυνηθέντες, ἀλλὰ τοῖς αἰσθητοῖς τὸν νοῦν ἐγκαθείρξαντες, τὰ τοῖς ὀφθαλμοῖς εἰς θεωρίαν προκείμενα, θεοὺς προσηγόρευσαν· καὶ τὸ σεπτὸν ὄνομα, καὶ φείδεσθαι ἐμποιοῦν τοῖς ἀκούουσιν, οἱ μὲν τοῖς στοιχείοις, οἱ δὲ μέρεσι τούτων ἐπέθεσαν. Καὶ οἱ μὲν, ἀπὸ ταυτομάτου γεγενῆσθαι τὸν Κόσμον· οἱ δὲ, πολλοὺς αὐθ' ἑνὸς ἐφαντάσθησαν. Καὶ οἱ μὲν, μὴ δὲ εἶναι παντελῶς τὸ θεῖον· οἱ δὲ, εἶναι μὲν, ὠδενὸς δὲ τῶν ὄντων ἐπιμελεῖσθαι. Οἱ δὲ, ἐπιμελεῖσθαι μὲν ἔφασαν, σμικρολόγως δὲ τοῦτο ποιεῖν, καὶ τῇ σελήνῃ περιορίζειν τὴν πρόνοιαν, τὸ δὲ λοιπὸν τοῦ Κόσμου μέρος, ὡς ἔτυχε φέρεσθαι, τῇ τῆς εἱμαρμένης ἀνάγκῃ δουλεύειν ἠναγκασμένον. Εἰσὶ δέ τινες, οἳ καὶ Χριστιανῶν μὲν προσηγορίαν ἔχουσιν, ἀντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν. Οἱ μὲν γὰρ τὸ ἀγένητον εἰς τρία τέμνουσι, καὶ τὸ μὲν, καλοῦσιν ἀ-

γα-

γαθόν· τὸ δὲ, κακόν· τὸ δὲ, δίκαιον. Οἱ δὲ, δύο ἀρχὰς ἀγεννήτους ζωγραφοῦσι τῷ λόγῳ, ἀλλήλαις ἐναντίας ἐκ διαμέτρου. Ἄλλοι δὲ, τοῖς μὲν ἀσεβέσι τούτοις πολεμεῖν ἐπαγγέλλονται δόγμασιν, ἑτέραν δὲ δυσσεβείας ἐπινοοῦσιν ὁδόν. Τὸν γὰρ Μονογενῆ τὸν Θεὸν Λόγον, ὁμολογοῦντες Υἱὸν, ὡς Ποίημα τῇ κτίσει συναριθμοῦσι, καὶ τὸν κτίσλεν ἰσοῦσι μετὰ τῆς κτίσεως· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τῷ δυσσεβεῖ λόγῳ τῆς ἀληθινῆς ἐξορίζουσι φύσεως. Ἄλλοι δὲ ἄλλως τὴν δι' Θεῖαν ὁδὸν ἀπολέσαντες, καὶ τοῖς τῆς προφδλκότων ἴχνεσιν ἀκολουθῆσαι μὴ βουληθέντες, πέρρω που τῆς ἀληθείας ἐγένοντο. Καὶ οἱ μὲν, τὴν ὑπὲρ ἡμῶν γεγενημένην οἰκονομίαν παντελῶς ἀπηρνήσαντο· οἱ δὲ, ὁμολογοῦσι μὲν ἐνανθρωπῆσαι τὸν Θεὸν Λόγον, σῶμα δὲ μόνον ἀνειληφέναι. Οἱ δὲ, ἔμψυχον μὲν καλοῦσι τὴν ληφθεῖσαν σάρκα, ἀ τὴν λογικὴν δὲ καὶ νοερὰν ἐν ταύτῃ γεγενῆσθαι ψυχὴν, ἴσως τὴν οἰκείαν αὐτοῦ τότε τεκμήριον ἔχοντες. Ἡμεῖς δὲ ἀνθρώπου ψυχὴν ἀδεμίαν ἴσμεν ἑτέραν, ἢ τὴν λογικὴν, καὶ ἀθάνατον. Ἀλλὰ τὰς μὲν ἄλλας ἅπασας ἐπὶ τὸ παρόντος καταλείπωμεν· ἃ δὲ δύναται κατὰ πάντων ὁ λόγος κατὰ ταυτὸν ἀφιέναι τῇ ἐλέγχων τὰ βέλη ὡς ἐν παραπέξει. Τοιγαροῦν τὰ μὲν ἄλλα πάντα σίφνι τῇ δυσσεβῶν ἡσυχίαν ἀγέτω, τῇ δὲ τῇ τοῦ Θεοῦ Προνοίᾳ πολεμίους εἰς μέσον ἀγαγόντες τὴν φάλαγγα, ῥήξωμέν τε αὐτὴν τοῖς ἐλέγχοις, καὶ διασπάσωμεν, καὶ τὴν πυκνότητα διαλύσωμεν, καὶ δορυαλώτους ἀγάγωμεν, καὶ ἑλκύσωμεν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Ὁ δὲ λοιπὸς τῶν δυσσεβούντων ὅμιλος, θεωρῶν τάξιν ἔχέτω, καὶ τὸν ἀγῶνα θεάσθω· εἰκὸς γὰρ κἀκείνων ἕκαστον τῶν πραγμάτων, συμπλοκῆς ἰδίας μὴ δεηθῆναι, ἀλλ' αὐτομολῆσαι πρὸς τὴν ἀλήθειαν, τὴν τούτων ἅπτιαν θεασαμένους, καὶ λογισαμένους τῆς ἀληθείας τὴν δύναμιν. Ἀλλὰ γὰρ ἴσως μέλλων ὁ λόγος, καὶ χολαιότερον ὁδοῦν, ἀποκναίσει καὶ τοὺς νῦν ἀπρωμένους, καὶ τοὺς ὕστερον ἐντευξομένους. Περιθέμενοι

τοι-

τοιγαρῦν τῷ παροπλίαν τὸ Πνεύματος, τὸν θώρακα τῆς δικαιοσύνης, τὸν θυρεὸν τῆς Πίστεως, τὴν περικεφαλαίαν τὸ σωτηρίε, καὶ περιζωσάμενοι τὴν ὀσφὺν ἐν ἀληθείᾳ, καὶ ὑποδυσάμενοι τὰς πόδας ἐν ἑτοιμασίᾳ τὸ Εὐαγγελίε τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τῷ μάχαιραν τὸ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεῦ, τῷ ἀγώνων ἐφαπτώμεθα. Καὶ ὑπηχείτω μοὶ ἡ θεία σάλπιγξ, τῷ ἡμετέραν ἀθυμίαν ὑπερείδουσα. Ἡμεῖς δὲ ἐξ αὐτῆς τῆς βαλβίδος τῶν ἀντιπάλων πυθώμεθα, τί δή ποτε τῇ τῆς Προνοίας ἀντιλέγουσι λόγῳ, καὶ ταῦτα Ποιητῷ αὐτῇ εἶναι φάσκοντες; φρὸς γὰ τάτες ἡμῖν ὁ λόγος ἐπὶ τὸ παρόντος γινέθω.

Πόθεν ἐπὶ ταύτην ὡρμήθητε τὴν ἀσέβειαν; τί τῷ ὁρωμένων ὑμῖν ἄκοσμον διαφαίνεται; τί τῷ γινομένων ἄπακτον καθορᾶται; ποῖον τῆς κτίσεως μέρος ἐνδεὲς ἁρμονίας; ποῖον κάλλες, ἢ μεγέθες φροσδεῖται; ποῖον ἐκ διαρμόσως κινέμενον, ταύτην ὑμῖν ἐγκύνησε τὴν ἀσέβειαν; Ἐπισκέψασθε νῦν γᾶν, εἰ καὶ μὴ φρότερον, τῷ ὁρωμένων τὴν φύσιν, τὴν θέσιν, τὴν τάξιν, τὴν σάσιν, τὴν κίνησιν, τὸν ῥυθμὸν, τὴν ἁρμονίαν, τὴν ὥραν, τὸ κάλλος, τὸ μέγεθος, τὴν χτέαν, τὴν τέρψιν, τὴν ποικιλίαν, τὴν ἀλλοίωσιν, τὴν εἰς τὸ αὐτὸ πάλιν ἐπάνοδον, τὴν ἐν φθαρτοῖς διαμονήν. Βλέπετε αὐτὴν τὸ Θεὸ τὴν Πρόνοιαν, δι' ἑκάσε μορίε τῆς κτίσεως διακύπτσαν, καὶ φαινομένην, καὶ φθεγγομένην, καὶ δι' αὐτῷ τῷ φραγμάτων μονονυχὶ βοῶσαν, καὶ τὰ ἀθύρωτα ὑμῶν ἐπισομίζσαν σόματα, καὶ τὰς ἀχαλινώτας ὑμῶν χαλινῦσαν γλώττας. Βλέπετε αὐτὴν ἐν Οὐρανῷ, καὶ τοῖς κατ' Οὐρανὸν φωσῆρσιν, Ἡλίῳ φημὶ, καὶ Σελήνῃ, καὶ Ἄσρασιν, ἐν ἀέρι, καὶ ἐν νέφεσιν, ἐν γῇ, καὶ ἐν θαλάσσῃ, καὶ τοῖς περὶ γλῶ ἅπασιν, ἐν φυτοῖς καὶ βοτάναις καὶ σπέρμασιν, ἐν ζώοις λογικοῖς, καὶ ἀλόγοις, πεζοῖς καὶ πτηνοῖς, καὶ νυκτοῖς, καὶ ἑρπετοῖς, καὶ ἀμφιβίοις, ἡμέροις τε καὶ ἀγρίοις, χειροήθεσί τε καὶ ἀτιθασεύτοις. Σκοπήσατε παρ' ὑμῖν αὐτοῖς, τίς ὁ συνέχων τὰς ὑραίας ἀφί-

ἀφίδας· πῶς ἐν τοσαύταις ἐτῶν χιλιάσιν ἀγήρως ἔμεινεν ὁ Οὐρανὸς, ὐδεμίαν μεταβολὴν ἐκ τοῦ χρόνου δεξάμενος, καὶ ταῦτα παθητὴν ἔχων τὴν φύσιν, ὡς ὁ μακάριος διδάσκει Δαβίδ. Αὐτοί, φησιν, ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Ἀλλ' ὅμως καὶ παθητὴν ἔχων καὶ φθαρτὴν τὴν οὐσίαν, ἔμεινεν οἷός περ ἦν, τῷ τοῦ ποιήσαντος κατεχόμενος λόγῳ. Ὁ γὰρ δημιουργήσας αὐτὸν Λόγος, συνέχει, καὶ τὸ σαθρὸν αὐτῷ καὶ ἑδραῖον μέχρις οὗ ἐθέλῃ χαρίζεται. Τούτου χάριν τοσούτου περὶ αὐτὸν πυρὸς ὀχυμένου, Ἡλίου φημὶ, καὶ Σελήνης, καὶ τῶν ἄλλων φωστήρων ἐν τοσαύτοις ἐναυτῷ κύκλοις, οὐ πήγεται, οὐ ξηραίνεται, οὐκ ἐμπίπραται. Ταύτας γὰρ τοῦ πυρὸς ἡ φύσις τὰς ἐνεργείας ὑπὸ τοῦ ποιήσαντος ἐδέξατο. Χρυσὸν μὲν γὰρ, καὶ ἄργυρον, καὶ σίδηρον, καὶ χαλκὸν, καὶ μόλιβδον, καὶ κασσίτερον, καὶ κηρὸν, καὶ πίσσαν, καὶ ὅσα τοιαῦτα, πήγει, καὶ διαλύει, καὶ εἰς τὴν ῥοώδη μεταφέρει φύσιν· πηλὸν δὲ καὶ τὰ τελματώδη τῷ ὑδάτων ξηραίνει, τὸ ὑγρὸν δαπανῶσα· λίθος δὲ ἔφθη, καὶ τὸ στερέμνιον αὐτῷ ἀφαιρεῖται, καὶ τὴν στερροπάτην φύσιν ἀποδείκνυσι κόνιν· ξύλα δὲ, καὶ χόρτον, καὶ κάλαμον μάλα ῥᾳδίως ἐμπίπρησιν. Ἀλλ' ὅδε τύπων ὁ Οὐρανὸς ὑπομένει· οὐ πήγει γὰρ αὐτοῦ τὸ κρυσταλλῶδες τοσαύτη ἔσα τοῦ πυρὸς ἡ οὐσία, οὐδὲ λυμαίνεται τῇ λειότητι, οὐδὲ χαλαρὸν ποιεῖ τὸ σφαιροειδὲς αὐτοῦ κῦμα, ἀλλ' ὃν ἐξ ἀρχῆς ἔλαχε τάσιν, ταύτην εἰς τέλος διαφυλάττει. Ὁ γὰρ στήσας αὐτὸν ὡσεὶ καμάρων, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖσθαι, τὰς ἐναντίας φύσεις εἰς φιλίαν συνήγαγε. Καὶ ὅτε τοῦ πυρὸς ἡ φύσις ὑπὸ τοῦ πλήθους σβέννυται τῷ ὑδάτων, ὅτε τὸ κρυσταλλῶδες, ἢ ἀερῶδες, ἢ νεφελῶδες ὁρᾶνιον σῶμα, τῇ τοῦ πυρὸς οὐσίᾳ πλείσῃ οὔσῃ, πήγεταί τε καὶ φθείρεται· ἀλλ' ἐκ γειτόνων ἀλλήλοις οἰκοῦντες, τὰς πολεμικὰς κρύπτουσιν ἐνεργείας, καὶ τῷ τοῦ

πε-

πεποιηκότος λόγῳ πειθσύτες, τὴν δι' αἰῶνος φιλίαν ἐπεισαντο· καὶ ταῦτα ἄψυχα ὄντα καὶ νῦν κυβερνήτην μὴ ἔχοντα, ἀλλ' ὅμως μένει τὸν ἐξ ἀρχῆς ὅρον φυλάττοντα. Κυβερνᾷ δὲ τὴν κτίσιν ὁ Ποιητὴς, καὶ ὃ κατέλιπεν ἀκυβέρνητον, ὃ πεποίηκε σκάφος, ἀλλ' αὐτὸς ὢν καὶ ναυπηγὸς, καὶ τῆς ὕλης φυτουργὸς, καὶ κατὰ ταυτὸν τιὼ τε ὕλην δημιουργήσας, καὶ τὸ σκάφος ὑφανάς, κατέχων διατελεῖ τὰ πηδάλια. Καὶ μαρτυρεῖ τῷδε τοσόνδε ἐνιαυτῷδε ὁ κύκλος, καὶ ὁ μακρότατος χρόνος, μὴ διαφθείρας τὸ σκάφος· σῷον δὲ αὐτὸ καὶ ἀκραιφνὲς οὐ μόνον τοῖς πρώτοις, ἀλλὰ καὶ τοῖς ὀψιγόνοις ἐπιδεικνύς.

Ἐπειδὴ τοίνυν εἶδες, ὦ φίλος, ἐν Οὐρανῷ τιὼ τὸ Θεὸ Πρόνοιαν φαινομένω, φέρε σε ξεναγήσωμεν ἐπὶ τὰ λοιπὰ τῆς κτίσεως μέρη. Καὶ καθάπερ τὰ βρέφη τὰ πρῶτον τὸ βαδίζειν ἀρξάμενα, τῆς δεξιᾶς σε λαβόμενοι, καὶ βραχὺ τὴν κτίσιν περινοσῆσαι παρασκευάσωμεν. Κατάβηθι τοίνυν ἀπὸ τῷδε Οὐρανῶν, οἷον εἰς τινα βαθμὸν πρῶτον τὸν Ἥλιον, καὶ μὴ δείσῃς τὸν ἐμπρησμὸν, ἀλλ' ἐπίβηθι, καὶ περισκόπησον. Οὐ γὰρ ἐμπρήσει σε ἀγνωμόνως περὶ τὸν Ποιητὴν διακείμενον, ἀλλ' ὑποδείξει σοι τὸν Δημιουργὸν, ἐναντίως κεχρῆσθαι τῇ τῆς φύσεως ἐνεργείᾳ πελάζοντα. Φιλεῖ μὲν γὰρ τὸ πῦρ καὶ φύσιν τὴν ἐπὶ τὰ ἄνω φορὰν, ὥσπερ τὸ ὕδωρ τὸν ἐπὶ τὸ πρανὲς δρόμον, καὶ ὅτε τοῦτο ἐξ ὑπωρείας εἰς ἀπρώρειαν ἀναγαγεῖν δυνατὸν, οὔτε ἐκεῖνο πεῖσαι κάτω πέμψαι τὴν φλόγα. Ἀλλὰ κἂν μυριάκις τις φιλονεικήσῃ, λαμπάδα κατέχων ἢ δᾷδα, κάτω ταύτῃω μετενεγκεῖν τῇ χειρὶ, ἡ φλὸξ ἐπὶ τὰ ἄνω πάλιν χωρεῖ, καὶ κατὰ τῆς κατεχούσης ἄττει χειρὸς, καὶ ἣν ἔλαβεν ἐξ ἀρχῆς ὁρμὴν ἔχει, ἀλλ' ἐπὶ τῷδε ὅρων τῆς φύσεως ἔστηκε· τῷ δὲ Ποιητῇ πάντα ῥᾴδια· τὸ γὰρ τῇ σῇ μὴ πειθόμενον δεξιᾷ, τοῖς τοῦ Δημιουργοῦ νεύμασιν εἵπετο. Καὶ ἔστιν ἰδεῖν, Ἥλιον, καὶ Σελήνην, καὶ τὸν τῷδε Ἀστέρων χορὸν, τῷ μὲν Οὐρανῷ τὰ νῶτα διδόντας, κάτω δὲ τὰς ἀκτῖνας ἀφιέντας· δοῦλα γάρ ἐστι τοῦ κεκτικότος, καὶ φύ-

σις

σις αὐτοῖς ὁ τὰ ποιήσαντος ὅρος. Σοὶ μὲν γὰρ ἡ πεί-
θεται τὰ πυρὸς ἡ φύσις, ἐδὲ τῆς οἰκείας ἐνεργείας ἐ-
ξίσταται, ὁμόδουλος γὰρ ὑπάρχει· τοῖς δὲ τοῦ Ποιητοῦ
νόμασι πειθομένη, μεταρυθμίζεται, καὶ κατωφερὴς ἡ
ἀνωφερὴς γίγνεται φύσις. Οὕτω τὸ ὑδάτων τὴν φύσιν
ῥοώδη τε καὶ χαύλιον ἔσαι, ἄγει καὶ φέρει μετέωρον, καὶ
κάτωθεν ἀέλκων, μέσην Οὐρανὸν καὶ γῆς ἵσησιν, ἐπ
ἐδενὸς ἐρηρεισμένην, ἀλλὰ λόγῳ μόνῳ ἠωρημένην καὶ
κρεμαμένην. Ἀλλὰ τέως περὶ τῶν νεφῶν μηδὲν ἀκού-
σαι ποθήσης, μηδὲ δραμεῖν ἐθελήσῃς, ἐδέπω βαδί-
ζειν μεμαθηκὼς, ἀλλὰ καὶ βραχὺ τὴν κτίσιν ἐδαίων,
μάθε τῆς δυσεβείας τὸν δρόμον. Βλέπε τοιγαροῦν καὶ
πῦθα τὸ Θεοῦ τὴν Πρόνοιαν, ἐφεσῶσαν Ἡλίῳ καὶ Σε-
λήνῃ καὶ τοῖς ἄλλοις φωσῆρσι, καὶ οἱόντινι φωνῇ παρα-
κελευομένην δαδυχεῖν τοῖς ἀνθρώποις, καὶ οὐχ ἁπλῶς
δᾳδυχεῖν, ἀλλὰ καὶ χρόνου διαστήμα. Ἀνίσχων μὲν γὰρ
ὁ Ἥλιος, τὴν ἡμέραν ποιεῖ, δυόμενος δὲ, καὶ οἱονεὶ
κρυπτόμενος, παραχωρεῖ τῇ νυκτὶ, ἧς τὸ ζοφῶδες,
διὰ Σελήνης καὶ ἀστέρων ὁ Δημιουργὸς κεραύνυσι. Καὶ
ἔστιν ἰδεῖν οἵόντινας ἀδελφὰς, τὴν ἡμέραν φημὶ καὶ τὴν
νύκτα, παρ' ἀλλήλων δανειζομένας εἰς χρείαν ἀνθρώ-
πων τὸν χρόνον, καὶ πάλιν ἀγνωμόνως ἀποδιδόσας. Τὸ
μὲν γὰρ χειμῶνος λήγοντος, καὶ τὸ ἔαρος ὑπολάμποντος,
μείζονα πλείους τῶν ἀνθρώπων οἱ περὶ τὴν ἐργασίαν
πόνοι, ὁδοιποιίαι τε, καὶ ἐκδημίαι, καὶ ἀπὸ λιμένων ἀ-
ναγωγαὶ, καὶ θάλαττα ἐσορεσμένη, καὶ τῆς χειμερινῆς
ἀπηλλαγμένη ταχύτητος, καὶ ἡ γῆ τοῖς λήϊοις κομῶσα
τὸν γηπόνον εἰς ἐπιμέλειαν καλεῖ, καὶ τὰ φυτὰ τὸν φυ-
τουργὸν εἰς τομὴν καὶ κάθαρσιν καὶ ἀρδείαν καὶ τὴν διὰ
σκαπάνης ἐπιμέλειαν, τηνικαῦτα δανείζεται παρὰ τῆς
νυκτὸς ἡ ἡμέρα, αὔξουσα τοῖς ἀνθρώποις τὸν τῆς ἐργα-
σίας καιρόν. Κατὰ βραχὺ δὲ νομίζεται, ἵνα μὴ τῷ
ἀθρόῳ τοῖς χωμένοις λυμήνηται. Πλείων γὰρ ἐξαίφνης
ὁ πόνος γιγνόμενος, λωβᾶται λίαν τοῖς ἀργοῖς ἐπὶ
πλεῖσον διαμείνασι σώμασι, τότε χάειν καταβραχὺ

προσ-

προσλαμβάνει τὴν αὔξησιν. Τῶ δὲ θέρει ἤδη μεσοῦντος, παύεται μὲν δανειζομένη, παραυτίκα δὲ τῆς ἐκτίσεως ἅπτεται, οὐδεμίαν ἡμέραν ἀναβαλλομένη τὴν ἔκτισιν, κατὰ βραχὺ δὲ ὅμως, καθάπερ ἔλαβεν, ἀποδίδωσιν ὅπερ ἔλαβεν· εἶτα κατὰ τὸ μετόπωρον ἰσόμοιρος γιγνομένη, οὐκ αἰσχύνεται μεθυμένη, οὐδὲ πλεονεκτεῖν ἀνέχεται τὴν ὁμόζυγον· ἀλλ' ἕως ἂν ἅπαν ἐκτίσῃ τὸ ὄφλημα, οὐ παύεται λήγουσα, καὶ τοῖς ἀνθρώποις μακρὰν φραγματδομένη τὴν θεραπείαν. Οἶκοι δὲ μένειν πρυμνῶ χάριν, καὶ ὑπνῶ, καὶ πηλῶ, καὶ τραυμάτων ἀναγκαζόμενοι, θυμπρεσβεραν ἔχομεν τῆς ἡμέρας τὴν νύκτα. Εἰσὶ δὲ καὶ οἳ, μακρᾶς ἔτι τῆς νυκτὸς γιγνομένης, τῆς ἀναπαύλης οὐ λαμβάνουσι κόρον, ἀλλὰ τὸν ὄρθρον βλέποντες ὑπολάμποντα, δυσχεραίνουσιν. Οὕτω πάλιν ἡ νὺξ ἀπολαβοῦσα τὸ χρέος, οὐ παραιτεῖται τὸ δάνεισμα. Οὕτως ἅπας ἡμῶν ὁ βίος, διὰ τέτων ὁδεύει, καὶ χρείαν οὐκ ἐλάττω τῆς ἡμέρας ἡ νὺξ τοῖς ἀνθρώποις παρέχει. Πρῶτον μὲν δὴ τὸ σκότος, καὶ τὸ φωτὸς τὸ διάφορον. τερπνότερον ἡμῖν καὶ χαριέστερον τὸ φῶς ὑποδείκνυσι. Διὸ ποθεινότερος ἡμῖν τῆς μεσημβρίας ὁ ὄρθρος· κόρον δὲ τὸ φωτὸς μεθ' ἡμέραν λαμβάνοντες, τῆς νυκτερινῆς ἀναπαύλης δεόμεθα. Εἶτα ταύτης τυχόντες, τὸν μὲν κόρον ἀποτιθέμεθα, ἑπέρασον δὲ ἡμῖν αὖθις γίνεται τὸ φῶς. Οὕτω καὶ τῷ πόνων κορεννύμενοι, μεθημέραν κοπούμενον τὸ σῶμα, νύκτωρ διαναπαύομεν· καὶ κλίνῃ, καὶ ὕπνῳ, καὶ ἡσυχίᾳ τέτο καλῶς θεραπεύσαντες, αὖθις αὐτὸ νέον τοῖς ἔργοις ὑπὸ τὴν ἕω προσφέρομεν. Τοσαύτην ἡμῖν καὶ τοσαύτην ἡ νὺξ παρέχει τὴν χρείαν. Διὰ ταύτην, καὶ μιθωτὸς ἀναπαύεται, καὶ οἰκέτης παῦλαν λαμβάνει τῶ πόνων. Παύει δὲ καὶ τὰς λίαν φιλοπονωτάτας τῆς ἐργασίας τῆς νυκτὸς τὸ ζοφῶδες. Ταύτῃ ἠδέσθησαν πολλάκις καὶ πολεμοῦντες ἄνθρωποι, καὶ νικῶντες, καὶ τὰς ἀντιπάλας διώκοντες, καὶ θεασάμενοι παραγενομένην, τὸ μὲν διώκειν ἐπαύσαντο, σχολαιότερον δὲ φεύγειν τὰς

δρα-

δραπετεύοντας, εἴασαν. Αὖτη, τὰς μὲν ἀνθρώπους οἰκαδε συνάγει, καὶ γλυκεῖαν αὐτοῖς ἐπιφέρει τὸν ὕπνον, ἐξάγει δὲ φορὰς νομὴν τὰ θηρία, καὶ παῤῥησίαν αὐτοῖς τὸ νέμεσθαι δίδωσιν. Ἐπὶ τούτοις ὑμνῶν τὸν τῶν ὅλων Θεὸν, ὁ μέγας ἐβόα Δαβίδ· ἐποίησε Σελήνην εἰς καιρὸς, ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ Ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιμηθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὥστε καὶ ταύτην παρέχει τὴν χρείαν ἡ νύξ, καὶ τὰς ἀνθρώπους διαναπαύσασα, ἀδεῶς τε τῇ ξοφῷ παρέχει τοῖς θηρίοις ποιεῖσθαι. Καὶ ἴσως αὖτις εἴποι τῷ τὴν Πρόνοιαν ἀρνουμένῳ, τί δή ποτε οὐ ἐδημιουργήθη θηρία; ποίαν δὲ τοῖς ἀνθρώποις χρείαν πληροῖ; ἀλλὰ τὴν περὶ τούτων ἀπολογίαν, ἐν τῷ περὶ τῶν θηρίων ἀναμενέτω λόγῳ· πέως δὲ ὁ λόγος οὗτος βαδιζέτω.

Ὅτι τοίνυν ἀναγκαία, καὶ λίαν τοῖς ἀνθρώποις ὠφέλιμος τῆς νυκτὸς ἡ χρεία, ἀπόχρη μὲν ὡς οἶμαι καὶ τὰ εἰρημένα διδάξαι, προθήσει δὲ ὅμως ὁ λόγος ἕτερα, τοῖς προτέροις συμμαρτυροῦντα. Ἐπειδὴ γὰρ θνητὴν ἔχομεν τὴν φύσιν, καὶ περιωρισμένην ζώμεν ζωὴν, ἐχρῆν ἡμᾶς μαθεῖν καὶ τοῦ χρόνου τὰ μέτρα. Νὺξ τοιγαροῦν μέση τῶν ἡμερῶν γιγνομένη, μετρεῖσθαι τὸν χρόνον ποιεῖ. Εἰ γὰρ ἀδιάδοχον μεμενήκει τὸ φῶς, οὐκ ἂν ἐνιαυτῶν μεμαθήκαμεν κύκλους, οὐκ ἂν μηνῶν ἐδιδάχθημεν ἀριθμὸν, μία δ' ἂν ἔδοξεν ἡμέρα παντὸς εἶναι τοῦ παρόντος αἰῶνος τὸ μέγεθος, ὡς περ ἕξειν τὸν προσδοκώμενον αἰῶνα πιστεύομεν. Ἀνέσπερον γὰρ τὴν ἡμέραν ἐκείνην καὶ παντελῶς ἀδιάδοχον ἔσεσθαι δεδιδάγμεθα· τοιοῦτος γὰρ τοῖς ἀθανάτοις ἐσομένοις, καὶ ὁ αἰὼν ἁρμόττει. Ἐπὶ δὲ τοῦ παρόντος πολλῶν ἐνδεεῖς ὄντας διὰ τὸ τῆς φύσεως θνητὸν καὶ ἔπικηρον, ἔ-

δει

δει τῷ χρόνῳ τὰ μέρα γινώσκειν, ἵνα παραθέοντα τοῦτον ἡμᾶς ὁρῶντες, ἡμῶν αὐτῷ ἐπιμελώμεθα, καὶ πρὸς τὴν ἀποδημίαν ἑτοίμως παρέχωμεν. Διαδεχομένη τοιγαροῦν ἡ νὺξ τὴν ἡμέραν, μέρος γίνεται τοῦ χρόνου· καὶ τοῦτο ἑπτάκις γιγνόμενον, τὴν ἑβδομάδα ποιεῖ. Τοῦ δὲ μηνὸς, ἐκ τῆς Σελήνης τὸ μέτρον λαμβάνομεν· ἐντεῦθεν δὴ καὶ τῆς προσηγορίας μετέλαχεν, Μήνη δὴ ὀνομάζεσι τὴν Σελήνην. Αὔξη γὰρ αὐξουμένη καὶ φθίνουσα, καὶ μηνοειδὴς γιγνομένη, καὶ διχότομος, ἀμφίκυρτός τε καὶ πλησιφαὴς, καὶ πάλιν εἰς τὸ ἀμφίκυρτον μεταβαίνουσα σχῆμα, εἶτα ἐκεῖθεν εἰς τὸ διχότομον, καὶ εἰς τὸ μηνοειδὲς αὖθις, τὸν τῷ ξιάκοντα ἡμερῶν ὀλίγων ὡρῶν δεόμενον ἀριθμὸν πληροῖ. Τὸν ἐνιαύσιον δὲ κύκλον, οὐκ ἐκ τῷ μηνῶν μόνων, ἀλλὰ καὶ ἐκ τῶν ἡμερῶν διδασκόμεθα· ἔαρος γὰρ ὑπολάμποντος, μέσον τὸν Οὐρανὸν ὀδεύων ὁ Ἥλιος, ἡμέρᾳ καὶ νυκτὶ τὴν ἰσότητα σραγματεύεται. Ἐκεῖθεν τὰ βορειότερα τῶν ἑῴων καταλαμβάνων, κἀκεῖθεν ἀνίσχων, σμικρύνει μὲν τὰς νύκτας, αὔξει δὲ τὰς ἡμέρας. Θερμότερος δὲ τῇ γῇ σροσβάλλων, τὰς ταύτης πεπαίνει καρπούς. Μέχρι δὲ τῶν εἰωθότων ὅρων ὀδεύσας, ἐπαύεισιν ἀπὸ τῶν ἀρκτῴων ἐπὶ τὰ νότια· καὶ πάλιν ἐν τῷ μετοπώρῳ νυκτὶ καὶ ἡμέρᾳ τὴν ἰσότητα σρυτανεύσας, νοσιώτερος γίνεται, καὶ ταῖς μὲν νυξὶν ἀποδίδωσιν, ἃ παρ' αὐτῶν λαβὼν δέδωκε ταῖς ἡμέραις, παραχωρεῖ δὲ τῷ ἀέρι πυκνοῦσθαι, καὶ νεφῶν πλήρεσθαι, καὶ πᾶσαν ἄρδειν τὴν ἤπειρον. Ἐκεῖθεν ἐπὶ τὴν ἰσημερινὴν ἑπανιὼν τροπὴν, πληροῖ τὸν ἐνιαύσιον κύκλον. Ἐπειδὴ τοίνυν εἶδες Ἥλιόν καὶ Σελήνης τὴν χρείαν, καὶ νυκτὸς καὶ ἡμέραν τὰς ἰσομέρους διαδοχὰς, καὶ τὴν ἐντεῦθεν τοῖς ἀνθρώποις παραφερομένην ὠφέλειαν, βλέπε μοι καὶ τῶν ὡρῶν τοῦ ἔτους τὴν τερπνοτάτην καὶ χρειωδεσάτην χορείαν. Οὔτε δὲ διχῇ τὸν ἐνιαύσιον κύκλον ἐμέρισεν ὁ Ποιητὴς, ἔτε θέρος ἡμῖν ἁπλῶς δέδωκε καὶ χειμῶνα, ἀλλ' ἀπὸ τῶν ἄκρων ἀμέσως ἐπὶ τὰ ἄκρα μεταβαίνομεν,

ἀλλὰ τὸ ἔαρ καὶ τὸ μετόπωρον μέσων λαχόντα τῶν ὡρῶν, τοῦ θρυμνοῦ καὶ τοῦ φλοιμοῦ μέσα γίγνεται· καὶ τὸν ἄνρως ὑγρὸν καὶ ψυχρὸν χειμῶνα, ὁ τὸ ἄνρως ξηρὸν, καὶ θερμὸν διαδέχεται θέρος, ἀλλὰ τὸ ἔαρ, ὃ καὶ τῆς τόπων μετέχον θερμότητος, καὶ τῆς ἐκείνων ψυχρότητος, μίξιν ἀρίστην τῶν ἀφεστηκότων ἐργάζεται, καὶ οἷόν τισι χερσὶ τῶν ἐναντίων ἐπειλημμένον, τῇ μὲν ψυχρότητι τοῦ χειμῶνος, τῇ δὲ θερμότητι τοῦ θέρους, εἰς σύμβασιν ἄγει καὶ φιλίαν τὰ νομιδῇ πολέμια. Διὰ τοῦτο ἀπὸ τοῦ χειμῶνος ἐπὶ τὸ θέρος ὁδεύοντες, ἀλύπως ὁδεύομεν. Κατὰ βραχὺ γὰρ τῆς τότε ψυχρότητος ἀφιστάμενοι, καὶ τῇ ἐκείνου θερμότητι πλησιάζοντες, οὐδεμίαν βλάβην ἐκ τῆς ἀθρόας μεταβολῆς ὑφιστάμεθα. Οὕτως ἀπὸ τοῦ θέρους ἐπὶ τὸν χειμῶνα μεταβαίνομεν, μέσον πάλιν τὸ μετόπωρον γιγνομένου, ὃς ἑῶντος ἡμᾶς οὐθὺς τοῖς ἄνρως ἐναντίοις προσφαῦσαι, ἀλλὰ κεραννὺς τὴν ἄκραν θερμότητα τῇ ἄκρᾳ ψυχρότητι, καὶ κράσιν ἑτέραν ἐργαζομένου, καὶ κατὰ σμικρὸν ἡμᾶς ἐπ' ἐκεῖνο ξυναγοῦντος τὸ ἄνρον. Τοσαύτη περὶ ἡμᾶς ἡ τοῦ πεποιηκότος πρόνοια. Οὕτω καὶ ταῖς τῶν ὡρῶν μεταβολαῖς, ὁ μόνον ἡμῖν τὸ ἄλυπον, ἀλλὰ καὶ τὸ τερπνὸν πραγματεύεται.

Καὶ ἴσως ἄν τις τῶν ἀχαρίστων τοῖς εὖ καὶ καλῶς γεγενημένοις, καὶ σοφῶς καὶ συμφερόντως οἰκονομουμένοις ἐπιμεμφόμενος εἴποι· τί δίποτε αἱ τροπαὶ γίγνονται; Ποίαν δὲ χρείαν ἡμῖν αἱ τῶν ὡρῶν μεταβάσεις ποιοῦσι; ποίων δὲ ἀγαθῶν ὦ σοφώτατε καὶ δεινότατε τῆς Προνοίας κατήγορε, οὐ διὰ τόπων τυγχάνομεν; ἀρχομένου μὲν γὰρ χειμῶνος, σπέρματα καταβάλλομεν. Ὁ δὲ ταύτην ἡμᾶς διδάξας τὴν τέχνην, ξέφει ταῦτα, ὕων ἐκ νεφῶν, καὶ τὸ θαλάττιον ὕδωρ ἀνέλκων τῷ λόγῳ, καὶ μετέωρον ἄγων, καὶ τὴν ἁλμυρὰν ἐκείνην εἰς γλυκεῖαν μεταβάλλων ποιότητα, καὶ τὰς ψεκάδας διακρίνων· καὶ νῦν μὲν σμικρὰς ἀφιεὶς, νῦν δὲ μεγάλας καὶ ῥαιδιὸν φερομένας, καὶ οἷόν τινι κοσκίνῳ διαι-

διαιρῶν τῆ νεφῶν τὰς ὠδῖνας. Διὰ τοῦτο ἡ χειμέριος ὥρα, ἵνα σε τὸν ἀχάριστον διαθρέψῃ, ἵνα σοι τῆ ἀγνώμονι παράσχῃ τῆ αὐαγκαίων τιὼ χρείαν. Ἔαρος δὲ πάλιν ἀρχομένου, οἱ μὲν τῆ γυπόνων, τέμνουσι τὰς ἀμπέλους, οἱ δὲ, ἑτέρας φυτεύουσι. Χαυνουμένα δὲ τῇ τῦ ἀέρος θερμότητι τὰ κλήματα, πρὸς ὠδῖνας ἐπείγεται. Τῦ δὲ θέρους ἀκμάζοντος, καὶ τῦ Ἡλίου σφόδρα τὸν ἀέρα θερμαίνοντος, ὁ μὲν σῖτος εἰς ἀμητὸν τὸν γυπόνον καλεῖ, περκῶσι δὲ σταφυλαὶ, βείθρους δὲ ἐλαῖαι τῦ καρπῦ ζεφομένου, πεπαίνεται δὲ τῆ ὀπωρῶν τὰ γένη. Εἶπα μετόπωρον ἐπιγενόμενον, ταῦτα τελείως πέπονα τοῖς φυτουργοῖς παραδίδωσιν· οἱ δὲ, τιὼ συλλογιῶ ποιησάμενοι, πάλιν ἅπτονται τῆ σπερμάτων. Παῦσαι τοίνυν ἀχαριστῶν, καὶ τοῖς τῆς Προνοίας δώροις, τιὼ Πρόνοιαν διαβάλλων ἐπιχειρῶν, καὶ τοῖς δοθεῖσιν ἀγαθοῖς, τὸν τούτων δοτῆρα τοξεύων. Ἐν ἅπασι τοῖς εἰρημένοις τὴν τῦ Θεῦ κατάμαθε Πρόνοιαν, ἰθύνουσάν τε καὶ κυβερνῶσαν, καὶ πάντων σοι τῆ ἀγαθῶν φραγματευομένην τιὼ ἀφθονίαν. Βλέπε καὶ τῆ Ἀστέρων τιὼ φύσιν, τιὼ θέσιν, τιὼ τάξιν, τὴν ποικιλίαν τῆ σχημάτων, τιὼ τέρψιν, τιὼ χρείαν, τιὼ πορείαν, τὰς ἐπιτολὰς, τὰς δύσεις. Τούτων ὁ τῆ ὅλων Δημιουργὸς πεποίηκεν, οὐχ ἵνα μόνον τὸ ζοφῶδες τῆς νυκτὸς φωτίζωσι, καὶ ἐν ἀσελήνῳ νυκτὶ τὸ φωτὸς τοῖς ἀνθρώποις τιὼ χρείαν παρέχωσιν, ἀλλ' ἵνα καὶ ὁδίτιὼ παραπέμπωσι, καὶ τὸς πλέοντας ξεναγῶσιν. Εἰς γὰ τόπους ἀφορῶντες οἱ ναυτιλλόμενοι, τιὼ ἀξιβῆ τείβον ὁδεύουσι, καὶ τῆ τόπων θέσει προσέχοντες, τὸ σκάφος ἰθύουσι, καὶ πρὸς ὃς ἂ ἐθέλωσιν ἀπευθύνουσι λιμένας. Ἐπειδὴ γὰ ὁ δέχεται τῆ ὑδάτων ἡ φύσις ἵππων καὶ ἡμιόνων καὶ ὁδοιπόρων ἴχνη, καὶ ἁμαξῶν, καὶ χημάτων γραμμὰς, οἷς οἱ ὁδῖται προσέχοντες, ἀναμφιβόλως τιὼ πορείαν, ποιοῦνται, δέδωκε τῆ ὅλων ὁ Δεσπότης τοῖς τὰ μακρὰ πελάγη διαπερῶσιν, οἷον ἴχνη τινὰ τῶν θαλαττίων τείβων, τῆ ἀστέρων τιὼ θέσιν. Ὦ τῆς ἀρ-

ἀῤῥήτε φιλανθρωπίας! Ὦ τῆς ἀφράστου σοφίας! Τίς
αὖ ἀξίως θαυμάσειε τῆς τοῦ Θεοῦ Προνοίας τὸ ἀγα-
θὸν, τὸ δυνατὸν, τὸ ἐν ἀπόροις εὔπορον, τὸ ἐν ἀμη-
χανοις μήχανον, τὴν μεγαλεργίαν, τὴν εὐπορίαν;
Ἀληθῶς ἀθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμέ, ἐκρα-
ταιάθη, οὐ μὴ δυνώμαι πρὸς αὐτὴν, βοῶ κἀγώ. Εἰ
δὲ ἐμοὶ πείθοιο, ταύτην σὺν ἐμοὶ καὶ σὺ τὴν φωνὴν
ἀφήσεις, καὶ τὸν Εὐεργέτην εἰς δυνάμιν ὑμνήσεις, καὶ
μυρίοις ἔργοις εὐεργετούμενος, λόγους εὐγνώμονας α-
ποδώσει. Ἵνα δέ σε νῦν τὸ βαδίζειν ἀρξάμενον, μὴ
μακρὰν ὁδὸν ὁδεῦσαι παρασκευάσαντες, πόνον σοι προ-
ξενήσωμεν, ἐνταῦθά σε τέως διαναπαύσωμεν· καὶ τὴν
ἐν Οὐρανῷ, καὶ τοῖς κατ' Οὐρανὸν φωστῆρσι Πρόνοιαν
τοῦ Θεοῦ φαινομένην, θεωρεῖν καταλείψομεν. Εἰκὸς
γάρ σε πεδηγηθέντα, καὶ καθ' ἑαυτὸν τὴν θεωρίαν αὐ-
ξῆσαι, καὶ τὰ σωτηρίας χάριν ὑπὸ τοῦ λόγου κατα-
λειφθέντα, ἐκ τῶν εἰρημένων ὁρᾶν, καὶ μετὰ τοῦ Προ-
φήτου βοῆσαι· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε,
πάντα ἐν σοφίᾳ ἐποίησας. Σοὶ δόξα εἰς τοὺς αἰῶνας.
Ἀμήν.

ΠΕΡΙ

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

ΛΟΓΟΣ Β'.

Ἀποδεικτικὸς ἀπὸ ἀέρος, καὶ γῆς, καὶ θαλάττης, καὶ ποταμῶν, καὶ πογῶν.

Οἱ ταῖς τῆς Προνοίας νηίαις ἀπισθέντες, καὶ τὸν Οὐρανοῦ καὶ γῆς κόσμον νηνόχθαι δίχα μὴ τοσαύτης ἁρμονίας καὶ τάξεως φέρεσθαι λίαν ἀνοήτως ἰσχυρίζομενοι, ἐοικέναι μοι δοκοῦσιν, ὥσπερ αὐτὶς ἐν νηῒ καθήμενος, καὶ τὸ πέλαγος διαπεραιούμενος, καὶ τὸν κυβερνήτην ὁρῶν τῇ οἰάκων ἐπειλημμένον, καὶ τὰ πηδάλια πρὸς τὴν χρείαν κινοῦντα, καὶ νεὼς μὲν τὸ δεξιὸν φέροντα, νεὼς δὲ τὸ ἀριστερὸν μεταφέροντα, καὶ τὸ σκάφος πρὸς ἃς αὖ ἐθέλει λιμένας ἰθύοντα, ἀργοῖτο προφανῶς ἔτω ψοδόμενος· καὶ αὐτίκρυς τῇ ἀληθείᾳ μαχόμενος, καὶ μήτε κυβερνήτην ἐπὶ πρύμνης ἑστάναι, μήτε πηδάλια τὸ σκάφος ἔχειν, μήτε τῇ κινήσει τῆς οἰάκων ἰθύεσθαι· ἀλλ' αὐτόματον φέρεσθαι, καὶ τὰς τῆς κυμάτων περιγίνεσθαι ῥύμης, καὶ τῇ τῆς πνευμάτων ἐμβολῇ διαμάχεσθαι· καὶ μήτε ναυτῶν ἐπικούρων δεῖσθαι, μήτε κυβερνήτου, τὸ κοινῇ συμφέρον τοῖς ἐρέταις προστάττοντος. Ἐναργῶς γὰρ ἔστι, καὶ λίαν προφανῶς τὸν ἁπάντων Δεσπότην ὁρῶντες ὡς ἐποίησε κτίσιν ἰθύνοντα, καὶ πάντα ἐν ῥυθμῷ καὶ τάξει ἄγοντά τε καὶ φέροντα, καὶ τὴν ἁρμονίαν ἑκάστῳ τῶν γινομένων ἐμφέπουσαν, κάλλος ὁμοῦ καὶ χρείαν ἐν ἁπάσῃ θεωροῦντες τῇ κτίσει, καὶ ἐν ἑκάστῳ δὲ μορίῳ ταύτης ἄμφω ταῦτα διαλάμποντα, εἰκότως τυφλώττουσι, μᾶλλον δὲ ὁρῶντες ἀναισχυντοῦσι· καὶ τὰ δῶρα τῆς Προνοίας λαμβάνοντες,

οἷς λαμβάνουσι λοιδορῦνται, καὶ δι' ὧν ἀπολαύουσι, τῷ κηδεμόνι πολεμοῦσιν. Ἤρκει μὲν οὖν, εἴπερ ἤθελον δίγνωμόνως ἀκούειν, καὶ τὰ χθὲς εἰρημένα περὶ Οὐρανοῦ, καὶ Σελήνης, καὶ Ἡλίου, καὶ τῶν ἄλλων φωστήρων, πεῖσαι αὐτοὺς σωφρονεῖν, καὶ τὸν δεσπότην ὑμνεῖν· ἵνα δὲ μήτις τῶν τὸν Σελήνης ὅρον τῇ Προνοίᾳ τεθεικότων, καὶ μέχρι ταύτης αὐτὴν διήκειν εἰρηκότων, καὶ λίαν αὐτὴν σμικρολόγον ἀποφηναμένων, ἐφόδιον εἰς βλασφημίαν λάβῃ τῶν λόγων τοὺς συμμετρίαν, δεῦρο δήσε πάλιν, ὦ φιλότης, ἐκεῖθεν διὰ τοῦ ἀέρος ἐπὶ τὴν γῆν καταβιβάσωμεν, καὶ κατὰ βραχύ σε πάλιν καθάπερ τῇ προτεραίᾳ ποδηγήσαντες, ὑποδείξωμεν καὶ ἐν τοῖς βραχυτάτοις τῆς κτίσεως μορίοις φαινομένῳ ταύτῃ καὶ δεικνυμένῳ τοῖς προσέχειν ἐθέλουσι· καὶ ἁπαξαπλῶς τοῖς γνωτὴν λαχοῦσι φύσιν, κοινῇ καὶ ἰδίᾳ συμπαρομαρτοῦσαν ἀεί.

Ὁδῷ τοίνυν βαδίζοντες, ἐξετάσωμεν τοῦ ἀέρος τὴν φύσιν, πῶς λεπτοτάτη μέν ἐστι, καὶ διολισθαίνουσα, καὶ ῥαδίως διαφθίγγουσα, καὶ τῶν συνεχόντων δεομένη. Διὸ τῶν ὅλων ὁ Ποιητὴς Οὐρανὸν, καὶ γῆν δημιουργήσας, ἐν μέσῳ τούτων διέχεε, καὶ τούτῳ τεῖχος ἀῤῥαγὲς διὰ τῶν δύο τούτων σωμάτων μηχανησάμενος, καὶ αὐτὸν τοῖς ἐν μέσῳ τούτων ἐμψύχοις σώμασι, ζωῆς συνεργὸν ἀποφήνας. Τοῦτον γὰρ καὶ ἡμεῖς ἀναπνέοντες ζῶμεν οἱ ἄνθρωποι, καὶ τῶν ἀλόγων δὲ ζώων ὅσα πτηνὰ, καὶ ἑρπετὰ, καὶ ἀμφίβια, τοῦτο ἔχει τῆς ζωῆς συνεργόν. Οὗτος κινούμενος, τὴν ἀπὸ τῶν νεφῶν ἀρδείαν παραπέμπει τῇ γῇ. Τούτῳ τὸ φῶς ὀχήματι κεχρημένον, ἑσιᾷ τῶν ὁρώντων τὰς ὄψεις. Οὗτος Ἡλίῳ καὶ γῇ μεσιτεύων, τὸ σφοδρὸν τῆς ἀκτῖνος κεραύνυσι, καὶ τῇ οἰκείᾳ ὑγρότητι καὶ ψυχρότητι, τοῦ ἐκείνου καταφραύνων ξηρότητα καὶ θερμότητα, ἄλυπον ἡμῖν παραματεύεται τὸ φῶς τοῦ ἀπόλαυσιν. Ἵνα δὲ μὴ νομίσῃς αἴτιον τούτων τῶν ἀγαθῶν τὸν ἀέρα, μάθε ὡς καὶ τούτου τοῦ ἀμε-

ἀμετρίαν, ἡ τὸ Ἡλίου κοιμίζει θερμότης. Ἀκραιφνῆ γὰρ οὐδεὶς αὖ λέγοι τὴν τοῦ ἀέρος ψυχρότητα· καὶ μάρτυς ἡ χειμέριος ὥρα. Ἐν ταύτῃ γὰρ, ἐπὶ τὰ νοτιώτερα τὸ πόλε διαβέχων ὁ Ἥλιος, καὶ τὰ βορειότερα, καὶ τὰ μέσα καταλιμπάνων, ἄδειαν δίδωσι τῷ ἀέρι κεχρῆσθαι τῇ φύσει. Οὐ χάριν, μηκέτι ὁμοίως δαπανώμενος ὑπὸ τῆς τὸ Ἡλίε θερμότητος, πυκνούμενος δὲ καὶ συχνὸς γινόμενος, καὶ ὑετὸν ἀφίησι λαῦρον, καὶ τῇ σφοδροτέρᾳ τῆς ἀνέμων προσβολῇ τὸπον ἐξαφρίζων, εἰς νιφετὸν μεταπήγνυσι καὶ χάλαζαν, καὶ τὴν ἐν ταῖς καθαραῖς αἰθείαις ἀποσάζουσαν δρόσον τῇ αὔρᾳ πηγνὺς, ψυχρότητι τῷ πάχνῃ ἐργάζεται. Καὶ ταῦτα εἰ καὶ πόρρωθεν, ἀλλ' ὅμως τῷ Ἡλίῳ θερμαινόμενος ἀποβάλλει. Ἔστι δὲ καὶ ἐντεῦθεν ἀκριβῶς καταμαθεῖν τὸ Θεοῦ τὴν προμήθειαν. Ἐπειδὴ γὰρ πολλὴ καὶ μεγάλη τῆς στοιχείων ἡ χρεία, καὶ πρὸς τῇ χρείᾳ, πολὺ τὸ κάλλος, καὶ ἄῤῥητος ἡ ὥρα, τὰ δοκοῦντα λυπρὰ γίνεσθαι διὰ τούτων ὁ παύσοφος ὠκονόμησεν, ἵνα μὴ Θεοὺς, ἀλλὰ Θεοῦ ποιήματα ταῦτα εἶναι πιστεύωμεν ἰθυνόμενά τε καὶ κυβερνώμενα ᾗ αὐ ἐκεῖνος ἰθύνῃ. Τούτε χάριν ὁ τῆς ζωῆς ἡμῶν συνεργὸς ἀνὴρ, ὃν ἀναπνέοντες διαζῶμεν ἅπαντες, ὁ κοινὸς οὗτος θησαυρὸς, καὶ πνεομένων καὶ ἐπὶ πλούτῳ βρενθυομένων, οἰκετῆς καὶ Δεσποτῆς, ἰδιωτῆς καὶ Βασιλέων, οὐ μᾶλλον τοῦ πλούτου ἀναπνέουσι οἱ τῇ ἀλλεργίδι νοσοῦντες, ἀλλὰ τοῦ ἰσομοιρίᾳ κατὰ τὴν τούτε χρείαν ἅπασα τῆς ἀνθρώπων φύσις τετίμηται, οὐ μόνον ἡμᾶς δ' ὄφραίνει ταῖς ἀναπνοαῖς, καὶ ταῖς αὔραις, καὶ τῇ τοῦ ὑετοῦ χορηγίᾳ, ἀλλὰ καὶ αἰτίᾳ τῆς κρυμοῦ, διδάσκων ἡμᾶς, ὡς οὐκ ἀρκεῖ μόνος εἰς ζωογονίαν, καὶ τῆς ζώντων τὴν θεραπείαν. Οὕτως ὁ Ἥλιος ὁ μόνον δ' ὄφραίνει τῇ προσβολῇ τῆς ἀκτίνων ἡμᾶς, καὶ τὴν διαφορὰν διδάσκει τῆς ὁρωμένων σωμάτων ὄγκων τε καὶ χρωμάτων, ἀλλὰ καὶ αἰτίᾳ τῇ προσβολῇ τῆς ἀκτίνων, κἂν μὴ τὸν ἀέρα κινήσας ὁ τοῦ παντὸς ἡνίοχος, αὔρας ἡμῖν

μῖν ψυχρὰς προσενέγκῃ, ὁ προσκυνηθεὶς οὗτος ὑπὸ τῶν ἀνοήτων Ἥλιος, ἅρδην ἐμπίπρησιν ἅπαντα, καὶ τὸ ζῆν ἀφαιρεῖται τοὺς προσκυνέντων. Οὐδὲν τοιγαροῦν τῶν στοιχείων αὐτὸ καθ' ἑαυτὸ τῆς ζωῆς τυγχάνει παρεκτικὸν, ἅτε μὴν ἅπαντα κοινῇ κερανύμενα, δίχα τῆς τὰ πάντα κυβερνώσης δυνάμεως, ἀγαθῆ τινος αἴτια γίνεται. Ἔστι δὲ πάλιν ἰδεῖν, εἰς εὔκρατον μὲν τὸ ἀέρα γεγυμνόν, ἐπὶ καιρὸν δὲ παραχεθὲν τὸν ὑετὸν τῇ γῇ, ἀλύπως τὸν Ἥλιον ταῖς ἀκτῖσι χρησάμενον, τὰς τῶν ἀνέμων αὔρας κινηθείσας ἐν τάξει, τοὺς γηπόνους ἐπιμελῶς τιθὶ γλῶ γεωργοῦντας, σωθῆναι καταβάλλοντας τὰ σπέρματα, καὶ ἅτε τιθὶ γλῶ δύγνωμόνως ἐκτίσασαν τὰς καρπὰς, ἅτε τῶν ἀνθρώπων τὴν φύσιν ἄσσον διαμείνασαν. Ταῦτα δὲ ποιεῖ τῶν ὅλων ὁ Πρύτανις, πείθων ἡμᾶς μὴ τῇ κτίσει θαρρεῖν, μήδ' εἰς αὐτὴν ἀναφέρων τῶν ἀγαθῶν τιθὶ αἰτίαν, ἀλλὰ τῷ ταύτης δημιουργῷ προσφέρειν.

Ἐπειδὴ τοίνυν εἶδες καὶ τὸν ἀέρα τῆς τῷ Θεῷ ἀπολαύοντα Προμηθείας, καὶ δι' ἐκεῖνον τοσαύταις ἐτῶν χιλιάσιν ἀρκέσαντα, καὶ μήτε ὑπὸ τῶν ἀναπνεόντων ζώων δαπανηθέντα, μήτε ἐκτὸς τῶν συνεχόντων αὐτὸν σωμάτων ἐκρύσαντα, δεῦρό σε πρὸς τὴν γῆν ἀγάγωμεν, τὴν κοινὴν τροφὸν, καὶ μητέρα, καὶ πάφον· ἐξ ἧς σε τὸ σῶμα τὸ πήλινον, καὶ τὸ στόμα τὸ κατὰ τὸν Πλάστα λαλῆν μεγάλα, καὶ τὴν τῶ Δαυὶλ ὀπτασίαν. Βλέπε τοιγαροῦν ταύτης πρὸ τῶν ἄλλων ἁπάντων τιθὶ θέσιν, καὶ τῶν χημάτων τὴν ποικιλίαν. Οὔτε γὰρ ὑπτία πᾶσα, ἅτε προσαύτης, ἀλλ' εἰς ὄρη καὶ νάπας καὶ πεδία διῄρηται. Ἴδοι δ' ἂν τις πεδίων ἐν μέσῳ μεγάλων λόφους εἰς ὕψος ἐγηγερμένους, καὶ μεταξὺ τῶν ὀρῶν φρικεῖς τινας τόπους καὶ λείους, ἐν κόλποις τισὶν θαλαττίοις χήματι. Καὶ τὰ ὄρη δὲ αὐτὰ πρὸς χρείαν τῶν ἀνθρώπων διεῖλεν ὁ Ποιητὴς, καὶ εἰς χειμάρρους διασήσας βαθεῖς, τοῖς τε χειμερίοις ὕδασι τὰς πορείας ἐμηχανήσατο, καὶ τοῖς ἀνθρώποις ἀπό-

πό-

πόρους ἐν ταῖς δυσχωρείαις τὰς ὁδὸς ἐτεκτήνατο· καὶ τὰ μὲν ὄρη παρέχει τῇ τῶν οἰκοδόμων τέχνῃ τὰς ὕλας, τὰ δὲ πεδία τοῖς ἐν τοῖς ὄρεσι διαιτωμένοις ἀντιδίδωσι τῶν πυρῶν τὴν ἀφθονίαν· ἢ τὸ ποικίλον τῆς θέσεως, οὐ ξένον μόνον, ἀλλὰ καὶ τέρπει τῶν ἀνθρώπων τὰς ὄψεις. Φιλεῖ γὰρ τὰ μονοειδῆ ταχὺν ἐπάγειν τὸν κόρον. Εἰπέ μοι, τίς ὁ ταῦτ' ἄπω διακοσμήσας; τίς ὁ τοσαύτην αὐτοῖς ἐναποθέμενος δύναμιν, ὥστε τοσούτων ἐνιαυτῶν κύκλους μὴ δαπανῆσαι τὸν θησαυρόν; τίς ὁ τὰ ὄντα διαφυλάττων ἀκίνητα; τίς ἐπείγει τῶν ποταμῶν τὰ ῥεύματα; τίς ὠθεῖ τῶν πηγῶν τὰς δίνας; Βλέπε ταύτας ὧδε μὲν ἐν ταῖς τῶν ὀρῶν κορυφαῖς ἀναβλυζούσας, ἐκεῖ δὲ, ὧδ' ἐν ταῖς ὑπωρείαις φαινομένας, ἀλλ' ἐκ βαθυτάτων φρεάτων παρεχούσας τοῖς ἀνθρώποις τὰ νάματα. Ἵνα γὰρ μὴ νομίσῃς αὐτόματον ἄττειν ἄνω τῶν ὑδάτων τὴν φύσιν, διδάσκει σε ὁ Ποιητὴς διὰ τῶν φαραγμάτων, ὡς τῷ θείῳ λόγῳ πειθόμενον τὸ ὕδωρ, καὶ τὰς ἀπορρείας ἀπόνως καταλαμβάνον, ὧδε βιαζόμενον ὑπὸ τῆς σῆς τέχνης, εἰς τὴν τῶν πεδίων ἄνεσιν ἐπιφάνειαν. Ἀλλ' ὀρύττεις μὲν καὶ βαθύνεις τὰ φρέατα, ἀπολαύσεις δὲ τῶν ὑδάτων κάτωθεν ἀνιμώμενος· ὁμόδουλος γὰρ, ἀλλ' ὁ Ποιητὴς τῶν στοιχείων ὑπάρχεις. Τῷ δὲ Ποιητῇ ῥάδιον, οὐκ εἰς ἀπορρώαν μόνον, ἀλλὰ καὶ εἰς ἀέρα μέσον ἀναπάσαι τῶν ὑδάτων τὴν φύσιν, καὶ τὴν πικρὰν γλυκᾶναι, καὶ πῆξαι τὴν λελυμένην, καὶ λύσαι τὴν δεδεμένην, καὶ τὴν συνεχῆ διακεῖναι, καὶ τὴν ῥοώδη στῆσαι, καὶ τὴν κάτω φέρεσθαι πεφυκυῖαν ἀναζέχουσαν δεῖξαι, καὶ τὴν ψυχρὰν δίχα πυρὸς θερμανθῆναι. Καὶ ταῦτα ποιεῖ διὰ σὲ τὸν ἀχάριστον, ἵν' ἔχῃς ἀπολαύειν καὶ θερμῶν ἀχειροποιήτων, ἵνα τὰ τοῦ σώματος θεραπεύσῃς παθήματα. Καὶ ταῦτα δὲ πάλιν ποικίλα σοι προύθηκεν, εἰς ἐναντίας χρείας ἁρμόζοντα· τὰ μὲν γὰρ, χαυνοῖ τὰ τεταμένα τῶν νεύρων· τὰ δὲ, σφίγγει καὶ τονοῖ τὰ λελυμένα. Καὶ τὰ

μὲν, φλέγματι πολεμεῖ, τὰ δὲ, μελαίνῃ χολῇ, τὰ δὲ, ἕλκη ξηραίνει. Τοσαύτην καὶ ἐν τοῖς θερμοῖς ὕδασι χρείαν ὁ κηδεμών σοι προσέθηκε. Σὲ δὲ ὑδὼν πείθει μὴ βλασφημεῖν, ἀλλὰ μένεις ἀχαρίστων, καὶ λοιδορῶν, καὶ τὰ Μανιχαίων νοσῶν, ὃς σιτίων καὶ ποτῶν ἀπολαύων, λοιδορεῖται τοῖς χορηγοῦσι, καὶ θεοῖς σαῖς ἐμοῖ καὶ ἀρτοποιοῖς, καὶ τοῖς τὸν ἄρτον διχῇ τέμνουσιν ἐπαρᾶται, αὐτὸς τέμνειν μὲν οὐκ ἀνέχόμενος, ἐθίων δὲ τὸ τεμνόμενον. Οὕτω καὶ σὺ μυρίων ὅσων ἀγαθῶν ἀπολαύων, ὧν ὁ Δημιουργός σοι προσφέρει καθεκάστην ἡμέραν διὰ τῆς κτίσεως, ἀχαριστεῖς τῷ προσφέροντι, καὶ λοιδορῇ, καὶ βλασφημεῖς, λέγων αὐτὸν μὴ προνοεῖν ὧν πεποίηκεν. Ὅρα δὲ πόσην ἀδικίαν αὐτῷ καταψηφίζῃ, τοιαῦτα συκοφαντῶν. Τί δήποτε γὰρ καὶ πεποίηκε, τούτων ἐπιμελεῖσθαι μὴ θέλων; τίνος δὲ χάριν ἐκτίσται, ὡς δυνάμενος μὲν, οὐ βουλόμενος δέ; ἀλλ' ὅτι μὲν δύναται, μαρτυρεῖ τὰ γεγονότα. Πῶς γὰρ ἂν ἐποίησε τῷ ὁρωμένων τὰ κάλλη, τὰ μεγέθη, τὴν ἁρμονίαν, δύναμιν οὐκ ἔχων ἀρκέσασαν τῇ γλώττῃ; πῶς δ' ἂν εἰς κοινωνίαν καὶ χέσιν τὰ διεστῶτα συνήγαγεν, ὕδωρ καὶ πῦρ, ἡμέραν καὶ νύκτα, καὶ μίαν ἐκ πάντων ἁρμονίαν καὶ συμφωνίαν εἰργάσατο, ὁ προνοεῖν οὐ δυνάμενος; μεῖζον γὰρ πολλῷ τῷ μέρῳ, τὸ οὐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγεῖν, τοῦ τῶν ὄντων προνοεῖν. Ἀλλ' ὅτι μὲν δύναται, μάρτυς ἡ κτίσις, ὅτι δὲ τῷ βούλεται, πάλιν αὐτὴ μαρτυρεῖ. Οὐ γὰρ ἄλλου τινὸς ἀναγκάζοντος ἐπὶ τὴν δημιουργίαν ἐλήλυθεν, ἀλλ' ὅτε μὲν ὡς δεόμενος τὴν κτίσιν παρήγαγεν, ἀλλ' ἀγαθὸς ὢν, καὶ ἀγαθότητα ἔχων μέρος παντὸς μείζονα, ἠθέλησε καὶ τοῖς μὴ οὖσι τὸ εἶναι δωρήσασθαι. Ὁ δὲ τοσαύτην περὶ τὰ μὴ ὄντα χρησάμενος ἀγαθότητι, πῶς ἂν γεγονότων ἀμελήσειεν; οὔτε γὰρ ἐστὶν εἰπεῖν, ὡς ἐφθόνησε γεγονόσιν. Ἄφθονον γὰρ ἔχει τὴν φύσιν, καὶ πάθος παντὸς ἐλεύθερον. Ἵνα δὲ ἐκ πολλῶν τοῦ περιόντος γυμνάσωμεν

τὴν

τὼ τῆς ἀσεβείας ἀσθενείαν, σμικρόντι αὐτὸς προσερωτήσωμεν. Τί δήποτε γὰρ, εἴπατε, τῇ τὸ εἶναι παρ' αὐτῆ λαβούσῃ ἐφθόνησε κτίσει; διὰ τὸ μέγεθος; ἀλλ' αὐτὸς ἄκτιστός ἐστι καὶ ἀόριστος, ὅτε ἀρχὼ ἐχούσης, ὅτε τέλος δεξάμενος πώποτε, πάντα περιέχων, ὑπ' ὀδενὸς περιγραφόμενος. Ἐν τῇ χειρὶ γὰρ αὐτῆ τὰ πέρατα τῆς γῆς, καὶ αὐτὸς ἐμέτρησε τῇ χειρὶ αὐτῆ τὸ ὕδωρ, καὶ τὸν Οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὼ γὼν δρακί. Ἀλλὰ διὰ τὸ κάλλος; ἀλλ' ὑπ' αὐτῆ γεγένηται· ὀδεὶς δὲ ὀδὲ τῶν ἄγαν φθονερωτάτων ἀνθρώπων, οἰκίαν διαφερόντως καὶ λαμπρὰν δειμάμενος, ἐφθόνησε ταύτη πώποτε, ἀλλ' ἐναμβρύνεται, καὶ σεμνύνεται, καὶ ἔτός τε γαίνυται, καὶ τοῖς ἀγνοοῦσιν ὑποδείκνυσιν. Ὅσον δὲ τὸ τῆς κτίσεως κάλλος τὸ νοερὸν φῶτος τὸ πεποιηκότος ἀφέσηκε, τίς ἂν μετρήσειε λόγος; Ὁρᾶτε τοιγαρῦν, πόσα τὰ τῆς ἀσεβείας κεχώρηκε; τῶν γὰρ πονηροτάτων ἀνθρώπων, ὃ μόνον ὃ φθονούντων ταῖς ὑπ' αὐτῶν οἰκοδομουμέναις οἰκίαις, ἀλλὰ καὶ λίαν ἐπ' αὐταῖς λαμπρυνομένων, τὼ τῆς ἀγαθότητος πηγὼ, καὶ ὑπ' οὐδενὸς πάθους θολοῦσθαι πεφυκυῖαν, φθόνῳ βάλλεσθαι λέγειν, ποίας ἀσεβείας ὑπερβολὴν καταλείπει; Εἰ τοίνυν καὶ δύναται κατέχειν τὰς τῆς κτίσεως οἴακας, καὶ βούλεται αὐτὼ παύτων ἀγαθῶν ἀπολαύειν, δῆλον ὅτι καὶ κήδεται καὶ ἐφέσηκε, καὶ τῶν ἡνίων ἐπειλημμένος, τὴν γενητὼ ἅπασαν φύσιν ἡνιοχεῖ, καὶ ὀδὲν ἀτημέλητον καταλείπει.

Καὶ ὅτι ταῦθ' ὕπως ἔχει, καταβηθι πάλιν ἐπὶ τὴν θάλατταν, καὶ βλέπε ταύτης τὰ κήτη, τὰ μεγέθη, τὴν εἰς πελάγη διαίρεσιν, τὰς ἀκτὰς, τοὺς ὅρμους, τὰς ἐν μέσῳ νήσους, τῶν ἰχθύων τὰ γένη, τὰ εἴδη, τὰ σχήματα, τὼ ποικιλίαν, τὼ πρὸς τὼ χέρσον φιλίαν, τὰ τῶν κυμάτων σκιρτήματα, τὸν ἐπικείμενον αὐτοῖς τῆς Προνοίας χαλινὸν, δι' οὗ τὼ ἄπειρον ἐπικλύζειν οὐ δυώαται, ἀλλ' ὁρμῶντα κατὰ τῆς ψάμμου φοβεῖται τοὺς ὅρους, καὶ τὸν θεῖον ἐκεῖ νόμον γεγραμμένον ὁρῶντα, οἷόν τις γαῦρος ἵππος ἀγχόμενος

μενος ὑπὸ πωλοδάμνου, ἀνακλᾷ τὸν ἀυχένα, καὶ εἰς τοὐπίσω χωρεῖ, ὥσπερ μεταμελόμενα, ὅτι καὶ τῇ ψάμμῳ προσέψαυσε. Διὰ ταύτης ἔστιν ἰδεῖν τὰς μεμιεισμένας ἠπείρους, καὶ πόρρωθεν ἀλλήλων καθημένας, εἰς φιλίαν συναγομένας. Ὁμόνοιαν γὰρ ἐνθεῖναι τῇ φύσει τῶν ἀνθρώπων ὁ Ποιητὴς ἐθελήσας, ταῖς χρείαις αὐτοὺς ἀλλήλους συνέδησε. Διὰ ταύτης τὰς μακρὰς ἀποδημίας ποιούμεθα, καὶ τὰς χρείας παρ' ἀλλήλων ἐρανιζόμεθα, καὶ τῶν ἀναγκαίων τὰς ὕλας ἀλλήλοις ἀντιδιδόαμεν. Οὔτε γὰρ εἴασεν ὁ κηδεμὼν ἕκαστον τμῆμα τῆς γῆς ἅπασαν τοῖς ἀνθρώποις παρέχειν τὴν χρείαν, ἵνα μὴ τὸ ἀσυνδέτως τῇ φιλίᾳ λυμήνηται. Ὑβριστὴς γὰρ ὁ κόρος καὶ ἀταξίας πατήρ. Πρόκειται δὲ ἡ θάλασσα μέση τῆς οἰκουμένης, εἰς κόλπους μυρίους διηρημένη, οἷόν τις πόλεως μεγίστης ἀγορὰ, πᾶσαν τὴν ἀναγκαίων τιθὴν ἀφθονίαν παρέχουσα, καὶ πολλοὺς πραπῆρας καὶ ὠνητὰς δεχομένη, καὶ τάς τε ἐκεῖθεν ἐντεῦθεν παραπέμπουσα, καὶ τὰς ἐκεῖθεν ἄγουσα τῇδε. Ἐπειδὴ δὲ ἐπίπονος ἡ διὰ τῆς ἠπείρου πορεία, οὐδ' ἐπίπονον δὲ μόνον ἦν, ἀλλὰ καὶ ἀδυνάτου διὰ ταύτης πᾶσαν ἀναπληρῶσαι τιθὴν εὐδειαν, πρόκειται τῆς θαλάττης τὰ νῶτα, σκάφη καὶ σμικρὰ καὶ μεγάλα δεχόμενα, καὶ φόρτον πολυὺ καὶ ἀναγκαῖον τοῖς δεομένοις κομίζοντα. Ἔστι δὲ ἰδεῖν μιᾶς ὁλκάδος φορτία πολλὰ, κτηνῶν χιλιάδας ἀχθοφορούσας· ἵνα δὲ μὴ δυσχεραίνωσιν οἱ ταύτης ὁδῖται, οἷόν τινας σαθμοὺς κατέπηξε τὰς νήσους ὁ Ποιητὴς, ἐν αἷς καταγόμενοι, διαναπαυόμενοι, καὶ τὰς χρείας ὠνούμενοι, πάλιν ἀπαίρωσιν ἔνθα αὖ τὴν ὁρμὴν ἔχωσιν. Αἰχύνητι τοιγαροῦν τῶν δι' ἐργεσιῶν τὸ πλῆθος, εἶπεν ἡ θάλασσα· ἁρμόττει σοι δὲ μᾶλλον, ἢ τῇ Σιδῶνι τὰ Προφήτου ῥήματα. Ἡ μὲν γὰρ ἀγνοοῦσα τὸν Ποιητὴν, εἰς πολλοὺς τὸ θεῖον διήρει Θεοὺς, καὶ τιθὴν μίαν προσκυνήσιν κατατέμνουσα, τοῖς μὴ οὖσι ταύτην προσέφερεν, οὐκ ἀρνουμένη τιθὴν Πρόνοιαν, ἀλλὰ πόσοις αὐτιθὴν

προ-

προσάπτουσα. Οὐ γὰρ αὖ ἔθυσεν οἷς ἐνόμιζε Θεοῖς, εἰ μὴ λίαν ἑαυτὴν ἔπειθεν, ὡς καὶ ὠφέλειαν προίζουσι, καὶ βλάβην ἀποτρέπουσι. Σὺ δὲ τῆς πολυθέου πλάνης ἀπηλλαγμένος, καὶ πάντα τὰ ὁρώμενα ὁμολογῶν εἶναι ποιήματα, καὶ τὸν τούτων Ποιητὴν προσκυνῶν, ἐκβάλλεις αὐτὸν ὧν ἐποίησε, καὶ πόρρω που καθίζεις τῆς κτίσεως· καὶ τὸν τοσοῦτον Κόσμον ἀκυβέρνητον εἶναι λέγεις, καὶ οἷόν τι σκάφος ἀνερμάτιστον ὡς ἔτυχε φέρεσθαι. Αἰσχύνθητι τοιγαροῦν τὰς διὰ θαλάττης ἐργασίας, τὰς ἐκ Γῆς, τὰς ἐξ Ἀέρος, τὰς ἐξ Ἡλίου, Οὐρανὸν τὸν ἐπικείμενον ὄροφον. Αἰδέσθητι τὸν δασμὸν, ὃν λαμβάνεις παρὰ τῆς κτίσεως· δασμοφορεῖ γάρ σοι τῷ εἰρημένων ἕκαστον, καὶ οἷόν τινα φόρον προσφέρει τιμὴν χρείαν. Ἥλιος μὲν, φωτίζει, θερμαίνει, τὰς ἐκ γῆς πεπαίνει καρπούς· Σελήνη, δροσοχεῖ σοι νύκτωρ. Ἀστέρες, ἐπὶ γῆς μένοντί σοι, τὸν νυκτερινὸν δηλοῦσι καιρὸν, καὶ τῶν ὡρῶν τὰς μεταβολὰς προσημαίνουσι· θαλαττίῳ δέ σοι γινομένῳ, ποδηγοὶ γίνονται πρὸς τιμὴν ὅπειρον. Ἀὴρ, ἀναπνεόμενος μὲν, τὴν ἔμφυτόν σε καταψύχει θερμότητα· ὗων δὲ, τοὺς τῆς γεωργίας ἐκτρέφει καρπούς· κρυμὸν ἐργαζόμενος, παύει μὲν τιμὴν ἐπὶ τὰ ἄνω φερομένην βλάσην καὶ φυτῶν καὶ σπερμάτων, εἰς δὲ τὰς ῥίζας ἐκπέμπει τιμὴν αὐξητικὴν δύναμιν, καὶ οἷόν τι μάσιγι τῷ κρυμῷ τὴν ἄνω φερομένην ἐπὶ τὰ κάτω διώκει· διαφθείρει τῶν ἑρπετῶν τὰ σώματα, καὶ φυτοῖς καὶ σπέρμασι λυμαινόμενα· χορηγεῖ σοι τῷ ξοφίμῳ ὀρνίθων τὰ γένη· καὶ τί δεῖ λέγειν, τὰς ἀπὸ γῆς καρπούς, τὰς ἐκ πηγῶν, τὰς ἐκ ποταμῶν, τὰς ἐκ θαλάττης; τούτων ἀπολαύων, ἀμνημονεῖς τοῦ δοτῆρος; καὶ τιμὴν κτίσιν ἕνυγῶν, κατὰ τοῦ Κτίσαντος λυττᾷς καὶ μέμηνας, καὶ παραπαίεις, καὶ ἐκ αἰθαλώνης τῶν δωρεῶν, ταύτας ἐν ταῖς χερσὶ περιφέρων, ἀλλ' ὠδίνεις τὴν ἀντίρρησιν; οἶδα γάρ σε τὰς ἀντιρρήσεις. Ἐγὼ δὲ ὅτε ταύτας τῷ δε τῷ λόγῳ προθήσω, ὅτε τὰς λύσεις προσαρ-

αρμόσω. Ἕτερον δὲ λόγον, συνεργὸν ἔχων τὴν ὑπὸ σοῦ πολεμουμένην Προμήθειαν, ὑφῆναι διὰ πάντων βεβούλημαι. Ἐνταῦθά σε τοίνυν καταλιπὼν, καὶ τῇ τῶν εἰρημένων ἐντρυφῆσαι θεωρίᾳ παρακαλέσας, καὶ παντα χόθεν ἑλκύσαι τὴν ὠφέλειαν, τὸν τῶν ἁπάντων Κυβερνήτην ὑμνήσω· ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΙΔΡΥΜΑ ΠΑΝΑΓΙΑΣ ΠΑΛΑΙΟΜΑΡΤΙΟΥ ΒΕΝΙΑΜΙΝ Ο ΝΕΟΒΙΤΟΣ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Τέλος τοῦ Β'. Τόμου.

ΠΙΝΑΞ

ΤΟΥ Β΄. ΤΟΜΟΥ.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Λόγος περὶ Προσευχῆς. 5
Λόγος εἰς Εὐξόπιον Εὐνοῦχον Παξίκιον καὶ Ὕπατον. 13
Λόγος εἰς τὸν Ἀπόστολον Παῦλον. 21
Ἐγκώμιον εἰς τοὺς Ἁγίους Πάντας, τοὺς ἐν ὅλῳ τῷ Κόσμῳ μαρτυρήσαντας. 27
Εἰς τὴν Παραβολὴν περὶ τοῦ Ἀσώτου. 36

ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ

Λόγος εἰς τὸ, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν. 49
Λόγος εἰς τὸν Ἀδάμ. 55
Λόγος εἰς τὸν Νῶε. 64
Λόγος εἰς τὸν Ἀβραάμ. 70
Λόγος εἰς τὸν Πάγκαλον Ἰωσήφ. 77
Λόγος εἰς τὸν Μωϋσῆν. 84

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Λόγος εἰς Βαρλαὰμ Μάρτυρα. 91
Λόγος εἰς τοὺς Ἁγίους Τεσσαράκοντα Μάρτυρας. 95
Ὁμιλία κατὰ τῶν Ὀργιζομένων. 106
Ὁμιλία εἰς τὸ Καθελῶμου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. 118
Ὁμιλία εἰς τὸ, Πρόσεχε Σεαυτῷ. 129

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Λόγος εἰς τὴν μεγάλην Παρασκευήν. 143
Λόγος εἰς τὸ Ἅγιον Πάσχα. 148
Λόγος εἰς τὴν Καινὴν Κυριακήν, ἤτοι τὸ Θωμᾶ, καὶ εἰς τὰς Νεοφωτίστους. 154
Εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Λόγος Α'. 161
Εἰς τὴν αὐτήν. Λόγος Β'. 165

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Εἰς Πελαγίαν Ἐπιτάφιος. 172
Εἰς Πλακίλλαν τὴν Βασίλειαν Ἐπιτάφιος. 183
Εἰς τὸν μέγαν Μελέτιον Ἀρχιεπίσκοπον Ἀντιοχείας Ἐπιτάφιος. 194
Εἰς τοὺς Ἁγίους Τεσσαράκοντα Μάρτυρας Ἐγκώμιον. 204
Προτρεπτικὸς περὶ Μετανοίας. 216

ΠΡΟΚΛΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Ἐγκώμιον εἰς τὸν Ἅγιον Πρωτομάρτυρα Στέφανον. 229
Λόγος εἰς τὰ Ἅγια Θεοφάνια. 236
Εἰς τὸ Πάθος τοῦ Χριστοῦ τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ. 240
Εἰς τὸ Ἅγιον Πάσχα. 243
Ἐγκώμιον εἰς τὴν Παναγίαν Θεοτόκον Μαρίαν. 247

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ

Εἰς τοὺς Λόγους, καὶ εἰς τὸν Ὅσιον τὸν Ἰουλιανόν. 264
Λόγος εἰς τοὺς Μακκαβαίους. 266

Εἰς

Εἰς Καισάριον τὸν ἑαυτοῦ Ἀδελφὸν Ἐπιτάφιος, περιόντων ἔτι τῶν Γονέων. 278
Εἰς τὸν μέγαν Ἀθανάσιον Ἀρχιεπίσκοπον Ἀλεξανδρείας. 298
Εἰς τὰ Θεοφάνια, εἴτ' ἐν γενέθλια τῦ Σωτῆρος. 323

ΑΣΤΕΡΙΟΥ ΑΜΑΣΙΑΣ

Ὁμιλία ῥηθεῖσα ἐν πανηγύρει κατὰ πλεονεξίας. 336

ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ὁμιλία κατὰ Νεστορίου, ῥηθεῖσα ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ. 351
Περὶ τῦ Θεανθρώπου Σωτῆρος Ὁμιλία ἐν Ἐφέσῳ ῥηθεῖσα. 355
Περὶ τοῦ Θεανθρώπου Ἰησῦ, Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ ἐν τῷ Ναῷ, καὶ τῇ ἡμέρᾳ τοῦ Ἁγίου Ἰωάννου τῦ Εὐαγγελιστῦ. 358

ΓΕΡΜΑΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Ἐγκώμιον εἰς τὴν Ὑπεραγίαν Θεοτόκον ῥηθὲν ἐν τῇ Κοιμήσει αὐτῆς. 361

ΑΝΑΣΤΑΣΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Θεοτόκου. 367

ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Λόγος εἰς τὸ Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκυ. 370

ΙΩΑΝ-

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Ἐγκώμιον εἰς τὴν Μετάστασιν τῆς Θεοτόκου. 280

ΘΕΟΔΟΤΟΥ ΑΓΚΥΡΑΣ

Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ πρὸς Νεστόριον ἐν τῇ ἡμέρᾳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ. 396
Λόγος εἰς τὴν Γέννησιν τοῦ Σωτῆρος, ἀναγνωσθεὶς ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ ἐπὶ τοῦ Ἀρχιεπισκόπου Κυρίλλου. 400

ΣΙΜΕΩΝΟΣ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ

Λόγος εἰς τὸν θρῆνον τῆς Θεοτόκου. 412

ΑΚΑΚΙΟΥ ΜΕΛΙΤΗΝΗΣ

Ὁμιλία περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Χριστοῦ λεχθεῖσα ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ. 419

ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΟΥ

Περὶ Προνοίας Λόγος Α'. ἀποδεικτικὸς ἀπὸ Οὐρανοῦ, καὶ Ἡλίου, καὶ Σελήνης, καὶ τῶν λοιπῶν Ἀστέρων. 423
Περὶ Προνοίας Λόγος Β'. ἀποδεικτικὸς ἀπὸ ἀέρος καὶ γῆς καὶ θαλάσσης καὶ ποταμῶν καὶ πηγῶν. 437


ΒΕΝΙΑΜΙΝΟΥ ΛΕΣΒΙΟΥ
ΚΟΜΑΡΙΟΥ
ΑΤΟΣ 1818